Στράβ. σελ. 875,26 Μειν «Κειμένων δ' οὕτω πως τῶν ἐπῶν παρ' Ὁμήρῳ Μῄοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην, υἷε Ταλαιμένεος, τὼ Γυγαίη τέκε λίμνη, οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας, προσγράφουσί τινες τοῦτο τέταρτον ἔπος Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ» καὶ σελ. 904,31 «ἔστι δὲ καὶ χαλκῆ εἰκὼν ἐν τῷ θεάτρῳ ἐπιγραφὴν ἔχουσα· ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδῇ·» οὐ στοχασάμενος δὲ ὁ ἐπιγράψας τὸ τελευταῖον γράμμα τοῦ δευτέρου ἔπους παρέλιπε, τοῦ πλάτους τῆς βάσεως μὴ συνεξαρκοῦντος». Πρβ. καὶ σελ. 187,31 «σοφώτατοι δ' ἐξετάζονται τῶν Ἰβήρων οὗτοι καὶ γραμματικῇ χρῶνται καὶ τῆς παλαιᾶς μνήμης ἔχουσι συγγράμματα καὶ ποιήματα καὶ νόμους ἐμμέτρους ἑξακισχιλίων ἐπῶν». Ἐν τοῖς ἀντιγράφοις φέρεται «ἑξακισχιλίων ἐτῶν», ὃ εὐλόγως μετεβλήθη ὑπὸ τοῦ Παλμερίου εἰς τὸ «ἑξακισχιλίων ἐπῶν» (Ἴδε Μεινέκιον ἐν *Vindic. Strabon* σελ. 15. Πρβ. καὶ Knaack ἐν *Rhein. Mus.* 1905, σελ. 148).

Διογέν. Λαέρτ. Α΄, 101 «οὗτος (ὁ Ἀνάχαρσις) ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν εἰς εὐτέλειαν βίου καὶ τὰ κατὰ τὸν πόλεμον ἔπη ὀκτακόσια» καὶ Θ΄, 20 «ἐποίησε δὲ (ὁ Ξενοφάνης) καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν ἔπη δισχίλια».

Στέφ. Βυζάντ. σελ. 452,16 Μειν. «καὶ Φωκυλίδης καὶ Τιμόθεος κιθαρῳδός, ὃς ἐποίησε νόμων κιθαρῳδικῶν βίβλους ὀκτωκαίδεκα εἰς ἐπῶν ὀκτακισχιλίων [τὸν] ἀριθμόν». Ἐν σελ. 660,7 κεῖται «Θεοδέκτης δ' ἦν γένος Φασηλίτης — ὃς ἐποίησε τραγῳδίας ν΄ καὶ ῥητορικὰς τέχνας καὶ λόγους ῥητορικοὺς ἐπῶν καί»· σημειοῦται δ' ὁ Μει-

νέκιος «καί add. R. in eo latet numerus versuum. possis κ. ad ἐπῶν v. Ritschel. Bibl. Alex p. 101. fallitur Ruhnkenius Hist. Crit. Orat. p. 83. in ἐπῶν orationum numerum latere existimans». Προηνέχθησαν δὲ καὶ ἄλλαι περὶ τοῦ πράγματος γνῶμαι (Ἴδε Daub ἐν *Stud. zu den Biogr. der Suid.* σελ. 50).

Βιογρ. Οὐεστερμ. σελ. 64,17 «ἔλαβε δὲ (ὁ Ὀππιανὸς) καὶ ἐπὶ ἑκάστῳ ἔπει, ἤτοι στίχῳ, χρυσοῦν νόμισμα». Πρβ. καὶ σελ. 66,23 «οὐ μόνον δὲ τὸν πατέρα ἔλαβεν ἀλλὰ καὶ τοσαῦτα νομίσματα, ὅσους εὑρέθη ἔχοντα στίχους τὰ ποιήματα» καὶ σελ. 68,5.

Σουΐδ. σελ. 241 Βεκκ. «Γεώργιος διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης, ἑξαήμερον δὲ ἰάμβων εἰς ἔπη τρισχίλια» καὶ σελ. 250 «ἐγράφη δὲ αὐτῷ (Γρηγορίῳ τῷ Ναζιανζοῦ ἐπισκόπῳ) καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς» καὶ σελ. 310 «ἔγραψεν (ὁ Δράκων) ὑποθήκας εἰς ἔπη τρισχίλια». Ἐν σελ. 171 φέρεται «ἔγραψε δὲ (ὁ Ἀρίων) ᾄσματα, προοίμια εἰς ἔπη β'». Ὁ Φλάχιος ἐν τῇ ἐκδόσει Ἡσυχίου τοῦ Μιλησίου σελ. 29,11 ἀνέγνω «εἰς ἔπη ͵β» καὶ ἐσημειώσατο «ἔπη ͵β numerum vitiosum esse putavit *Bernhardy*, effictum esse putat *Hiller* Mus. Rhen. XXXIII p. 522».

Ἡφαιστ. σελ. 123,2 Γαισφ. «τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται». Πρβ. καὶ σελ. 116,2.

Σχολ. Ἰλ. Τόμ. Δ', σελ. 181,12 Δινδ. «ἐν ᾧ συγγράμματι πειρᾶται ἀποδεικνύναι διεσκευασμένον τοῦτον τὸν τόπον, ἐπῶν ιγ'.

Σχολ. Ἡσ. σελ. 475,8 Λιψ. «Ταῦτα τὰ δύο ἔπη ὁ Σέλευκος ἀθετεῖ· οἱ δὲ περὶ Ἀρίσταρχον τὸ ἐξ ἀρχῆς μόνον λέγουσιν». Ἐξαλειπτέον ἴσως τὸ λέγουσιν, ἵν' ἐκ τοῦ ἡγουμένου ἀθετεῖ νοηθῇ τὸ πληθυντικὸν ἀθετοῦσιν (Ἴδε *Comment. Philol.* σελ. 159, 1874).

Εἶνε δὲ καὶ ὑπὸ τοῦ Πλουτάρχου εἰρημένον Κικέρ. Μ' «τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο· λέγεται γάρ, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια» καὶ ὑπὸ τοῦ Ψευδοπλουτάρχου Ἠθικ. σελ. 1132, Ε' «Πεποίηται δὲ τῷ Τερπάνδρῳ καὶ προοίμια κιθαρῳδικὰ ἐν ἔπεσιν· ὅτι δ' οἱ κιθαρῳδικοὶ

νόμοι οἱ πάλαι ἐξ ἐπῶν συνίσταντο Τιμόθεος ἐδήλωσε· τοὺς γοῦν πρώτους νόμους ἐν ἔπεσι διαμιγνύων διθυραμβικὴν λέξιν ᾖδεν, ὅπως μὴ εὐθὺς φανῇ παρανομῶν εἰς τὴν ἀρχαίαν μουσικήν».

Παρὰ τῷ Ἀριστοφάνει Βατρ. 802 κεῖται «ὁ γὰρ Εὐριπίδης κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας». Σημειοῦται δ' ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Βατράχων σελ. 360 «κατ' ἔπος βασανιεῖν: Anglice, *will test verse by verse*. Saepe enim ἔπος hoc sensu ponitur. Cf. ad 1198. καὶ μὴν μὰ τὸν Δι' οὐ κατ' ἔπος γέ σου κνίσω (κατ' ἔπος σου βασανιῶ?) τὸ ῥῆμ' ἕκαστον. 1121. 1123, 1367. 1407. 826. ἐπῶν βασανίστρια». Παρατηρητέον δ' ὅτι ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις λέγεται σελ. 107, 52 Διδ. «Τοῖς ἔπεσιν: τοῖς μέτροις· ὅτι καὶ τὰ μέτρα ἔπη καλοῦσι» καὶ σελ. 302, 8 «Ἐπῶν δέ, τῶν ἰαμβείων· ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν». Πρβ. καὶ Σχολ. Ἀριστείδ. σελ. 537, 4 Δινδ. «Ἔπη λέγονται καὶ ἀνάπαιστοι καὶ ἴαμβοι, παρὰ τὸ ἕπεσθαι ἀλλήλοις».

Ἐν τῇ Πολιτείᾳ τοῦ Πλάτωνος σελ. 386, Γ' ἀπαντᾷ «Ἐξαλείψομεν ἄρα, ἦν δ' ἐγώ, ἀπὸ τοῦδε τοῦ ἔπους ἀρξάμενοι πάντα τὰ τοιαῦτα κτλ.» καὶ ἐν τῷ Φαίδρῳ σελ. 252, Β' «Λέγουσι δέ, οἶμαι, τινὲς Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον ὑβριστικὸν καὶ οὐ σφόδρα τι ἔμμετρον». Ποιεῖται δ' ὁ Ἄστιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. I, σελ. 460 τὴν παρατήρησιν τήνδε· «δύο ἔπη: duos versus, int. heroos. Etenim quemadmodum ἔπος eximie dicitur carmen epicum (quamquam deinde etiam carmen in universum designat, v. *Franck* in Callin. p. 85 sq.), sic etiam versus est qui dicitur herous, velut Protag. 347. B. Phaedr. 241 E. Cratyl. 392 B. Polit. II. 379. A. III 386. C. 393. A. 394 C. X. 602. B. 607. A. alia fere innumerab.». Πρβ. καὶ Ξενοφ. Ἀπομν. Α' γ', 3 «ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου· καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι» καὶ Θουκυδ. Β', 54, 2 «ἐν δὲ τῷ κακῷ, οἷα εἰκός, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι· ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ» καὶ Γ', 104,5 «τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη»· ἐπιφέρονται δὲ στίχοι ὀκτώ. Ὁ Πόππος γράφει ἐν τῇ μεγάλῃ ἐκδόσει τοῦ Θουκυδίδου Μέρ. Γ', 6', σελ. 302

«Τοῦ ἔπους: ἐκ πυθοχρήστου στίχος. In Cass. vitiose scriptum erat στίχοι, quod emendavi ex Aug. Gottl. Στίχου conjecit Duk. Proprie autem ἔπος hic nihil nisi *hexametrum* videtur significare, ut τὰ ἔπη de epicis carminibus legimus I, 3. II, 41».

Ἄξιον σημειώσεως εἶνε ὅτι ὑπὸ τοῦ Πλουτάρχου ἐρρήθη ἐν τοῖς Ἠθικοῖς σελ. 118, Α' «ἐπακούοντας καὶ ἔχοντας ἐν νῷ τὸ Ὁμηρικὸν τοῦτ' ἔπος, ὅπερ ὁ Ἕκτωρ πρὸς τὴν Ἀνδρομάχην ἀντιπαρηγορῶν αὐτὴν εἶπεν ὧδέ κτέ.» καὶ Γ' «καίτοι γε τὸν ἐν ὁτῳοῦν ἀμβολιεργὸν ἄταις φησὶ παλαίειν, τὸ κυκλούμενον τοῦτο παρὰ πᾶσιν ἔπος». Περιττὸν δ' ἴσως εἶνε νὰ ὑπομνήσωμεν ὅτι κάλλιστα δύναται ἐνίοτε νὰ νοῆται τὸ ὄνομα ἔπος ἀντὶ τοῦ φράσις καθόλου ἢ ῥῆσις ἔμμετρος ἢ ἀντὶ τοῦ λόγος ἐμμέτρως συγκείμενος.

Παρατηρητέον δ' ὅτι παρὰ μὲν Διογένει τῷ Λαερτίῳ Η',77 ἀπαντᾷ «τὰ μὲν οὖν περὶ φύσεως αὐτῷ (τῷ Ἐμπεδοκλεῖ) καὶ οἱ Καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια», παρὰ δὲ τῷ Σουίδᾳ σελ. 358 Βεκκ. φέρεται «καὶ ἔγραψε (ὁ Ἐμπεδοκλῆς) δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων βιβλία γ'· καὶ ἔστιν ἔπη ὡς δισχίλια». Παρατιθέμεθα ἃ ἔγραψεν ὁ Βέργκιος ἐν *Klein. Philol. Schrif.* Τόμ. Β' σελ. 15 «Sane Diog. Laert. VIII. 77. ad quinque millia versuum haec carmina complexa esse tradit: τὰ μὲν οὖν περὶ φύσεως αὐτῷ καὶ οἱ Καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια, at quod Suidas dicit s. v. Ἐμπεδοκλῆς· ἔγραψε δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων βιβλία γ' καὶ ἔστιν ἔπη ὡς δισχίλια, id sive cum Diogenis auctoritate componas, sive per se spectes, parum verisimile videtur. Quis enim credat illud opus in tres libros diremptum minorem numerum versuum exhibuisse, quam lustralia carmina, quae vel propter argumenti simplicitatem tantum volumen respuant: immo physica vel propter rerum difficilium et obscurarum gravitatem etiam orationis copiam satis largam efflagitant. At facile haec possunt inter se conciliari, apud Suidam enim leviuscula mutatione scribendum est: καὶ ἔστιν ἔπη ὡς τετρακισχίλια. commode enim tres physicorum libri quatuor millia versuum complexi sunt, ita ut etiam nunc fere decima pars servata sit; lustralia autem carmina mille erant ver-

suum. Et sic saepius erratum est in eiusmodi locis, ita, ut uno defungar exemplo, apud Suidam v. Θέογνις legitur: ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη ͵βω', καὶ πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι' ἐλεγείων, καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς, quae non expedivit Schneidewinus in Lyricor. delect. p. 46. Scribendum τὰ πάντα ἔπη ͵κω', sive tu alium minorem malis numerum, nam hoc quidem incertum; conf. Suid. v. Εὔμολπος· οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ τὴν εἰς Κελεὸν ἄφιξιν καὶ τὴν τῶν μυστηρίων παράδοσιν τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια, et v. Ἀνάχαρσις· ἔγραψε νόμιμα Σκυθικὰ δι' ἐπῶν, περὶ εὐτελείας τῶν εἰς ἀνθρώπινον βίον, ἔπη πάντα ὀκτακόσια. Accuratissime de hac, quam antiqui grammatici diligenter secuti sunt, versuum mensura disputavit Ritschelius de Alexandr. bibl. p. 91 seqq».

Ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ τοῦ Σωζομενοῦ Β', 33,2 κεῖται «καὶ διὰ μὲν τὸ πολύστιχον τῆς γραφῆς μὴ τὸ πᾶν ὑποτάξαι βιβλίον ἐδήλωσαν» καὶ Γ', 16,4 «λέγεται δὲ τὰς πάσας ἀμφὶ τὰς τριακοσίας μυριάδας ἐπῶν συγγράψαι (τὸν Ἅγιον Ἐφραὶμ) καὶ μαθητὰς ἐσχηκέναι πολλούς». Ποιεῖται δ' ὁ Βαλέσιος τὰς παρατηρήσεις τάσδε· «πολύστιχον: Eusebius Caesariensis hunc Marcelli librum πολυεπῆ vocat. Sic enim scribit in epistola ad Flaccillum, εἰ πρὸς τὴν ἀδόλεσχον καὶ πολυεπῆ Μαρκέλλου γραφὴν etc.: et paulo post, διωλύγιον καὶ πολυπλανὲς σύγγραμμα appellat» καὶ «μυριάδας ἐπῶν: Pessime Christophorsonus *myriadas carminum* vertit: ἔπη pro στίχοις veteres dixerunt, et ad calcem cujusque libri adnotare solebant, quot versibus seu lineis totum opus constaret. Eusebius contra Marcellum, I, 1: εἰς μακρὸν αὐτῷ καὶ ἄμετρον μῆκος ἐξέπεσεν ἡ γραφή· ὡς μόνον ἐπῶν ἐγγύς που μυρίων τὸν ἕνα λόγον ἀπαρτισθῆναι. Sic etiam loquitur Origenes in epistola ad Africanum, ubi de libro Job, quem per versus digestum fuisse constat Hinc πολυεπὲς βιβλίον dicitur pro πολυστίχῳ, quemadmodum loquitur Eusebius in epistola ad Flaccillum. Plura vide in Annotationibus ad Eusebii H. E. VI. 16» (Ἴδε Ἑρμ. Σωζομ. Ἐκκλησ. Ἱστορ. Τόμ. Γ', σελ. 78 καὶ σελ. 100 Οὔσσ.).

Ὁ Εὐσέβιος λέγει ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ Γ', 38, 5 «ἤδη δὲ καὶ ἕτερα πολυεπῆ καὶ μακρὰ συγγράμματα ὡς τοῦ αὐτοῦ χθὲς καὶ πρώην τινὲς προήγαγον» καὶ Ζ', 26,2 «καὶ πλείους δὲ παρὰ ταύτας εἰσὶν αὐτοῦ παρ' ἡμῖν ἐπιστολαὶ καὶ δὴ καὶ πολυεπεῖς λόγοι ἐν ἐπιστολῆς χαρακτῆρι γραφέντες». Τοῦ ἐπιθέτου πολύστιχος πολλάκις ποιεῖται χρῆσιν ὁ Φώτιος ἐν τῇ Βιβλιοθήκῃ, οἷον σελ. 98,40 «ἀνεγνώσθη λεξικὸν κατὰ στοιχεῖον Ἑλλαδίου, ὧν ἴσμεν λεξικῶν πολυστιχώτατον» καὶ σελ. 117,2 «ἀνεγνώσθη βιβλίον πολύστιχον, μᾶλλον δὲ πολύβιβλον» καὶ σελ. 145,23 «διὰ τοῦτο Νικομάχῳ καὶ πολύστιχος ὁ περὶ αὐτὴν πόνος» καὶ σελ. 146,13 «οὗτος καὶ Ἀσσυριακὴν ἱστορίαν ἐν πολυστίχῳ βιβλίῳ — καταλέλοιπεν» καὶ σελ. 164,30 «πολύχους μὲν οὗτος καὶ πολύστιχος ὁ ἐξηγητής» καὶ σελ. 174,25 «καὶ τὸ χρήσιμον οὐκ ἔλαττον ἀλλὰ καὶ μᾶλλον ἢ ἡ προτέρα τοῦ πολυστίχου παρέχεται». Ἐρρήθη δὲ καὶ ὑπὸ τοῦ Ὠριγένους Τόμ. Δ', σελ. 111 «κεῖται δὲ ἡ λέξις ἐν τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ ψαλμῷ, ὅς ἐστι πρὸ τοῦ πολυστιχωτάτου ψαλμοῦ τεταγμένος» καὶ ὑπὸ Σωκράτους τοῦ Σχολαστικοῦ Ἐκκλησ. Ἱστορ. σελ. 178 Οὔσσ. «ὑπὲρ τοῦ μή, πολυστίχου γενομένης τῆς ἱστορίας, ὀκνηροὺς τοὺς ἀναγινώσκοντας ἀπεργάσασθαι» καὶ σελ. 402 «τὸν ὅλον λόγον πολύστιχον ὄντα ζητεῖν καὶ ἀναγινώσκειν τοῖς φιλοπόνοις ἀνῆκα» καὶ ὑπὸ τοῦ Σιμπλικίου Ὑπομνημ. εἰς Ἀριστοτ. Τόμ. Ζ', σελ. 25,28 «διὰ ταύτην δὲ τὴν προθυμίαν τοῖς ἐνταῦθα λεγομένοις ὑπὸ τοῦ Ἀριστοτέλους ἀντιλέγειν προτίθεται διὰ πολυστίχων βιβλίων οὐ μόνον τῷ πλήθει καταπλήττειν ἐλπίσας τοὺς ἀνοήτους κτέ.» (Πρβ. σελ. 124,18 «ταῦτα τοίνυν ὡς ἀνατρεπτικὰ τοῦ Ἀριστοτελικοῦ λόγου διὰ πολλῶν στίχων τοῦδε τοῦ ἀνδρὸς προαγαγόντος, ὀλίγα τῶν ἤδη προειρημένων δέομαι πάλιν εἰπεῖν»). Ἴδε καὶ Λαρόχην ἐν *Homer. Textkr.* σελ. 84 κέ. Τῷ ἐπιθέτῳ πολύστιχος ἀντίκειται τῷ ὀλιγόστιχος.

Ἄξια μνείας μάλιστα εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 190 «Ad intelligendam rationem τῆς στιχομετρίας facit locus Galeni Tom. V. p 655: ὁ ἀληθὴς λόγος ἐστὶ βραχύς, ὡς ἐγὼ δείξω σοι δι' ὀλίγων συλλαβῶν περαινόμενον αὐτὸν ὄντα τοιοῦτον· ἔνθα τῶν νεύρων ἡ ἀρχὴ ἐνταῦθα τὸ ἡγεμονικόν· ἡ δ' ἀρχὴ τῶν νεύρων ἐν ἐγκεφάλῳ ἐστίν· ἐνταῦθα ἄρα τὸ ἡγεμονικόν. εἷς μὲν οὗτος ὁ λόγος ἐννέα καὶ τριάκοντα συλλαβῶν ὅπερ

ἐστὶ δυοῖν καὶ ἡμίσεως ἐπῶν ἑξαμέτρων, ἕτερος δ' ἐστὶ πέντε τῶν πάντων ἐπῶν· ἔνθα τὰ πάθη τῆς ψυχῆς ἐπιφανέστερον κινεῖ τὰ μόρια τοῦ σώματος ἐνταῦθα τὸ παθητικὸν τῆς ψυχῆς ἐστιν· ἀλλὰ μὴν ἡ καρδία φαίνεται μεγάλην ἐξαλλαγὴν ἴσχουσα τῆς κινήσεως ἐν θυμοῖς καὶ φόβοις· ἐν ταύτῃ ἄρα τὸ παθητικὸν τῆς ψυχῆς ἐστιν. Εἰ δὲ συνθείης ὡδὶ τούτους τοὺς δύο λόγους οὐ πλείονες τῶν ὀκτὼ ἑξαμέτρων τὸ συγκείμενον ἐξ αὐτῶν πλῆθος ἔσται. Hinc colligas τοὺς στίχους sive τὰ ἔπη *totidem constare syllabis, quot versus haxametri continent*, et hinc nomen στίχος sive ἔπος esse natum. Itaque hic Galeni locus planissime confirmat sententiam viri doctissimi C Graux (*Nouvelles recherches sur la stichométrie* dans la *Revue de Philologie* 1878 p. 123). Galeno discimus non litteras sed syllabas numerari solere. οὗτος ὁ λόγος ἐννέα καὶ τριάκοντα συλλαβῶν, ὅπερ ἐστὶ δυοῖν καὶ ἡμίσεως ἐπῶν ἑξαμέτρων 16+16+7. ἕτερος δ' ἐστὶ πέντε τῶν πάντων ἐπῶν 5×16. εἰ δὲ συνθείης ὡδὶ τούτους τοὺς δύο λόγους οὐ πλείονες τῶν ὀκτὼ ἑξαμέτρων τὸ συγκείμενον ἐξ αὐτῶν πλῆθος ἔσται. Praeterea ut numerorum ratio liquido constet scribendum: ἡ δ' ἀρχὴ τῶν νεύρων ἐν ἐγκεφάλῳ, ἐνταῦθ' ἄρα τὸ ἡγεμονικόν. expuncto inutili ἐστίν et de more eliso α. Qui sequitur locus quinque στίχους ἑξαμέτρους implet :

16 ἔνθα τὰ πάθη τῆς ψυχῆς ἐπιφανέστερον κινεῖ
16 τὰ μόρια τοῦ σώματος ἐνταῦθα τὸ παθητικὸν
16 τῆς ψυχῆς ἐστίν· ἀλλὰ μὴν ἡ καρδία φαίνεται με
16 γάλην ἐξαλλαγὴν ἴσχουσα τῆς κινήσεως ἐν θυμοῖς
16 καὶ φόβοις· ἐν ταύτῃ ἄρα τὸ παθητικὸν τῆς ψυχῆς».

Λέγει δ' ὁ Γαληνὸς καὶ Τόμ. Ε', σελ. 654 «διὰ τοῦτ' οὖν Εὐκλείδης μὲν ἑνὶ θεωρήματι τῷ πρώτῳ κατὰ τὸ τῶν φαινομένων βιβλίον ἐπέδειξε δι' ὀλιγίστων ἐπῶν τὴν γῆν μέσην εἶναι τοῦ κόσμου» καὶ Τόμ. Ζ', σελ. 489 «ἡ γάρ τοι μέθοδος, ἐξ ὧν ἄν τις εὑρίσκοι τὸ πόσων ἐστὶ τύπων ἐπιπλοκή, δι' ἐλαχίστων ἐπῶν διδαχθῆναι δύναται» καὶ Τόμ. Η', σελ. 698 «κελεύων αὖθις ἀριθμὸν ἐπῶν εἰπεῖν» καὶ σελ. 699 «ὡς γὰρ ἐγχωρεῖ μὲν ὑπὲρ ἑκάστου τῶν ὀνομάτων ἓν ὅλον ποιεῖσθαι βιβλίον, ἔσται δὲ ἔπη πλείω τῶν χιλίων» καὶ σελ. 947 «οὐ γὰρ ἐχρῆν περιπλέκειν μακρὰ καὶ λαβεῖν ἀπέραντα,

δι' ὀλίγων ἐπῶν δυναμένης τῆς διδασκαλίας ῥᾳδίως προϊέναι τόνδε τὸν τρόπον» καὶ Τόμ. Ι', σελ. 20 «ὃς τοσαῦτά τε καὶ τηλικαῦτα γράψας βιβλία καὶ τοσαύτας ληρήσας ἐπῶν χιλιάδας ἀπόδειξιν οὐδεμίαν οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων ἐπεχείρησεν εἰπεῖν».

Ἐν τοῖς Τονικοῖς Παραγγέλμασι Ἰωάννου τοῦ Ἀλεξανδρέως σελ. 4,7 Δινδ. ἀναγινώσκεται «ἀναγκαῖόν τε πρὸς τούτοις εἰδέναι ἑκάστην λέξιν ἐπὶ ποίας συλλαβῆς τὸν τόνον ἔχει· ὅπερ ἐν ἓξ μυριάσιν Ἡρωδιανῷ πεπραγμάτευται». Πιθανώτατον δ' ἡμῖν φαίνεται ὅτι ἐξερρύη πρὸ τοῦ ὀνόματος Ἡρωδιανῷ ἡ γενικὴ πληθυντικὴ ἐπῶν «ὅπερ ἐν ἓξ μυριάσιν ἐπῶν Ἡρωδιανῷ πεπραγμάτευται».

Παντὶ φανερὸν ἐκ τῶν διειλημμένων καθίσταται ὅτι κάλλιστ' ἔχει τὸ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα κείμενον σελ. 168 «ἔγραψε δὲ οὗτος (ὁ Ἀριστέας) καὶ καταλογάδην θεογονίαν εἰς ἔπη α'», ἥκιστα δ' ἐπαινετὸς ἡμῖν φαίνεται ὁ Λύσανδρος Γ. Χ. Κώνστας γράψας ἐν τῇ μεταφράσει τοῦ βιβλίου τοῦ Christ *Geschicht der Grieschichen Litteratur* Τόμ. Α', σελ. 192: [Ὁ Σουΐδας λέγει ταῦτα· «ἔγραψε δὲ οὗτος καὶ *καταλογάδην* Θεογονίαν εἰς ἔπη α'» ἦτο ἄρα ἡ Θεογονία γεγραμμένη ἐν πεζῷ λόγῳ, ἐπειδὴ περὶ ἄλλων πεζῶν ἔργων δὲν γίνεται λόγος; **Ἀλλὰ τότε τὸ εἰς ἔπη πῶς πρέπει νὰ ἐκληφθῇ;**». Πρβ. Διογ. Λαέρτ. Α', 111 «ἐποίησε δὲ (ὁ Ἐπιμενίδης) Κουρήτων καὶ Κορυβάντων γένεσιν καὶ Θεογονίαν ἔπη πεντακισχίλια, Ἀργοῦς ναυπηγίαν τε καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλουν, ἔπη ἑξακισχίλια πεντακόσια· συνέγραψε δὲ καὶ **καταλογάδην** περὶ θυσιῶν καὶ τῆς ἐν Κρήτῃ πολιτείας καὶ περὶ Μίνω καὶ Ῥαδαμάνθυος εἰς **ἔπη** τετρακισχίλια».

Ἐν τέλει παρατιθέμεθα τὰ ὑπὸ τοῦ Σχαιφήρου γεγραμμένα ἐν τῇ ἐκδόσει τοῦ περὶ Συνθέσεως Ὀνομάτων Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 30 (1808) «Τὰ ποιήματα: *Versus.* Significatio haec paullo rarior, de qua Lexica tacent. Sic mox: ποιημάτων τε καὶ τῶν πάνυ ἡδίστων. Add. p. 36. 37. Reisk. Antiquit. Rom. T. I p. 107. Τὰ δὲ ποιήματα ὧδε ἔχει. *Versus autem hi sunt.* Interpres: *Haec autem sunt eius poëtae carmina. Carmina* de singulis versibus non memini legere nisi in Grammaticorum notis adscriptis loco illi Virgiliano Aen. II. v. 567. Ceterum, quod satis notum est, eodem modo ἔπος nunc de in-

tegro carmine, nunc de singulis versibus dicitur. Lucianus T. II. p. 243. ἦν δὲ τὸ ἔπος ἕν. Mox: καταθαρροῦντες τῷ στίχῳ. Obiter moneo, quod in lexicis frustra quaeras, ἔπος passim significare etiam quam vulgo *lineam* dicunt. Lucianus T. II. p. 36. τὴν μὲν ἐπ' Εὐρώπῃ μάχην ἐν οὐδ' ὅλοις ἑπτὰ ἔπεσι παραδραμόντος. ubi v. Solan. Ibid. p. 41. Εἷς δέ τις βέλτιστος ἅπαντα ἐξ ἀρχῆς ἐς τέλος τὰ πεπραγμένα. - - - πεντακοσίοις οὐδ' ὅλοις ἔπεσι περιλαβὼν, συνέγραψε, καὶ τοῦτο ποιήσας ἱστορίαν συγγεγραφέναι φησί. SCHAEF». Πρβ. καὶ Γ. Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Δ', σελ. 396 «ὁ δὲ αἰτίαν ἐπιφέρει ὡς τῶν ποιημάτων ἐν τῇ τάξει διημαρτημένων: Notandum ποιημάτων non *carminum*, sed *versuum* singulorum significatione dictum, quo sensu etiam ἔπος et ἔπη dicuntur: de quo usu dixi in Thesauro s. v. ποίημα».

---

## ΚΕΦ. ΜΒ'.

### Παρῆν δ' ὁρᾶν οὐ ταὐτὰ μορφῆς σχήματα.

Παρὰ τῷ Εὐριπίδῃ Ἰφιγ. Τ 291 φέρεται κατὰ τἀντίγραφα «παρῆν δ' ὁρᾶν οὐ ταὐτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα, ἅς φασ' (ἢ ἅ φασ') Ἐρινῦς ἱέναι μιμήματα».

Ὁ Δ. Βερναρδάκης σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Γ', σελ. 269 «Καὶ ἡ ῥῆσις αὕτη ἔμεινεν ἀδιανόητος, ἄλλως ὑπ' ἄλλων ἑρμηνευθεῖσα καὶ διορθωθεῖσα (οὐ ταῦτα Μαρκλάνδ., οὐ ταῦτ' ἄμορφα σχήματ' Ἐϊμψοίθ., ἃ φασκ' Κιρχ., χἃ Ἐϊμψοίθ. Ἀντὶ τοῦ ἅς φᾶσ' B, ἅς φάσ' C, ἃ φασ' τὸ β' Παρισ. ἀπόγρ., ἃ φασκ' Βάδαμ., καὶ ἀντὶ τοῦ μιμήματα βιβλ., μυκήματα Ναύκ). Ἐκδέχου δὲ οὕτω πως τὸ κείμενον. Τὸ μὲν παρῆν ὄχι ἑνικῶς καὶ ἀπροσώπως=*ἐξῆν*, ὅπως ἑρμηνεύεται τὸ ῥῆμα κακῶς, ἀλλὰ πληθυντικῶς καὶ προσωπικῶς=*παρῆσαν*, τουτέστι *παρῆσαν δ' ὁρᾶν (ἔργῳ) οὐ ταῦτα* (ἃ ἔφασκε δηλονότι ἐν 285-90) *μορφῆς σχήματα ἀλλ' ἠλ-*

*λασσε καθ' ἑαυτὸν—τάς τε φθογγὰς (τῶν) μόσχων καὶ τὰ τῶν κυνῶν* (τῶν Ταύρων δηλονότι βουκόλων τῶν ἐν τῷ πόντῳ λουομένων, κατὰ τὰ ἐν 255 καὶ 261) *ὑλάγματα ἃς* (φθογγὰς καὶ ὑλάγματα, τὸ θηλ. ἃς διότι ἐν γένει τὸ θηλ. ἐπικρατέστερον τοῦ οὐδετέρου) *φασὶ* (τὰς) *Ἐρινῦς ἱέναι μιμήματα* (τοῦ μιμήματα κατηγορηματικῶς ἐπιφερομένου εἰς τὸ ἅς, ἤτοι: *ἅς φασιν Ἐρινῦς ἱέναι μιμουμένας)*». Χαριέστατα ἀληθῶς εἶνε συντεταγμένη ἡ φράσις «Καὶ ἡ ῥῆσις αὕτη ἔμεινεν ἀδιανόητος, ἄλλως ὑπ' ἄλλων ἑρμηνευθεῖσα καὶ διορθωθεῖσα».

Ἀδυνατοῦμεν νὰ νοήσωμεν τί παθὼν ὁ Βερναρδάκης ἀπεφήνατο «Ἐκδέχου τὸ παρῆν ὄχι ἑνικῶς καὶ ἀπροσώπως = ἐξῆν, ὅπως ἑρμηνεύεται τὸ ῥῆμα κακῶς, ἀλλὰ πληθυντικῶς καὶ προσωπικῶς = παρῆσαν», διότι οὐδείς ποτε σωφρονῶν ἄνθρωπος ἠδύνατο νὰ ὑπολάβῃ ὅτι τὸ ἐν τῇ Εὐριπιδείῳ ῥήσει κείμενον παρῆν δὲν εἶνε **ἑνικὸν** καὶ ἀπρόσωπον ἀλλὰ **πληθυντικὸν** καὶ προσωπικόν, τουτέστιν ὅτι τὸ παρῆν δὲν εἶνε παρῆν ἀλλὰ παρῆσαν. Αἰσχυνόμεθα τῇ ἀληθείᾳ καταγελαστότατα σφάλματα τοῦ Βερναρδάκη ἐλέγχοντες, ἀλλ' ἀναγκαζόμεθα νὰ ποιῶμεν τοῦτο· διότι αὐτός τε ὁ Βερναρδάκης ἀλαζονεύεται ἑκάστοτε καὶ φρυάττεται ὡς σοφώτατος καὶ περινούστατος ὢν καὶ παντὸς ἄλλου μᾶλλον τὰ τῆς Ἑλληνικῆς γλώσσης ἀκριβῶν καὶ ὑπὸ πολλῶν Ἑλλήνων θαυμάζεται καὶ ἐγκωμιάζεται ὡς τόν τε μουσηγέτην Ἀπόλλωνα ὑπερακοντίσας τῇ εὐμουσίᾳ καὶ τὸν λόγιον Ἑρμῆν τῇ λογιότητι.

Ὡς τὸ ἁπλοῦν ῥῆμα ἔστι(ν) λαμβάνεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ἀπροσώπως, ὅτ' ἀναγκαίως συντάσσεται ἀπαρεμφάτῳ, οὕτω καὶ τὸ σύνθετον πάρεστι(ν). Πρβ. καὶ ἔνεστι(ν) καὶ ἔξεστι(ν). Ὁ Ἀσώπιος γράφει ἐν τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 204 § 41 «Καὶ αὐτὸ δὲ τὸ εἶναι πολλάκις ἐκλαμβάνεται κατὰ τὸν ἀνωτέρω τρόπον μετά τινος προσσημασίας. Οὕτω π.χ. ὡς πολλὰ ῥήματα, ἁπλᾶ ὄντα, λαμβάνουσι τὴν ἔννοιαν τῶν συνθέτων, τὸ ἔχειν, π. χ. = παρέχειν, τὸ στέλλειν = συστέλλειν, κτλ., οὕτω καὶ τὸ εἶναι ἐκλαμβάνεται πολλάκις ἀντὶ τῶν συνθέτων ἐνεῖναι, ἐξεῖναι, παρεῖναι. Καὶ τότε δὲ προτάσσεται τὸ τρίτον ἑνικὸν πρόσωπον, καὶ τονίζεται ἐπὶ τῆς παραληγούσης· ἔστι μὲν εὑρεῖν, ἔστι δὲ τερπομένοισιν ἀκούειν (Ὀδυσσ. Ο 392) = ἔνεστι, φυσικῶς

δυνατὸν=οὐκ ἔστιν ἀδύνατον—οὐ γάρ ἐστι πικρῶς ἐξετάσαι=οὐκ ἔξεστιν, ἀπηγόρευται.—ἔστι φυγεῖν=πάρεστιν=οὔτε ἀπηγορευμένον, οὔτε δύσκολον». Ἀξίαν μνείας νομίζομεν τὴν ὑπὸ τοῦ Οὐηβήρου γενομένην παρατήρησιν ἐν τῇ ἐκδόσει τοῦ κατ' Ἀριστοκράτους λόγου τοῦ Δημοσθένους σελ. 347 «ἔστιν εἰπεῖν: Quamquam in eadem re etiam ἔνεστιν εἰπεῖν, quod nonnulli libri h. l. habent, dici potuisset, ut apparet ex orat. c. Leptin. 2. p. 457. οὐ γὰρ ἐκεῖνό γ' ἔνεστιν εἰπεῖν. Philipp. III. 31. p. 119. c. Apatur. 24 p. 900., illud tamen de auctoritate librorum hic praeferendum erat. Orat. in Mid. 38. p. 526. ἀλλ' οὐ Μειδίᾳ τούτων οὐδὲν ἔστι λέγειν. ibid. 71. p. 537. οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν. Idque tenendum, ubi dicatur ἔστιν εἰπεῖν, ibi plerumque in libris etiam ἔνεστιν εἰπεῖν inveniri». Παρὰ τῷ Ἡροδότῳ Β', 160 κεῖται «ξείνοισι ἀγωνιστῇσι ἐκέλευον τὸν ἀγῶνα τιθέναι, Ἠλείων δὲ μηδενὶ εἶναι ἀγωνίζεσθαι». Καὶ ὁ μὲν Βαίριος ἀποφαίνεται ἐν τῇ β' ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Α', σελ. 798 «εἶναι non differt significatione ab eo, quod paulo ante dixit ἐξεῖναι», ὁ δὲ Νάβηρος μεταβάλλει τὸ εἶναι εἰς τὸ ἐξεῖναι ἐν τῇ Μνημοσύνῃ 1855, σελ. 18 λέγων «Immo vero ἐξεῖναι, ut legati paulo superius interrogati respondent: Οἱ δὲ ἔφασαν καὶ σφέων καὶ τῶν ἄλλων Ἑλλήνων ὁμοίως τῷ βουλομένῳ ἐξεῖναι ἀγωνίζεσθαι, cf. porro III. 142, V. 101. VI. 38, VII. 4 8, IX, 23» (Πρβ. καὶ Ἑρουερδῆνα ἐν Mnemos. 1876, σελ. 311). Οὐκ ἀγνοητέον δ' ὅτι ἡ γραφὴ ἐξεῖναι εὑρέθη καὶ ἐν ἀντιγράφῳ.

Πολλάκις εὑρίσκεται τὸ ῥῆμα πάρεστι-παρῆν-παρέσται ἀπροσώπως κείμενον ἔν τε τῷ ποιητικῷ καὶ τῷ πολιτικῷ λόγῳ.

Ὁμ. Ὕμν. εἰς Ἑρμ. 448 «ἀτρεκέως γὰρ ἅμα τρία πάντα πάρεστιν, εὐφροσύνην καὶ ἔρωτα καὶ ἥδυμον ὕμνον, ἑλέσθαι».

Αἰσχύλ. Ἀγαμ. 1354 «ὁρᾶν πάρεστι» καὶ Πέρσ. 401 «καὶ παρῆν ὁμοῦ κλύειν πολλὴν βοὴν» καὶ Σοφοκλ. Ἀντιγ. 1293 «ὁρᾶν πάρεστιν» καὶ Φιλοκτ. 9 «ὅτ' οὔτε λοιβῆς ἡμῖν οὔτε θυμάτων παρῆν ἑκήλοις προσθιγεῖν». Πολλὰ ἄλλα ἐκ τῶν τραγικῶν τούτων μαρτύρια εἶνε κατειλεγμένα ὑπὸ τοῦ Γ. Δινδορφίου ἐν τῷ Αἰσχυλείῳ Λεξικῷ σελ. 274 καὶ ἐν τῷ Σοφοκλείῳ σελ. 385.

Ἀριστοφ. Πλ. 638 «πάρεστι χαίρειν, ἤν τε βούλησθε ἤν τε μή»

καὶ Εἰρ. 300 «νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος» καὶ Λυσιστρ. 403 «ὥστε θαἰματίδια σείειν πάρεστιν ὥσπερ ἐνεουρηκότας» καὶ Ὄρν. 734 «ὥστε παρέσται κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν» καὶ 1566 «τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας ὁρᾶν τοδὶ πάρεστιν»

Μένανδρ. Ἀποσπ. 930 Κοκκ. «ἡδύ γ' ἀποθνῄσκειν ὅτῳ ζῆν μὴ πάρεσθ', ὡς βούλεται».

Θουκυδ. Ζ', 65, 1 «τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακοσίοις παρῆν μὲν αἰσθάνεσθαι κτέ».

Ξενοφ. Ἀναβ. Δ', ε', 7 «οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος» καὶ Ζ', α', 25 «οἷος δ' ὁ πόλεμος ἂν γένοιτο εἰκάζειν δὴ πάρεστιν» καὶ Ἑλλην. Γ' δ', 16 (Ἀγησιλ. Α', 25) «ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ τῶν γυμναζομένων, τὸν δ' ἱππόδρομον τῶν ἱππαζομένων» καὶ Ζ', β', 9 (Ἀγησ. Β', 14) «ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δεξιουμένους, τὰς δὲ γυναῖκας πιεῖν τε φερούσας καὶ ἅμα χαρᾷ δακρυούσας» καὶ Συμποσ. Θ', 5 «ἐκ τούτου δὴ φιλούντων τε καὶ ἀσπαζομένων ἀλλήλους σχήματα παρῆν θεάσασθαι».

Πλάτ. Γοργ. σελ. 448, Α' «πάρεστι τούτου πεῖραν, ὦ Χαιρεφῶν, λαμβάνειν». Τίμ. Σοφ. Πλάτ. Λεξ. σελ. 207 «Πάρεστι: ἐκ παντὸς δυνατόν ἐστιν». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 396 καὶ Σουίδ. σελ. 827 Βεκκ.

Δημοσθ. σελ. 331, 319 «ὅτε μὲν τῇ πόλει τὰ βέλτιστα ἑλέσθαι παρῆν».

Στράβ. σελ. 48, 17 Μειν. «τὸ δ' ὕδωρ ἐκ τῆς περαίας ἀρύσασθαι παρῆν» καὶ σελ. 492, 4 «παρῆν γὰρ τῷ Νέστορι λέγειν» καὶ σελ. 857, 20 «ὥστε παρῆν τῷ Ὀδυσσεῖ αὐθημερὸν ἀναπλεῖν» καὶ σελ. 952, 12 «ἤδη οὖν πάρεστι σκοπεῖν τὴν ῥᾳθυμίαν τοῦ ποιήσαντος» καὶ σελ. 1126, 19 «ἐξ ὧν εἰκάζειν παρῆν τὸν κίνδυνον».

Πάππ. Ἀλεξ. σελ. 642, 20 Οὗλσχ. «ὧν ὁμοίως τοῖς πρότερον μίαν πρότασιν πάρεστι λέγειν».

Παρατηρητέον δ' ὅτι ὑπὸ μὲν τοῦ Ἡροδότου εἶνε εἰρημένον βιβλ. Α', 9 «καὶ κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι», ὑπὸ δὲ Διονυσίου τοῦ Ἁλικαρνασσέως περὶ Συνθ. Ὀνομ. σελ. 44 Σχαιφ. «καὶ καθ' ἡσυχίαν πολλὴν παρέσται σοι θεάσασθαι» (Ἴδε Βαλκενάριον ἐν ταῖς εἰς Ἡρόδοτον Σημειώσεσι σελ. 598 Γαισφ.).

Γίνεται δ' οὐχὶ ὀλιγάκις χρῆσις καὶ τῆς ἀπολύτου μετοχῆς παρόν Ἰων. παρεόν, οἷον Σοφοκλ. Φιλοκτ. 1100 «παρὸν φρονῆσαι» καὶ Ἀποσπ. 139, 3 Ναυκ. «μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν» καὶ 324 «ταῦτ' ἐστὶν ἄλγιστα, ἥν, παρὸν θέσθαι καλῶς, αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων». Φερεκρ. Ἀποσπ. 108 21 Κοκκ. «παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν Τάρταρον». Ἀπολλόδ. Κωμ. Ἀποσπ. 15 «ὅστις γὰρ εὐπορῶν, παρὸν ζῆν ἡδέως, κακῶς διάγει κτέ.». Ἡρόδ. Α', 129 «εἰ, παρεὸν αὐτῷ βασιλέα γενέσθαι κτέ.» καὶ ς', 72 «παρεὸν δέ οἱ πάντα ὑποχείρια ποιήσασθαι, ἐδωροδόκησε ἀργύριον πολλόν» καὶ 137 «παρεὸν ἑωυτοῖσι ἀποκτεῖναι τοὺς Πελασγούς, ἐπεί σφεας ἔλαβον ἐπιβουλεύοντας, οὐκ ἐθελῆσαι» (Πρβ. καὶ Ζ', 24 καὶ 107 καὶ 164 καὶ 229). Θουκυδ Δ', 19, 2 «ἀλλ' ἥν, παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐπιεικές, καὶ ἀρετῇ αὐτὸν νικήσας παρ' ἃ προσεδέχετο μετρίως ξυναλλαγῇ» καὶ Ε', 103, 2 «οἷς παρὸν ἀνθρωπείως ἔτι σῴζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται».

Λυσ. ὑπὲρ τῶν Ἀριστοφ. Χρημ. 14 «ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν».

Ξενοφ. Ἀναβ. Ε', η' 3 «σίτου δὲ ἐπιλελοιπότος, οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρόν, ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων». Πρβ. καὶ Ἀγησ. Α', 36.

Δημοσθ σελ. 194, 15 «καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν αὐτῶν ὑμῖν ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύουσιν» καὶ σελ. 606,41 «εἰ, παρὸν ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν, τοῦτο μὲν οὐκ ἐποίει». Πρβ. καὶ σελ. 499, 138 καὶ σελ. 670, 162 καὶ Ψευδοδημοσθ. σελ. 1435. Ἄξια παραθέσεως εἶνε ἃ ὁ λογιώτατος Νάβηρος ἔγραψεν ἐν τῇ Μνημοσύνῃ 1904, σελ. 7 «(Demosth § 18 p. 971: οὐ γὰρ ἂν δήπου τῶν αὐτῶν ἀδικημάτων παρόντων ἀμφοῖν ὁμοίως ἐγκαλῶν, τὸν μὲν εἴασε, τῷ δ' ἐδικάζετο. Nec Reiskius nec G. H. Schaeferus hunc locum potuerunt expedire et quod Blassius in textum intulit, est ea infelix admodum suspicio. Legendum: παρὸν ἀμφοῖν ὁμοίως ἐγκαλεῖν».

Πλούτ. Φαβ. ΙΑ' «διὸ καὶ τὸν λόφον ἐκ τοῦ ῥᾴστου κρύφα κατασχεῖν παρόν, οὐκ ἠθέλησεν ὁ Ἀννίβας».

Ἀριστείδ. Τόμ. Α', σελ. 583 Δινδ. «πότερον εἰ, κρατῆσαι παρόν, φεύγοιμεν ἢ καὶ ὁπωσοῦν;» καὶ σελ. 603 «ὥστ' ἄρδην ἀπολέσαι, σῶσαι παρόν» καὶ σελ. 607 «καὶ παρὸν αὐτοῖς ἀποπλεύσασιν οἴχεσθαι ἢ καὶ τῷ βασιλεῖ προσθέσθαι καθ' ἡμῶν, οὐκ ἐτόλμησαν». Πρβ. καὶ σελ. 623 καὶ σελ. 657 καὶ σελ. 703 δὶς καὶ σελ. 789 καὶ Τόμ. Β', σελ. 165 καὶ σελ. 200 καὶ σελ. 277 καὶ σελ. 360.

Παυσαν. Ἠλ. Β', Ζ', 6 «οὐδὲ ἔργον οὐδὲν ἄχαρι ἐργάζονται, παρόν σφισι πολλά τε καὶ σὺν τῷ δικαίῳ δρᾶσαι».

Γαλην. Τόμ. Γ', σελ. 807 «εἰ, παρὸν ἐν ἑκατέρῳ τῶν βλεφάρων ἥμισυ νεῖμαι τῆς ὅλης, ἡ δὲ θατέρῳ πᾶσαν αὐτὴν ἐχαρίσατο» καὶ Τόμ. ΙΑ', σελ. 179 «καίτοι μάτην πολλὰ κάμνω, παρὸν ὑπομνῆσαί σε τὸν λόγον.

Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 324,5 Βεκκ. «οὐδὲ τὰ ἰδιώματα τῆς προθέσεως ἀναδέξεται, παρὸν πιστώσασθαι ἐκ τῶν προκατειλεγμένων».

Προκόπ. Τόμ. Β', σελ. 40, 21 «οἷς δὲ παρὸν ἀμαχητὶ ἐλευθέρους εἶναι, οἱ δὲ ὅπως τὴν δουλείαν βέβαιον ἕξουσιν ἐς ἀγῶνα καθιστῶνται, οὗτοι δὴ κτέ.» καὶ σελ. 230, 6 «οἳ ἂν πολιορκουμένοις παρὸν τοῖς φιλτάτοις ἀμύνειν, οἱ δὲ τὴν ἀκίνδυνον ὄκνησιν πρὸ τῆς ἀγωνίας ἑλόμενοι τὴν ἐκείνων — ἐπικράτησιν τοῖς πολεμίοις δεδώκασι» καὶ σελ. 266, 14 «ὁ Βελισάριος ἤσχαλλεν, ἐν συμφορᾷ μεγάλῃ ποιούμενος, εἰ μή τις αὐτὸν ἐῴη, παρὸν οὐδενὶ πόνῳ τό τε κράτος τοῦ πολέμου παντὸς φέρεσθαι καὶ δοριάλωτον Οὐίτιγιν εἰς Βυζάντιον ἀγαγεῖν» καὶ Τόμ. Γ. σελ. 67, 12 «εἴ οἱ παρὸν ἐκ πάσης ἀπολεξαμένῳ τῆς Ῥωμαίων ἀρχῆς γαμετὴν γυναῖκα ποιήσασθαι — ὁ δὲ τὸ κοινὸν ἄγος ἁπάντων ἀνθρώπων αὐτοῦ ἴδιον πεποιῆσθαι οὐκ ἀπηξίου».

Λιβάν. Ἐπιστ. σελ. 114 Οὐολφ. «καὶ παρὸν αὐτῷ χαρίσασθαι τοῖς δυνατοῖς ἐκ τῶν εἰς ἐμὲ λυπηρῶν, τὰς παρ' ἐκείνων ἐλπίδας προήκατο» καὶ σελ. 189 «ἀλλ' ἀπὸ τοῦ, παρὸν κτήσασθαι, μὴ βουληθῆναι» καὶ σελ. 192 καὶ σελ. 242 καὶ σελ. 350 καὶ σελ. 625 καὶ σελ. 648 καὶ σελ. 725 (Ἴδε καὶ Κόβητον ἐν *Mnemos* 1875, σελ. 144).

Ὁ Σουίδας λέγει σελ. 830 Βεκκ. «Παρόν: ἐξόν, δυνατόν, δέον.

διὸ καὶ παρὸν κωλύειν, ὑποπιμπράντες. Καὶ αὖθις· ὁ δὲ ἤσχαλλεν, ἐν συμφορᾷ μεγάλῃ ποιούμενος εἰ μή τις αὐτὸν ἐῴη, παρὸν οὐδενὶ πόνῳ τὸ κράτος τοῦ πολέμου παντὸς φέρεσθαι». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 399, 7 «παρόν: ἐξόν, δυνατόν, δέον».

Γελοῖον εἶνε τὸ ὑπὸ τοῦ Δοξαπατρῆ εἰρημένον ἐν ταῖς εἰς Ἀφθόνιον Ὁμιλίαις (Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Β', σελ. 508, 5) «Παρὸν αἰτῆσαι θεοὺς ἑτέραν ἀλλάξασθαι φύσιν: **Ἀντίπτωσις** ἀντὶ τοῦ παρόντος, ἤγουν δυνατοῦ ὄντος» (Ἴδε καὶ ἃ ἐγράψαμεν ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ 1878, σελ. 117).

Παρατηρητέον δ' ὅτι ἐκδοὺς ὁ Σχείβιος παρὰ τῷ Λυσίᾳ σελ. 81 30 «καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ ἀλλ' ἐν τῇ ὁδῷ σῴζειν τε αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα παρόν, συλλαβὼν ἀπήγαγεν» ἐσημειώσατο σελ. κζ' «σώζειν τε αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα παρόν nunc dedi e Sauppii coni: σώζοντα αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμ. ὂν X: σώζων αὐτὸν καὶ τὰ τούτοις ἐψηφ. (omisso ὂν) C». Ἐνεκρίθη δ' ἡ ἀνάγνωσις τοῦ Σαυπίου οὐ μόνον ὑπὸ τοῦ Σχειβίου ἀλλὰ καὶ ὑπ' ἄλλων.

Ἐποιήσατο δὲ χρῆσιν τῆς ἀπολύτου μετοχῆς παρὸν καὶ ὁ Εὐριπίδης Ἀλκ. 284 «θνῄσκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ σέθεν» καὶ Ἱκέτ. 315 «πόλει παρόν σοι στέφανον εὐκλείας λαβεῖν, δείσας ἀπέστης» καὶ 723 «παρὸν δὲ τειχέων εἴσω μολεῖν, Θησεὺς ἐπέσχεν» καὶ Ἰφιγ. Τ. 1088 «καὶ γὰρ ἐνθάδ' οὐ πρέπει ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα» καὶ Μηδ. 448 «σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν κούφως φερούσῃ κρεισσόνων βουλεύματα, λόγων ματαίων εἵνεκ' ἐκπεσεῖ χθονός» καὶ Ἡρακλ. 506 «παρόν σφε σῶσαι, φευξόμεσθα μὴ θανεῖν;» καὶ Φοιν. 520 «ἐκεῖνο δ' οὐχ ἑκὼν μαθήσομαι, ἄρχειν παρόν μοι, τῷδε δουλεῦσαί ποτε» καὶ Ἀποσπ. 193 Ναυκ. «ὅστις δὲ πράσσει πολλά, μὴ πράσσειν παρὸν (Ναύκ. χρεών), μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα» καὶ 245 «μὴ 'πὶ δουλείαν ποτὲ ζῶν ἑκὼν ἔλθῃς, παρόν σοι κατθανεῖν ἐλευθέρῳ» καὶ 794 «τί δῆτα καὶ σὲ κωλύει λαβεῖν κέρδος, παρόν γε κἀξομοιοῦσθαι θεοῖς».

Ἐλέχθη δ' ὑπὸ τοῦ Εὐριπίδου ἀπροσώπως καὶ ὁ ἐνεστὼς πάρεστι(ν) καὶ ὁ παρατατικὸς παρῆν Ἱππολ. 1019 «πράσσειν τε γὰρ πάρεστι, κίνδυνός τ' ἀπὼν κρείσσω δίδωσι τῆς τυραννίδος χάριν» καὶ Ἱκέτ 707 «κἂν τῷδε τὸν στρατηγὸν αἰνέσαι παρῆν» καὶ

730 «ζητῶν ἀπώλεσ' ὄλβον ᾧ χρῆσθαι παρῆν» καὶ Μηδ. 657 «ἀχάριστος ὄλοιθ' ὅτῳ πάρεστι μὴ φίλους τιμᾶν καθαρὰν ἀνοίξαντα κλῇδα φρενῶν» καὶ Φοιν. 1117 «ὡς ὕστερον θανόντος εἰσορᾶν παρῆν». Πρβ. καὶ Ἄλκ. 760 «δισσὰ δ' ἦν μέλη κλύειν». Κεῖται δὲ παρὰ τῷ Εὐριπίδῃ καὶ τὸ πάρα = πάρεστι Ἀλκήστ. 342 «ἆρά μοι στένειν πάρα τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;» καὶ 1114 «δώματ' εἰσελθεῖν πάρα» καὶ Μηδ. 1347 «ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα» καὶ Ὀρέστ. 533 «τί μαρτύρων ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;» καὶ Φοιν. 1481 «πάρα γὰρ λεύσσειν πτώματα νεκρῶν τρισσῶν ἤδη τάδε πρὸς μελάθροις» καὶ 1553 «πάρα γὰρ στενάχειν τάδ', ἀϋτεῖν». Λέγεται δὲ πάρα ἀντὶ τοῦ πάρεστι(ν), ὡς ἔνι ἀντὶ ἔνεστι(ν) (Ἴδε καὶ Δινδόρφιον ἐν τῷ Αἰσχυλείῳ Λεξικῷ σελ. 274 καὶ ἐν τῷ Σοφοκλείῳ σελ. 386).

Περὶ τῆς ὑποτακτικῆς παρῇ τῆς ἀπαντώσης ἐν Ἀλκήστ. 356 «ἡδὺ γὰρ φίλους κἀν νυκτὶ λεύσσειν, ὅντιν' ἂν παρῇ χρόνον» ποιεῖται ὁ Βερναρδάκης ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Γ'. σελ. 640 τὴν παρατήρησιν τήνδε: παρῇ: φίλους Β, φίλοις ἄλλοι. Οἱ μὲν λαμβάνουσιν ἀπὸ κοινοῦ τὸ: αὐτῶν (φίλων) τις, οἱ δὲ τὸ: φίλος. Ἀγνοῶ, ἀφ' οὗ τὸ τριτοπρόσωπον τοῦ *πάρειμι* **συνηθέστατα λαμβάνεται ἀπροσώπως**, διατί δὲν πρέπει νὰ ληφθῇ ἀπὸ κοινοῦ ὡς ὑποκείμενον τοῦ *παρῇ* αὐτὸ τὸ λεύσσειν. Τὸ ὅντιν' ἂν παρῇ χρόνον = (*πάνθ'*) *ὃν ἂν παρῇ ὁρᾶν* (*αὐτοὺς*) *χρόνον*, ἤτοι κάθε φορὰν ὅπου μπορεῖ τις νὰ τοὺς βλέπῃ 'μπροστά του».

Πᾶς τις ἐξ ὧν ἐγράψαμεν πείθεται ὅτι οἱ ἐκδεξάμενοι ἀπροσώπως τὸ ῥῆμα παρῆν ἐν τῷ Εὐριπιδείῳ χωρίῳ «παρῆν δ' ὁρᾶν οὐ ταὐτὰ μορφῆς σχήματ' ἀλλ' ἠλλάσσετο κτέ.» εὐλογώτατα αὐτὸ οὕτως ἐξεδέξαντο, ἀλογιστότατα δ' ὁ Βερναρδάκης ἀποδοκιμάζει τὴν ἐκδοχὴν ταύτην. Καὶ ἂν δ' ὑποληφθῇ κατὰ τὴν γνώμην τοῦ Βερναρδάκη ὅτι προσωπικὸν εἶνε τὸ περὶ οὗ ὁ λόγος ῥῆμα, ἔχον ὑποκείμενον τὸ οὐδέτερον πληθυντικὸν ταὐτά (ἢ ταῦτα) σχήματα, πάλιν τοῦτο εἶνε ἑνικὸν καὶ οὐχὶ πληθυντικόν, τουτέστι πάλιν τὸ παρῆν εἶνε παρῆν καὶ οὐχὶ παρῆσαν ὡς γελοιότατα ὑπέλαβεν ὁ Βερναρδάκης. Πρβ. Σοφοκλ. Φιλοκτ. 667 «πάρεσται ταῦτά σοι καὶ θιγγάνειν καὶ δόντι δοῦναι».

Ἀξία ἐπιστάσεως εἶνε Ξενοφώντειος ῥῆσις κειμένη ἐν Ἀναβ. Α',

ε', 9. Τῆς ῥήσεως ταύτης φέρονται δύο γραφαὶ «καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν **τῇ** βασιλέως **ἀρχῇ** πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα, τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι (Κόβ. διεσπάρθαι) τὰς δυνάμεις ἀσθενής» καὶ «συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν **ἡ** βασιλέως **ἀρχὴ** κτέ.». Ἐγκρίνεται δ' ὑπ' ἄλλων μὲν ἐκδοτῶν τῆς Ἀναβάσεως αὕτη ἡ γραφή, ἣν καὶ ἡμεῖς ἀποδεχόμεθα, ὑφ' ἑτέρων δ' ἐκείνη καὶ νομίζεται ὅτι ἐλέχθη «συνιδεῖν δ' ἦν - ἰσχυρὰ οὖσα» κατὰ προσωπικὴν σύνταξιν ἀντὶ τῆς ἀπροσώπου «συνιδεῖν δ' ἦν - ἰσχυρὰν οὖσαν» ἢ ὅτι ἐπηνέχθη ἡ ὀνομαστικὴ ἰσχυρὰ οὖσα, ὡς εἰ ἀντὶ τοῦ συνιδεῖν ἦν ἦτο γεγραμμένον δήλη ἦν (Ἴδε καὶ Ῥεδάντζιον ἐν τῇ Δ' ἐκδόσει τῆς Ἀναβάσεως Τόμ. Α', σελ. 38 καὶ σελ. 131).

## Ἐπίμετρον εἰς τὸ ἡγούμενον κεφάλαιον.

Ἐν τῇ σημειώσει τοῦ Βερναρδάκη, ἣν κατεχωρίσαμεν ἐν ἀρχῇ τοῦ ἡγουμένου κεφαλαίου (ΜΒ', σελ. 113) λέγεται ὅτι ὑπὸ τοῦ Κιρχοφίου ἀνεγνώσθη ἅ φασκ' ἐν τῇ ῥήσει τοῦ Εὐριπίδου Ἰφιγ. Τ. 291. Ὁ Κιρχόφιος ἔγραψεν ἐν τῇ μεγάλῃ ἐκδόσει τοῦ Εὐριπίδου Τόμ. Β', σελ. 97 (1855) «ἃς φάσ' Ἐρινῦς ἰέναι μιμήματα» καὶ ἐποιήσατο σελ. 439 τὴν παρατήρησιν τήνδε «ἃς φᾶσ' B ἃς φάσ' (ἃ φασ' e corr. ap. Par. alterum), quod aut ἃ 'φασκ' (sic Badhamius) videtur fuisse aut ἔφασκε». Τηρήσας δ' ἐν τῇ μικρᾷ ἐκδόσει Τόμ. Β', σελ. 256 (1869) τὴν γραφὴν ἅς φάσ' οὐδὲ μνείας ἠξίωσε τὴν ἀνάγνωσιν τοῦ Βαδάμου, ἣν ἀπεδέξατο ὁ Ναύκιος ἐν τῇ ἐκδόσει τοῦ Εὐριπίδου Τόμ. Β', σελ. 71. Δηλοῦμεν δ' ὅτι κατὰ τὴν ἔκδοσιν ταύτην παρεθέμεθα ἡμεῖς τὸ Εὐριπίδειον χωρίον ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ 1880, σελ. 461 οὐδαμῶς ἐνθυμηθέντες ὅτι ὠφείλομεν νὰ ἐπανορθώσωμεν τὴν περὶ τὴν συναλοιφὴν πλημμέλειαν γράφοντες κατὰ κρᾶσιν ἅφασκ'· διότι, βραχείας οὔσης τῆς ἀναφορικῆς ἀντωνυμίας ἅ, ἀδύνατος ἀποβαίνει ἡ συναλοιφὴ αὐτῆς μετὰ τοῦ παρατατικοῦ ἔφασκ' κατ' ἀφαίρεσιν τοῦ ἀρκτικοῦ φωνήεντος αὐτοῦ Ε, τουτέστι ἅ 'φασκ'.

Πολλάκις δ' ἐν τῇ Ἀττικῇ ποιήσει εὑρίσκεται ἡ ἀναφορικὴ ἀντω-

νυμία ἃ συναληλιμμένη κατὰ κρᾶσιν μετὰ παρῳχημένου χρόνου συλλαβικῶς ηὐξημένου.

Σοφοκλ. Τραχ. 534 «τὰ μὲν φράσουσα χερσὶν ἀτεχνησάμην» καὶ Οἰδ. Τ. 1523 «καὶ γὰρ ἀκράτησας οὔ σοι διὰ βίου ξυνέσπετο» καὶ Φιλοκτ. 1247 «καὶ πῶς δίκαιον, ἅλαβες βουλαῖς ἐμαῖς, πάλιν μεθεῖναι ταῦτα;».

Εὐριπ. Ἡρακλ. Μ. 259 «οὐδ' ἀπόνησα πόλλ' ἐγὼ καμὼν χερὶ ἕξεις» καὶ 281 «πῶς γὰρ οὐ φιλῶ ἄτικτον, ἀμόχθησα;».

Ἀριστοφ. Σφ. 965 «ἀπόκριναι σαφῶς εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἅλαβες» καὶ Νεφ. 1268 «ἀλλά μοι τὰ χρήματα τὸν υἱὸν ἀποδοῦναι κέλευσον ἅλαβεν» καὶ 1270 «Α. τὰ ποῖα ταῦτα χρήμαθ'; Β. ἀδανείσατο» καὶ Ἐκκλ. 505 «ἡμῖν εὐτυχῶς τὰ πράγματ' ἐκβέβηκεν ἀβουλευσάμεν» καὶ Βατρ. 527 «οὔτι πού μ' ἀφελέσθαι διανοεῖ ἄδωκας αὐτός» καὶ Ἀχαρν. 377 «αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν» καὶ Ἱππ. 520 «τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις». Ὁ Βρούγκιος ἐσημειώσατο εἰς Ἀριστοφ. Θεσμοφ. 542 (Τόμ. Δ', σελ. 290 Βεκκ.) «ἃ 'γίγνωσκον. Crasis est, non elisio: ideo excudi debuit conjunctim ἃ γίγνωσκον. Vocales breves ἃ ἐ in ἁ longum coalescunt: alioqui recto talo non insisteret versus. Sic alibi excudi curavi, ut Nub. 1463. οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ', ἀδανεισάμην».

Λέγεται δὲ κατὰ κρᾶσιν καὶ ἄχω ἀντὶ τοῦ ἃ ἔχω καὶ ἄχομεν ἀντὶ τοῦ ἃ ἔχομεν καὶ ἀγὼ ἀντὶ τοῦ ἃ ἐγώ καὶ ἄνεστιν ἀντὶ τοῦ ἃ ἔνεστιν καὶ ἀπηγγελλόμην ἀντὶ τοῦ ἃ ἐπηγγελλόμην καὶ ἀξηνεγκάμην ἀντὶ τοῦ ἃ ἐξηνεγκάμην, κτλ.

Σοφοκλ. Οἰδ. Κ. 1129 «ἔχω γὰρ ἄχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν» καὶ Ἠλ. 451 «ἀλλ' ὅμως ἄχω, δὸς αὐτῷ». Ἀριστοφ. Λυσιστρ. 1054 «ὡς πλέ' ἐστὶν ἄχομεν βαλλάντια».

Εὐριπ. Φοιν. 878 «ἀγὼ τί οὐ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη, εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου». Ἀριστοφ. Νεφ. 738 «ἀκήκοας μυριάκις ἀγὼ βούλομαι» καὶ 1009 «ἢν ταῦτα ποιῇς ἀγὼ φράζω». Ἐν τῇ Ἀθηνᾷ 1890, σελ. 527 ἐγράψαμεν: Ἄξιον παρατηρήσεως εἶνε ὅτι ἐγράφη ὑπό τε τοῦ Σταλβαυμίου ἐν τῷ Φιλήβῳ τοῦ Πλάτωνος σελ. 14 б' «ἃ 'γὼ τίθεμαι» καὶ ὑπὸ τοῦ Βοιμελίου παρὰ τῷ Δημοσθένει σελ. 49, 33 (Δη.

μοσθ. Δημηγορ. σελ. 439) «ἃ 'γὼ γέγραφα». Ἀλλ' ἡ ἐκφορὰ αὕτη ἔχει πλημμελῶς. Μόνον τὸ κατὰ κρᾶσιν προενηνεγμένον ἀγώ εἶνε ὑγιὲς (Πρβ. καὶ Σχάνζιον ἐν *Nov. Comment. Plat.* σελ. 97). Παρὰ τῷ Ἰσαίῳ σελ 134,32 καὶ παρ' ἄλλοις φέρεται τὸ ἀσυνάλειπτον ἃ ἐγώ».

Ἀριστοφ. Νεφ. 1072 «σκέψαι γάρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα ἄνεστιν» καὶ Σοφ. Ἠλ. 1018 «ἤδη σ' ἀπορρίψουσαν ἀπηγγελλόμην» καὶ Ἀριστοφ. Ἐκκλ. 513 «τἆλλά θ' ἀξηνεγκάμην» καὶ 118 «ὅπως προμελετήσαιμεν ἀκεῖ δεῖ λέγειν». Σοφοκλ. Οἰδ. Τύρ. 235 «ἀκ τῶνδε δράσω». Εὐριπ. Ἱππολ. 712 «σιγῇ καλύπτειν ἀνθάδ' εἰσηκούσατε». Κακῶς εἶνε γεγραμμένον κατ' ἀφαίρεσιν ἐν τοῖς εἰς Σοφοκλέα Σχολίοις Τόμ. Α', σελ. 140 ἃ 'κ τῶνδε καὶ παρὰ Θωμᾷ τῷ Μαγίστρῳ σελ. 143, 6 «καλῶς ἤδη σ' ἀπορρίψουσαν ἃ 'πηγγειλάμην».

Ὁ Ἀσώπιος μνημονεύων ἐν τῇ Ἱστορίᾳ τῶν Ἑλλήνων Ποιητῶν καὶ Συγγραφέων σελ. 553 τὴν ῥῆσιν τοῦ Ἀριστοφάνους Βατρ. 1062 ἐκφέρει αὐτὴν ὧδε· «ἃ 'μοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ». Ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ εἶνε ἀμοῦ. Πρβ. ἀμοί (Σοφ. Τραχ. 158) καὶ ἀμέ (Σοφ. Ἀντιγ. 734 καὶ Εὐριπ. Ἰφιγ. Α 659 καὶ Ἴων. 1539 καὶ Ἱππολ. 345 καὶ Ἀριστοφ. Ἱππ. 16). Σημειωτέον δ' ὅτι τὸ κατ' ἀφαίρεσιν συναληλιμμένον ἅ 'μοῦ φέρεται καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 304, 29 Διδ. Ἐγράφη δὲ ὑπὸ τοῦ Ἀσωπίου ἐν τῷ μνημονευθέντι βιβλίῳ καὶ ὦ 'γαθέ ἀντὶ τοῦ ὦγαθέ ἢ ὠγαθέ (σελ. 480) καὶ κ' οὐδέ ἀντὶ τοῦ κοὐδέ (σελ. 880)· ἔτι δὲ καὶ χ' ἤ ἀντὶ τοῦ χἤ ἐν τῇ Α' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 56 § 8 ἐκδ. ζ'.

Ὡς δ' ὁ πληθυντικὸς ἀριθμὸς ἅ συναλείφεται ἀείποτε ἀναγκαίως κατὰ κρᾶσιν μετὰ λέξεως ἀρχομένης ἀπὸ τοῦ φωνήεντος Ε, οὕτω καὶ ὁ ἑνικὸς ἀριθμὸς ὅ, οἷον οὑπόθεις = ὃ ἐπόθεις καὶ οὑφόρει = ὃ ἐφόρει καὶ οὑφοβεῖτο = ὃ ἐφοβεῖτο καὶ οὑξερῶ = ὃ ἐξερῶ καὶ οὑμοί — ὃ ἐμοὶ (Σοφοκλ. Ἠλ. 4 καὶ 420 καὶ Οἰδ. Τ. 722 καὶ 936 καὶ Τραχ. 286 καὶ Ἡρ. Μ. 286), οὕδοξε = ὃ ἔδοξε καὶ οὑνδύεται = ὃ ἐνδύεται καὶ οὑγώ = ὃ ἐγώ (Ἀριστοφ. Ἐκκλ. 814 καὶ 333 καὶ Λυσ. 240).

Κατὰ τὸν αὐτὸν τρόπον συναλείφεται καὶ τὸ ἄρθρον ὁ, οἷον οὑκ = ὁ ἐκ καὶ οὑξ = ὁ ἐξ καὶ οὑν = ὁ ἐν καὶ οὑκείνου = ὁ ἐκείνου καὶ οὑμός = ὁ ἐμός καὶ οὑπικωλύσων = ὁ ἐπικωλύσων καὶ

οὐξιών = ὁ ἐξιὼν καὶ οὐπάγων = ὁ ἐπάγων καὶ οὐκκυκλούμενος = ὁ ἐκκυκλούμενος καὶ οὐπιτιμητής = ὁ ἐπιτιμητὴς καὶ οὐπίτριπτος = ὁ ἐπίτριπτος καὶ οὐργάτης = ὁ ἐργάτης, κτλ. καὶ οὔποψ = ὁ ἔποψ Ἀριστοφ. Ὄρν. 226. 265, κτλ. (Ἴδε καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἀποσπασμάτων σελ. ια΄).

Παρατηρητέον δ' ὅτι φέρεται ἀπόσπασμα τοῦ Μενάνδρου ἔχον ὧδε «Α. κόψω τὴν θύραν. Β. ἀλλ' ἐψόφει καί τις τὴν θύραν ἐξιών»· ὀρθῶς δ' ἀνεγνώσθη ὑπὸ τοῦ Κοβήτου ἐν *Var. Lect.* σελ. 217 «ἀλλ' ἐψόφηκεν ἡ θύρα, τίς οὐξιών;».

---

## ΚΕΦ. ΜΓ΄.

### Φιληδοῦντας - φιληδονοῦντας καὶ φιληδούντων - φιληδονούντων.

Παρὰ τῷ Ὠριγένει κεῖται Τόμ. ΙΓ΄, σελ. 216 «Ἀπειλητικὸν γὰρ ἡ ἀρετή τε καὶ γνῶσις πρὸς τοὺς φιληδονοῦντας πλάναις καὶ μέθαις» καὶ Τόμ. Κ΄, σελ. 7 «ταῖς ἀπὸ τῶν θυσιῶν ἀναθυμιάσεσι καὶ ταῖς ἀπὸ τῶν αἱμάτων καὶ ὁλοκαυτωμάτων ἀποφοραῖς τρεφόμενα αὐτῶν τὰ σώματα, φιληδονούντων τοῖς τοιούτοις». Εἶνε δὲ γεγραμμένον καὶ ἐν τῇ νέᾳ ἐκδόσει συγγραμμάτων τοῦ Ὠριγένους Τόμ. Β΄, σελ. 157, 9 (1899) «φιληδονούντων τοῖς τοιούτοις».

Τὸ ῥῆμα φιληδονεῖν τοῦ ἐπιθέτου φιλήδονος παράγωγον ὂν ἰσοδυναμεῖ τῷ φιλήδονον εἶναι· ἐπειδὴ δὲ κατ' οὐδένα τρόπον δύναται νὰ ῥηθῇ φιληδονεῖν τινι ἀντὶ τοῦ χαίρειν ἢ ἀσμενίζειν ἢ ἀρέσκεσθαί τινι, ἀναγκαίως ἔχει ν' ἀναγνωσθῇ ἐν ταῖς ῥήσεσι τοῦ Ὠριγένους «πρὸς τοὺς φιληδοῦντας πλάναις καὶ μέθαις» ἀντὶ τοῦ φιληδΟΝοῦντας καὶ φιληδούντων τοῖς τοιούτοις» ἀντὶ τοῦ φιληδΟΝούντων.

Παρατηρητέον δ' ὅτι παρὰ τῷ Αἰλιανῷ περὶ Ζῴων Β΄, 15 πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ «πομπίλον πελάγιον καὶ βυθῷ φιληδοῦντα εἰδέναι χρὴ μάλιστα ἰχθύων ὧν ἴσμεν ἀκοῇ» φέρεται καὶ ἡ ἡμαρτημένη φιληδονοῦντα. Πρβ. Β΄, 41 «φιληδοῦσι δὲ μᾶλλον τοῖς

μεμιασμένοις καὶ κακόσμοις» καὶ Δ', 59 «ἀλλ' οὐδὲ ἠπείροις φιληδεῖ οὐδὲ νήσοις ἀγαθαῖς» καὶ Ε', 3 «τῷ πηλῷ καὶ τῇ ἰλύϊ φιληδοῦντες».

Τοῦ ῥήματος φιληδεῖν συνωνυμοῦντος τῷ χαίρειν ἢ ἀσμενίζειν ἢ ἀρέσκεσθαι ἐποιήσατο χρῆσιν καὶ ὁ Ἀριστοφάνης καὶ ὁ Ἀντιφάνης καὶ ὁ Καλλίμαχος καὶ ἄλλοι οὐκ ὀλίγοι.

Ἀριστοφ. Εἰρ. 1130 «οὐ γὰρ φιληδῶ μάχαις».

Ἀντιφάν παρ' Ἀθην. σελ. 95, Ϛ' «φιληδεῖ ταῖς ὑσίν».

Καλλίμ. Ὕμν. εἰς Ἀπόλλ. 56 «Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ κτιζομένῃς».

Διογέν. Λαέρτ. Β', 58 (Ἀνθολ. Παλατ. Ζ', 98) «ἢ σὺ φιληδῶν οὕτως ἀρέσκῃ».

Πολύβ. ΛΔ', ι', 4 «φιληδοῦσι γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ».

Ἀθήν. σελ. 104, Δ' «ὃς διὰ τὸ φιληδεῖν τῷ βρώματι Κάραβος ἐπεκλήθη» καὶ σελ. 338, Ε' «Ἀντιφάνης δ' ἐν Ἁλιευομένῃ φιληδοῦντάς τινας καταλέγων ἰχθύσι φησί». Πρβ. σελ. 339, Δ' «Πυθιονίκην δέ φησι φιληδεῖν ταρίχῳ» καὶ σελ. 312, Ε' «οὐδὲ γὰρ ἐπὶ τενάγους ἔχεις νέμεσθαι, φιληδοῦντας ἀμμώδεσιν ἐρημίαις».

Μουσών παρὰ Στοβ. Ἀνθολ. Τόμ. Β', σελ. 15, 30 Μειν. «δεῖ τὸν ἀσκοῦντα ζητεῖν περιγίγνεσθαι ἑαυτῷ τῇ μὲν ἡδονῇ μὴ ἀσμενίζειν, τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι, καὶ τῷ μὲν ζῆν μὴ φιληδεῖν, τὸν δὲ θάνατον μὴ δεδιέναι».

Πορφύρ περὶ Ἀποχ. Ἐμψ. Α', 55 (σελ. 130, 3 Ναυκ.) «οὐχὶ φιληδούντων οἷς πεπόνθασιν καὶ ἐν οἷς εἰσὶν οὐκ εἰδότων». Πρβ. καὶ Β', 47 (σελ. 175, 14) «ἐπεὶ οὖν τῶν ζῴων αἱ βίαιοι σφαγαὶ ἘΜφιληδεῖν τὰς ψυχὰς οἷς ἀπολείπουσιν ἀναγκάζουσιν», ᾧ ὅμοιον τὸ ὑπὸ Μάρκου Ἀντωνίνου εἰρημένον Ε', 5 «καὶ τοῦτο δὲ ἀσκητέον μὴ παρενθυμουμένῳ μηδὲ ΕΜφιληδοῦντι τῇ νοθείᾳ», ὡς ἀνεγνώσθη ἐξ ἀντιγράφων ἀντὶ τοῦ ΕΜφιληδΟΝοῦντι.

Στέφ. Βυζάντ. σελ. 4, 9 Μειν. «τὰ γὰρ εἰς ΙΣ φιληδεῖ τῷ εἰς ΙΤΗΣ τύπῳ» καὶ σελ. 91. 17 «ἀλλ' ἔοικε τὸ Ρ αἴτιον εἶναι, φιληδοῦν τῇ συντάξει τοῦ Α» καὶ σελ. 221,7 «ᾧ τύπῳ φιληδοῦσιν Ἄραβες».

Γεώργ. Παχυμ. Τόμ. Β', σελ. 23, 5 «ὁ γὰρ βασιλεύς, νοῦς ὢν ἐκεῖνος φιληδῶν τῷ καλῷ, κτέ.».

Νικήτ. Χωνιάτ. σελ. 270, 21 Βόνν. «πολυκτήμονες δὲ καὶ πολυφρόντιδές εἰσιν ὑπὲρ τοὺς τῇ ἐνταῦθα φιληδοῦντας ζωῇ» καὶ σελ. 287, 6 «καὶ προστέτηκε παιδιαῖς ὁπόσαις φιληδοῦσιν οἱ παιδαριώδεις» καὶ σελ. 710, 16 «ταῖς χρονίαις φιληδοῦσα μεταβολαῖς». Σημειωτέον δ' ὅτι ἐν τῷ πρώτῳ χωρίῳ φέρεται καὶ πλημμελὴς γραφὴ φιληδΟΝοῦντας.

Σχολ. Ἰλ. Τόμ. Β', σελ. 171, 25 Δινδ. «Ἀττικοὶ μέντοι οἱ νεώτεροι τὴν ἅμαξαν δασύνουσιν, ἴσως διὰ τὸν σχηματισμὸν καὶ διὰ τὸ φιληδεῖν τῇ δασείᾳ». Πρβ. καὶ Σχολ. Πινδ. σελ. 329 Βοικκ. «ὁποῖα μάλιστα αἱ ὁμήλικες παρὰ ταῖς ἑαυτῶν φίλαις φιληδοῦσι ταῖς ἑσπεριναῖς ᾠδαῖς μετεωρίζεσθαι τὴν ψυχὴν καὶ παίζειν».

Πολλάκις τὸ περὶ οὗ ὁ λόγος ῥῆμα ἀπαντᾷ ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου, οἷον σελ. 365, 20 «καὶ ἐνταῦθα δὲ πάλιν ἡ ὑπὸ πρόθεσις τῇ δοτικῇ φιληδεῖ ἐν τῷ ὑπὸ Τμώλῳ». σελ. 461, 15 «φρεωρυχίᾳ φιληδεῖν ἱστόρηται». σελ. 542, 43 «ἔνθα ὅρα τὴν ὑπὸ πρόθεσιν συνήθως φιληδοῦσαν συντάξει δοτικῇ». σελ. 634, 8 «διὸ καὶ ὁ ποιητὴς φιληδεῖ τούτοις». σελ. 1326, 37 «ὁποίοις τε ὁ ἀπέριττος καὶ ὑδροχαρὴς Διογένης ἦν φιληδῶν». σελ. 1367, 41 «φιληδεῖ γὰρ τῷ τοιούτῳ ἀριθμῷ Ὅμηρος». σελ. 1533, 35 «τὴν Κορινθίαν ἑταίραν Ἀρισταγόραν ἔχων καὶ πάνυ φιληδῶν αὐτῇ ὡς καλλίστῃ». σελ. 1541, 25 «καὶ συκέαις δὲ φιληδεῖ προσπεφυκυίαις θαλάσσῃ». σελ. 1568, 28 «ἤγουν αἷς γυναιξὶ φιληδεῖ καὶ οἷς ἀνδράσι προσέχει». σελ. 1572, 56 «ὡς δὲ καί τις ὕστερόν ποτε φιληδῶν τῷ ὀσπρίῳ ἐπεκαλεῖτο σκωπτικῶς δι' αὐτὸ φακῆ». σελ. 1577, 1 «διὰ τὸν μελοποιὸν δηλαδὴ Ἴβυκον φιληδήσαντα τοιαύτῃ γλώσσῃ». σελ. 1719, 2 «εἰσάγων τοὺς φιληδοῦντας βίῳ παρασιτικῷ» (Πρβ. καὶ σελ. 1597, 18 «διὰ τοὺς οὕτω φιληδοῦντας ἀκούειν Φαίακας»). Κεῖται δὲ καὶ ἐν τοῖς Μικροῖς Συγγράμμασι τοῦ Εὐσταθίου σελ. 268, 87 «φιληδεῖ γὰρ σώμασι τοιούτοις ἐκεῖνος» καὶ σελ. 287, 80 «ἑορτὴ φιληδεῖ τοιούτοις ἀνδράσι» καὶ σελ. 304, 68 «οἷς πρὸ τῶν ἄλλων φιληδοῦσιν οἱ Σῆρες». Ἀποφαίνεται δ' ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 437, 3 «ὁμοίως δὲ καὶ ἐκ τοῦ φιλεῖν καὶ τοῦ ἥδεσθαι τὸ φιληδεῖν γίνεται». Οὐδεμίαν δὲ νῦν περὶ τούτου παρατήρησιν ποιούμεθα.

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Η', σελ. 817 λέγεται

«Apud Theophr. H. Pl. 9,16,1 non adjecto dat., de dictamno: καὶ τοῦτον αἱ αἶγες ἐκνέμονται, διὰ τὸ φιληδεῖν. Addita praeposit. Alciphro 3, 24: Πρὸς τοῖς μυροπωλίοις φιληδεῖ. Cum ἐπὶ apud Suidam s. v. Πενέσται: Φιληδούντων ἐπὶ τῇ χώρᾳ· sed ἐπὶ omissum apud Photium eadem in glossa p. 409, 21».

Παρὰ τῷ Γαληνῷ εὑρίσκεται τὸ ῥῆμα φιληδεῖν συντεταγμένον τῇ προθέσει ΠΡΟΣ μετ' αἰτιατικῆς πτώσεως, Τόμ. Ζ', σελ. 611 «οὐ γάρ ἐστιν ἅπασι μετ' ὀδύνης ἡ ψῦξις. ἀλλά τινες αὐτῶν, ὅσοι θέρους ὥρᾳ μάλιστα μὴ φέροντες τὸ πνῖγος εἰς ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσιν, οὕτω φιληδοῦσι πρὸς τὴν ψῦξιν, ὥστε διατρίβουσιν εἰς τοσοῦτον ἐν αὐτῷ, μέχρις ἂν ἁπτομένῳ σοι δόξωσιν ἀπεψῦχθαι δίκην κρυστάλλου».

Παρατηρήσεως ἄξιον εἶνε ὅτι παρὰ μὲν τῷ Σουίδᾳ φέρεται σελ. 24 Βεκκ. «Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος», παρὰ δὲ τῷ Ζηνοβίῳ Β', 37 (Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 42 Γοττ.) «Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδονοῦντος· εὐχερὴς γὰρ ὁ πρὸς τὴν Δῆλον πλοῦς, καὶ οἱ ἐκεῖσε καταίροντες ἀφροντίστως πλέοντες ᾖδον». Πρβ. καὶ Γρηγόρ. Κύπρ. Α', 10 (Τόμ. Β', σελ. 94) «Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τῶν ἀφροντίστων καὶ φιληδόνως βιούντων».

Ἐμνημονεύθη ἐν τοῖς ἄνω ῥῆσις τοῦ Εὐσταθίου ἔχουσα ὧδε «ἔνθα ὅρα τὴν ὑπό πρόθεσιν συνήθως φιληδοῦσαν συντάξει δοτικῇ». Ἐπειδὴ ἐνδεχόμενον εἶνε νὰ φανῇ τινι παράδοξος ἡ τοιαύτη ἐκφορά, ποιοῦμεν γνωστὸν ὅτι πολλάκις ὑπὸ τοῦ Εὐσταθίου γίνεται χρῆσις ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ σύνταξις γενική καὶ σύνταξις δοτική καὶ σύνταξις αἰτιατική ἀντὶ τοῦ σύνταξις μετὰ γενικῆς, κτλ., οἷον σελ. 554, 33 «ἀλλὰ καὶ γενικὴν ὡς τὰ πολλὰ ἔχει σύνταξιν». σελ. 678, 53 «ὅτι ἐν ἄλλοις τὸ εὖ εἰδὼς γενικῇ συντάσσων ἐνταῦθα τὸ οἶδα κατὰ σύνταξιν αἰτιατικὴν προάγει». σελ. 722, 42 «ἐνταῦθα δὲ ἐπὶ θρόνον κατὰ σύνταξιν αἰτιατικήν». σελ. 732, 46 «ἡ τῆς ἐξ προθέσεως νόησις ἐπικρατεῖ καὶ προκαλεῖται γενικὴν σύνταξιν». σελ. 801, 8 «ἐφ' ὧν ἡ περὶ πρόθεσις ὡς ἰσοδυναμοῦσα τῇ ἐπὶ τὴν δοτικὴν ἔχει σύνταξιν». σελ. 880, 48 «ὅρα δὲ ὡς τὸ μὲν ἴδμεν, ἤγουν εἰδέναι ἔργα, αἰτιατικὴν σύνταξιν ἔσχε, τὸ δὲ εἰδότε ἀλ-

κῆς γενικήν». σελ. 929, 46 «ἀνδρὶ δὲ ἀντιβολῆσαι κατὰ σύνταξιν δοτικήν». σελ. 953, 39 «σημείωσαι δὲ τὸ εὖ εἰδὼς κῆρα· οὐ γὰρ ὥσπερ τόξων εὖ εἰδὼς καὶ πολέμων εὖ εἰδὼς κατὰ γενικὴν σύνταξιν». σελ. 959, 26 «οἱ γὰρ μεθ' Ὅμηρον ἐν τούτοις δοτικὴν οἴδασι σύνταξιν». σελ. 989, 34 «τὸ δὲ ἀριδείκετον ἀνδρῶν ὅτι διὰ τὴν ἀρι ἐπίτασιν ἔχει τὴν κατὰ γενικὴν σύνταξιν». σελ. 1114, 1 «τὸ δὲ μνήσω, ἤγουν εἰς μνήμην ἀγάγω, ἐν τῷ τῶν σ' αὖτις μνήσω γενικὴν ἔχει σύνταξιν». σελ. 1068, 37 «ἔστι δὲ ἀντῆσαι κατὰ γενικὴν σύνταξιν τὸ ἄντην γενέσθαι». σελ. 1088,32 «ὡς γὰρ ἐκεῖνο γενικὴν ἔχει σύνταξιν, ὅτε ληφθῇ ἀντὶ τοῦ εἴδησιν ἔχων, οὕτω καὶ τὸ διδασκόμενος συντάσσοιτο ἂν γενικῇ ἀναλυθὲν εἰς τὸ διδασκαλίαν ἔχων». σελ 1179, 17 «ἰστέον δὲ ὅτι καὶ ὧδε κεῖται τὸ ἐπειγόμενός περ Ἄρηος κατὰ γενικὴν σύνταξιν». σελ. 1181, 9 «τὸ δὲ ἐπιτλήτω εὖ συντάσσεται δοτικῇ κατὰ τὸ ἐπιμεινάτω· τὸ μέντοι τλήτω αἰτιατικὴν ἔχει σύνταξιν». σελ 1224, 11 «ὅτε μέντοι τὸ ἑλεῖν οὐ σημαίνει τὸ ἅψασθαι, τότε δὴ αἰτιακὴν ἔχει σύνταξιν». σελ. 1243, 34 «τὸ δὲ πρὸς ἑαυτῷ ἔλαβεν, ὃ καὶ ἀσπάζεσθαι λέγεται, ὅ ἐστι πρὸς ἑαυτὸν σπᾶσθαι, τὴν δοτικὴν σύνταξιν ἔχει διὰ τὴν τῆς ΠΡΟΣ προθέσεως ἐγγύτητα». σελ. 1288, 54 «ὅρα δὲ ὅτι ἀνωτέρω εἰπὼν κατὰ γενικὴν πυρὸς λελάχωσιν, ὑποκαταβὰς αἰτιατικὴν ἔθετο σύνταξιν». σελ. 1302,17 «τὸ δὲ ὑπὸ Ἴλιον ἀλλαχοῦ ὑπὸ Ἰλίῳ λέγων Ἀττικῶς ἐνταῦθα κατὰ αἰτιακὴν σύνταξιν κοινότερον ἔφρασεν». σελ. 1340,9 «ὅτι ἀνωτέρω τὸ λαχεῖν αἰτιατικῇ συντάξας ἐν τῷ τὸ γὰρ λάχομεν γέρας ἡμεῖς, ἐνταῦθα γενικὴν ἐπ' αὐτοῦ ποιεῖται σύνταξιν». σελ. 1411, 1 «ὅρα δὲ ὅτι ἐν μὲν Ἰλιάδι εὖ εἰδῶς τόξων ἔλεγε καὶ τοιαῦτά τινα κατὰ σύνταξιν γενικήν». σελ. 1625, 27 «ὥσπερ δὲ οἱ ταρσοὶ τυρῶν βρῖθον κατὰ γενικὴν σύνταξιν». σελ. 1940,62 «τὸ δὲ πειράζειν γενικὴν καὶ αὐτὸ ἔχει σύνταξιν ἐνταῦθα». σελ. 1950,27 «ἐπιέναι γοῦν τις καὶ ἐπέρχεσθαί τινι λέγεται κατὰ δοτικὴν σύνταξιν». Ἐν σελ. 971,18 εἶπεν ὁ Εὐστάθιος «αἴτιον δὲ τῆς πληθυντικῆς συντάξεως ὁ μερισμὸς τοῦ ἕκαστος». Πρβ. σελ. 736, 38 «ἐπέκρινε δὲ Ὅμηρος τὴν ἐν δοτικῇ σύνταξιν» καὶ σελ. 762,8 «τὸ δὲ εἰδότα πολέμου συνήθη Ὁμήρῳ σύνταξιν ἔχει τὴν μετὰ γενικῆς» καὶ σελ. 842,9 «ἰστέον δὲ ὅτι τὸ μὲν ἀριδείκετος καὶ κορυφαῖος καὶ δῖος ἔχουσι τὴν ὑπερθετικὴν μετὰ γενικῆς σύνταξιν» καὶ σελ. 1237,46 «τὸ δὲ ἔληγε ποτὲ μὲν

αὐτὸ καθ' αὐτὸ λέγεται, ποτὲ δὲ καὶ σύνταξιν ἐπιδέχεται καὶ αὐτὴν ἢ μετὰ γενικῆς — ἢ μετὰ αἰτιατικῆς» καὶ σελ. 1384, 44 «ὅτι τὸ δῖα ἡ ἐνδοξοτάτη διὰ τὸν Δία συντάσσεται ὑπερθετικῶς μετὰ γενικῆς· ἐπεὶ γὰρ ὑπερκεῖσθαι πάντων ἐδόκει ὁ Ζεύς, διὰ τοῦτο καὶ τὸ δῖος καὶ τὸ δῖα ἐκ τῆς Διὸς γενικῆς γινόμενα ὑπερθετικὴν σύνταξιν ἔχουσιν ὡς καὶ ἐν τῇ Ἰλιάδι πλατύτερον γέγραπται» καὶ σελ. 1742, 30 «ἐκνικᾷ γὰρ πανταχοῦ ἡ ἀρσενικὴ σύνταξις». Σημειωτέον δ' ὅτι ἐν σελ. 1217,9 εἶνε γεγραμμένον «εἶτα ἐπανακάμπτει ἐν ἑβδόμῳ στίχῳ εἰς τὴν ἐξ ἀρχῆς τῆς αἰτιατικῆς σύνταξιν».

Ἐλέχθη δὲ καὶ ὑπ' Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως περὶ Συντ. σελ. 294,20 Βεκκ. «συνῆλθεν ὁμοίως εἰς τὴν αἰτιατικὴν σύνταξιν».

---

## ΚΕΦ ΜΔ΄.

### Φαίνω-πέφαγκα, ὑφαίνω-ὕφαγκα, κτλ. ὀξύνω-ὤξυγκα, αἰσχύνω-ᾔσχυγκα, κτλ.

Ὁ Γεώργιος Παπασλιώτης γράφει ἐν τῇ ὑπὸ τοῦ Γενναδίου μὲν συνταχθείσῃ, ὑπ' αὐτοῦ δὲ διασκευασθείσῃ Γραμματικῇ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 136,455 «Παρακείμενοι ἐνεργητικοὶ ἐκ ῥημάτων εἰς νω εὕρηνται παρὰ τοῖς Ἀττικοῖς μόνοι οἱ κέκρικα, τέτικα καὶ τέτακα· παρὰ δὲ τοῖς μεταγενεστέροις καὶ οἱ φαίνω-πέφαγκα (καὶ παρὰ τῷ ῥήτορι Δεινάρχῳ). ὀξύνω-ὤξυγκα, ὑφαίνω-ὕφαγκα. μιαίνω-μεμίαγκα· οἱ δὲ τραχύνω-τετράχυκα καὶ θερμαίνω-τεθέρμακα ἀποβάλλουσι καὶ τὸ ν. Τὰ εἰς *ινω υνω*, *εινω* ἀποβάλλουσι τὸ ν πρὸ συμφώνου· οἷον, κρίνω-κέκρικα-κέκριμαι-κριθήσομαι-ἐκρίθην, πλύνω-πέπλυμαι-ἐπλύθην-πλυθήσομαι, κτείνω - ἔκτακα - ἔκταμαι-ἐκτάθην - κταθήσομαι, κλίνω - κέκλιμαι-ἐκλίθην, τείνω-τέτακα-τέταμαι-ἐτάθην».

Μνημονεύομεν καὶ ἣν περὶ τοῦ αὐτοῦ πράγματος ἐκφέρει γνώμην ὁ Δημήτριος Βερναρδάκης ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ 107 § 361 «Τὰ ῥήματα κρίνω, κλίνω, τείνω, κτείνω καὶ πλύνω

ἀποβάλλουσι τό: ν ἐν τῷ ἐνεργητικῷ καὶ παθητικῷ παρακειμένῳ καὶ ὑπερσυντελικῷ, καὶ τῷ παθητικῷ μέλλοντι καὶ ἀορίστῳ α΄., οἷον: κρί͂νω κρῖν κέκρῐκα ἐκεκρί͂κειν κέκρῐμαι ἐκεκρί͂μην ἐκρί͂θην κρῐθήσομαι, τείνω τέτᾰκα ἐτετά͂κειν τέτᾰμαι ἐτετά͂μην ἐτά͂θην ταθήσομαι, κτλ. Σημ. Πλὴν τῶν ἀνωτέρω ῥημάτων τὰ λοιπὰ εἰς -νω φυλάττουσι τό: ν ἐν τοῖς προμνημονευθεῖσι χρόνοις, οἷον φαίνω φᾰν-πέφαγκα ἐπεφάγκειν ἐφάνθην φανθήσομαι. Ἀλλ' ὁ μὲν α΄. παρακείμενος τῶν εἰς -νω πλὴν τῶν: κέκρικα, τέτικα καὶ τέτακα, εἶνε σπανιώτατος παρὰ τοῖς Ἀττικοῖς, οἱ δὲ κοινοὶ πρὸς ἀποφυγὴν τοῦ κακοφώνου -γκα καὶ ἀποβάλλουσιν αὐτοῦ τὸ ν, ἐάν ποτε καὶ τὸν σχηματίσωσιν, οἷον: βραδύνω βεβράδυκα ὄχι βεβράδυγκα, ὁμοίως: θερμαίνω τεθέρμακα, τραχύνω τετράχυκα κτλ.».

Ὀρθότερον δὲ τοῦ διδάγματος τοῦ Βερναρδάκη εἶνε τὸ τοῦ Παπασλιώτου· διότι οὗτος μὲν τῷ Κρυγήρῳ ἀκολουθῶν διδάσκει ὅτι παρὰ τοῖς μεταγενεστέροις ἐσχηματίσθησαν παρακείμενοι ἐκ ῥημάτων εἰς -ΝΩ ληγόντων κατὰ τροπὴν τοῦ Ν τῆς ῥίζης εἰς Γ πρὸ τῆς καταλήξεως ΚΑ, οἷον ὀξύνω (ὀξυνῶ) ὤξυγκα καὶ ὑφαίνω (ὑφανῶ) ὕφαγκα καὶ μιαίνω (μιανῶ) μεμίαγκα, ἐκεῖνος δ' ἀρνεῖται ὅτι ὑπῆρξαν τοιοῦτοι παρακείμενοι ἀποφαινόμενος «οἱ δὲ κοινοὶ πρὸς ἀποφυγὴν τοῦ κακοφώνου -γκα καὶ ἀποβάλλουσιν αὐτοῦ τὸ ν, ἐάν ποτε καὶ τὸν σχηματίσωσιν, οἷον: βραδύνω βιβράδυκα ὄχι βεβράδυγκα, ὁμοίως: θερμαίνω τεθέρμακα, τραχύνω τετράχυκα κτλ.». Κατὰ τὸν λόγον τοῦτον τοῦ Βερναρδάκη, ἄν ποτε ἐν τῇ κοινῇ καλουμένῃ διαλέκτῳ ἐσχηματίζετο παρακείμενος ἐκ ῥήματος εἰς ΝΩ τελευτῶντος, ἵνα μὴ παραχθῇ τύπος περατούμενος εἰς τὸ κακόφωνον ΓΚΑ, ἀπεβάλλετο τὸ Ν τῆς ῥίζης πρὸ τῆς καταλήξεως ΚΑ· τούτου δὲ γινομένου, ἀδύνατος πάντως ἀπέβαινεν ἡ ὕπαρξις τῶν τύπων ὤξυγκα καὶ ὕφαγκα καὶ μεμίαγκα, ὑφίσταντο δὲ μόνοι οἱ χαρίεντες ὤξυκα καὶ ὕφακα καὶ μεμίακα. Ἂν μὴ ὅλως ἀταλαίπωρος μηδὲ λίαν ἀστάθμητος ἦτο ὁ Βερναρδάκης, οὐδαμῶς θὰ ἡμάρτανε τηλικοῦτον ἁμάρτημα. Παρατηρητέον δ' ὅτι μνημονεύεται ὑπὸ τοῦ Βερναρδάκη ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ παρακείμενος ἥκιστα συνᾴδων τῷ σοφῷ αὐτοῦ διδάγματι σελ. 151 § 417 «χάσκω. — Οἱ λοιποὶ ἐκ τοῦ χαίνω — μέλλ.

χανοῦμαι, ἔχανον [κέχαΓκα] κέχηνα». Πρβ. Κρυγῆρον ἐν Γραμματ. τῆς Ἑλλην. Γλώσσης Τόμ. Α', α', σελ. 186 (1848) «χάσκω—Fu. χανοῦμαι, Ao. ἔχανον, Pf. [κέχαγκα Bekker Anecd p. 611] κέχηνα»

Εἴπομεν ἐν τοῖς ἄνω ὅτι ὀρθότερα τοῦ Βερναρδάκη διδάσκει ὁ Παπασλιώτης τῷ Κρυγήρῳ ἀκολουθῶν. Ὁ Γερμανὸς οὗτος γράφει ἐν τῇ Γραμματικῇ τῆς Ἑλληνικῆς Γλώσσης Τόμ. Α', α', σελ. 115 «Ausser κέκρικα, τέτικα und τέτακα werden erste Perfecta von Verben auf νω bei mustergültigen Attikern nicht leicht vorkommen. Doch finden sich πεφαγκα von φαίνω schon bei Dinarch, ὤξυγκα von ὀξύνω bei Polybius u. A., ὕφαγκα bei Dionysius u. A., μεμίαγκα bei Plutarch. Zuweilen erlaubte man sich das ν, statt es in γ zu verwandeln, auszustossen, wie Dion. in τετράχυκα, Plut. in τεθέρμακα. Ueber κέκλικα s. κλίνω im. Verz. der Anomala».

Οὐχὶ ὀλιγάκις ἐν τοῖς λόγοις τοῦ Δεινάρχου φέρεται ὁ παρακείμενος πέφαγκα, ἀλλ' ἀείποτε μετὰ τῆς προθέσεως ΑΠΟ συντεθειμένος· ἵνα δ' ἀκριβέστερον εἴπωμεν, οὐχὶ ὀλιγάκις παρὰ τῷ ῥήτορι τούτῳ ἀπαντᾷ τοῦ συνθέτου ῥήματος ἀποφαίνω ὁ παρακείμενος ἀποπέφαγκα, οἷον κατὰ Δημοσθ. 15 «πᾶσ' ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασ' ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν» καὶ 54 «πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον» καὶ 59 «ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε» καὶ 84 «ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι» καὶ 103 «ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλὴ» καὶ 104 «μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν» καὶ κατ' Ἀριστογ. 17 «Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε» καὶ 19 «τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν» καὶ κατὰ Φιλοκλ. 18 «πᾶσ' ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασ' ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ἡμῶν». Φέρεται δὲ καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ ὁ περὶ οὗ ὁ λόγος παρακείμενος βιβλ. ΙΓ', ϛ', 6 «ἐν οἷς μάλιστα ἑαυτὸν ἀποπέφαγκεν ἀκριβολογούμενον». Ἐλέχθη δὲ καὶ ἐκπέφαγκα ὑπὸ τοῦ Ἀριστείδου Τόμ. Β', σελ. 115 Δινδ. «τὸ πᾶν ἀποκαλύψας ἐκπέφαγκεν» καὶ ἀναπέφαγκα ὑπὸ τοῦ Ἐπιφανίου Τόμ. Β', σελ. 202,13 Δινδ. «τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν». Τὸν ἁπλοῦν παρακείμενον πέφαγκα εὕρομεν παρὰ τῷ Ψευδοκαλλισθένει Β', ι', 2 «καὶ νῦν σοι πάλιν φανερὸν ποιοῦμεν

πεφαγκέναι αὐτὸν καὶ πολιορκεῖν τὴν χώραν ἡμῶν».᾿Αλλὰ φέρεται καὶ γραφὴ πεφθακέναι.

Ὁ παρακείμενος μεμίαγκα κεῖται παρὰ τῷ Πλουτάρχῳ Τιβ. Γράκχ. ΚΑ΄, 3 «μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ τὸ ἁγιώτατον καὶ φρικωδέστατον ἐν τῇ πόλει ἱερῶν» καὶ παρὰ τῷ Ὠριγένει Τόμ. ΙΔ΄, σελ. 192 «διὰ τὸ μεμιαγκέναι αὐτοὺς τὰ ἅγια τοῦ θεοῦ».

Τοῦ ὕφαγκα ἐγένετο χρῆσις ὑπὸ τοῦ Ἀρτεμιδώρου Ὀνειροκριτ. Δ΄, 40 «γυνὴ ἔδοξε τὸν ἱστὸν ὑφαγκέναι» καὶ τοῦ μετὰ τῆς ΠΑΡΑ συγκειμένου ὑπὸ Φίλωνος τοῦ Βυζαντίου περὶ τῶν Ἑπτ. Θεαμ. 2 «τὴν πολυτέλειαν τῆς χορηγίας βασιλικὸς πλοῦτος παρύφαγκεν» καὶ τοῦ μετὰ τῆς ΣΥΝ ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως περὶ Συνθέσ. Ὀνομ. σελ. 122 Σχαιφ. «οὕτως αὐτὰ καλῶς ἐκεῖνος συνύφαγκε καὶ παραπληρώμασιν εὐφώνοις διείληφεν» καὶ σελ. 144 «εὖ συγκεκρύφασιν αὐτοὺς καὶ συνυφάγκασι» καὶ ὑπὸ Ῥούφου τοῦ Ἐφεσίου σελ. 170,8 Δαρ. «ἔνθα ἡ τῶν χιτώνων τῶν τὸν ὀφθαλμὸν συνυφαγκότων πλοκὴ γέγονε τοιαύτη». Σημειωτέον δ' ὅτι προέκρινεν ὁ Ἑρχῆρος παρὰ τῷ Ἀρτεμιδώρῳ τὴν γραφὴν ᾿ΕΞυφαγκέναι.῎Ιδε καὶ Βάστιον ἐν τῇ Κριτικῇ Ἐπιστολῇ σελ. 277 καὶ Σχαιφῆρον ἐν τῇ ἐκδόσει τοῦ περὶ Συνθέσεως Ὀνομάτων Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 215.

Τοῦ ὤξυγκα μετὰ τῆς ΠΑΡΑ συνθέτου ὄντος ἔχομεν μαρτύρια τὸ ἐν τῇ Ἀρχαιολογίᾳ τοῦ Ἰωσήπου βιβλ. ΙΑ΄, ς΄, 7 «παρωξυγκέναι κατ' αὐτῶν τὸν βασιλέα» καὶ τὸ ἐν ταῖς Ἐπιστολαῖς τοῦ Λιβανίου σελ. 418 «τοὔνομα τοῦ παρωξυγκότος οὐ λέγων» καὶ τὸ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις σελ. 404,11 Βεκκ. «ὡς ἂν παρωξυγκὼς ἐφ' ἑαυτῷ τὸν ἄριστον». Ἀνεγνώσθη δὲ καὶ παρὰ τῷ Πολυβίῳ βιβλ. ΛΑ΄, θ΄, 3 «ἀλλὰ καὶ τοὺς Γαλάτας παρωξυγκέναι» ἀντὶ τοῦ παρωξυκέναι ὑπὸ τοῦ Ῥεισκίου. Ἐλέχθη δὲ καὶ προσπαρώξυγκα ὑπὸ Δίωνος τοῦ Κασσίου ΛΖ΄, 29, 3 «ἐφοβήθη ἅτε καὶ προσπαρωξυγκὼς τὸν Κατιλίναν».

Τοῦ κατ' ἀποβολὴν τοῦ Ν ἐσχηματισμένου τετράχυκα φέρεται παράδειγμα ἐκ τοῦ περὶ Συνθέσεως Ὀνομάτων Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 184 «᾿ΑΠοτετράχυκεν ἀξιολόγως τὴν ἁρμογήν», τοῦ δὲ τεθέρμακα ἐκ τῶν Ἠθικῶν τοῦ Πλουτάρχου σελ. 48, Δ΄ «τὸν δ' ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ᾿ΕΚτεθέρμακεν οὐδ' ἐξέωκε

διὰ φιλοσοφίας». Ἀλλ' ὑπάρχει καὶ γραφὴ ἐκτεθέρμαΓκεν. (Ἴδε Βυττεμβάχιον εἰς Πλουτ. Ἠθικ. Τόμ. Ϛ', σελ. 413). Ὁ Ἐρχῆρος ἀκολουθήσας τῷ Ἐμπερίῳ μετέγραψεν ἐκτεθεράπευκεν. Τὸν τύπον τεθέρμαΓκα βλέπει τις παρ' Ἡσυχίῳ λέγοντι «Κεχλίαγκα: τεθέρμαγκα».

Ἄλλοι παρακείμενοι εἰς ΓΚΑ περατούμενοι καὶ ἐν μόνῳ τῷ μεταγενεστέρῳ ἑλληνισμῷ ἀπαντῶντες εἶνε ὁ διέρραγκα ἐκ τοῦ διαρραίνω, ὁ σεσήμαγκα ἐκ τοῦ σημαίνω, ὁ κεκέρδαγκα ἐκ τοῦ κερδαίνω, ὁ πεπλήθυγκα ἐκ τοῦ πληθύνω, ὁ μεμήκυγκα ἐκ τοῦ μηκύνω καὶ ὁ ᾔσχυγκα ἐκ τοῦ αἰσχύνω.

διέρραγκα. Παροιμ. Σολομ. Ζ', 17 «διέρραγκα τὴν κοίτην μου κροκίνῳ». Πρβ. Βεκκ. Ἀν. σελ. 1020, 20 «μηδεὶς δὲ οἰέσθω ἀπὸ τοῦ ἔρραγκα ἔρραμμαι καὶ μεμίαγκα μεμίαμμαι τὸν παθητικὸν παρακείμενον ἕτερον Μ προσειληφέναι».

σεσήμαγκα. Ἐπίκτ. Διατρ. Γ', κϛ', 29 «τί γὰρ ἄλλο ἢ ὡς ἀγαθὸς στρατηγὸς τὸ ἀνακλητικόν μοι σεσήμαγκε;». Ἀριστέας ἢ Ψευδαριστ. 24 «κεφαλαιωδῶς σεσήμαγκά σοι». Ἐπιστολογρ. σελ. 4,37 Διδ. «δι' ἄλλου γὰρ πράγματος ἄλλο πρᾶγμα σεσήμαγκε». Ὠριγέν. Τόμ. Η', σελ. 29 καὶ Τόμ. ΚΕ', σελ. 219 «τὸν δὲ νῦν σχηματισμὸν σεσημαγκέναι μόνον» καὶ Τόμ. Η', σελ. 32 καὶ Τόμ. ΚΕ', σελ. 220 «μὴ πεποιηκέναι ἀλλὰ σεσημαγκέναι μόνον». Εὐσέβ. Προπ. Εὐαγγ. ΙΓ', ιϐ', 7 «καθὼς δὲ δεῖ σεσημάγκαμεν περιαιροῦντες τὸν διὰ τῶν ποιημάτων Δία καὶ Ζῆνα». Πρβ. καὶ Σχόλ. εἰς Ἱπποκρ. καὶ Γαλην. Τόμ. Α', σελ. 11 καὶ 18 καὶ 38 καὶ 42 καὶ 44. Διτζ. Ἴδε Βαλκενάριον ἐν *Diatr. de Aristob. Jud.* σελ. 87. Εὕρομεν καὶ σύνθετον παρακείμενον ἐπισεσημαγκέναι ἐν τῇ Ῥητορικῇ Τέχνῃ τοῦ Φιλοδήμου Τόμ. Α', σελ. 40 Τευϐν. «καλῶς ἐπισεσημαγκέναι». Τοῦ κατ' ἀποϐολὴν τοῦ Ν σχηματισμοῦ σεσήμακα φέρεται χρῆσις ἐν τῷ εἰς τὰ μετὰ τὰ Φυσικὰ τοῦ Ἀριστοτέλους Ὑπομνήματι Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως σελ. 235,22 Βον. «ὥστε ἔσται ὁ ἄνθρωπον εἰπὼν καὶ μὴ ἄνθρωπον σεσημακώς».

κεκέρδαγκα. Αἰλιαν. Ἀγροικ. Ἐπιστ. 14 «τοῦτο γοῦν κεκέρδαγκα». Μέμν. παρὰ Φωτ. Βιϐλιοθ. σελ. 237, 22 «καὶ εἴ τι κεκερδαγκότες εἴησαν». Φέρεται δὲ καὶ γραφὴ κεκερδακότες. Ὁ Χοιροϐοσκὸς λέγει Ἐξηγ. εἰς Θεοδ. Καν. σελ. 542, 20 «καὶ τὸ κερδανῶ δὲ εὑρίσκε-

ται χωρὶς τοῦ ἀμεταβόλου κατὰ τὸν παρακείμενον, οἷον κεκέρδακα καὶ κεκέρδαγκα» καὶ Ἐπιμερ. εἰς Ψαλτήρ. σελ. 59,20 «διότι τὰ εἰς ΝΩ δισύλλαβα ἑνὶ φωνήεντι παραληγόμενα ἀποβάλλουσι τὸ Ν κατὰ τὸν παρακείμενον, οἷον κέκρικα, πέπλυκα· εὑρέθη δὲ καὶ τὸ κεκέρδακα». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 501,25 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 116,24 καὶ Τόμ. Δ'. σελ. 183,7. Ὁ ἄνευ τοῦ Γ προενηνεγμένος τύπος ἀπαντᾷ παρ' Ἀριστείδῃ Τόμ. Α', σελ. 557 «τοσοῦτον γοῦν κεκερδάκασιν» καὶ παρ' Ἀχιλλεῖ τῷ Τατίῳ Ε', 25 «ἧς μόνον τὴν λοιδορίαν κεκέρδακα» καὶ παρὰ Ψευδοφαλάριδι Ἐπιστ. 114 «Περίανδρον ἀδεῶς κεκερδακέναι τὰ τοῦ παρεικότος» (Ἴδε Σχαιφῆρον εἰς Φαλάρ. Ἐπιστολ. σελ. 362). Πρβ. καὶ Λιβάν. Λόγ. Τόμ. Α', σελ. 413 12 «ὅταν γὰρ τοῖς πάλαι τὰ τοιαῦτα κεκερδακόσιν ὀργίλως ἔχῃς» καὶ Τόμ. Δ', σελ. 6,7 «τοῦ πεποιηκότος μείζω κεκέρδακε» (φέρεται δὲ καὶ γραφὴ κεκέρδΗκεν)· ἔτι δὲ Κύριλλ. Ἀλεξ. Τόμ. Α', σελ. 448, Δ' καὶ Νεῖλ. Ἐπιστ. σελ. 254. Ἀναγινώσκεται δὲ καὶ ἐν τῇ Ῥωμαϊκῇ Ἱστορίᾳ Δίωνος τοῦ Κασσίου «οὐ γὰρ που καὶ ἰδίᾳ τι αὐτῶν ἀποκεκέρδακα» καὶ «ἐξ ὧν αὐτὸς μὲν οὐδὲν κεκέρδακα» (βιβλ. ΜΓ', ιη', 2 καὶ ΝΓ', ε', 4). Ἀλλ' ὑπάρχει καὶ γραφὴ ἀποκεκέρδαΓκα καὶ κεκέρδαΝκα (Ἴδε Στούρζιον εἰς Δί. Κάσσ. Τόμ. Β', σελ. 126 καὶ Τόμ. Γ', σελ. 174). Εὖ δὲ ποιῶν ὁ Δινδόρφιος ἀποκατέστησε παρὰ τῷ Δίωνι τοὺς μετὰ τοῦ Γ τύπους. Παρατηρητέον δ' ὅτι καὶ παρὰ τῷ Δημοσθένει σελ. 1292,30 εἶνε ἔν τινι τῶν κωδίκων ἀντὶ τοῦ προσκεκερδήκασι γεγραμμένον προσκεκερδάγκασι, ὅπερ προέκρινεν ὁ Ῥείσκιος καὶ ὁ Ἑρουερδὴν ἐν Μνημοσ. 1875, σελ. 356. Παρὰ τῷ Ψελλῷ σελ. 101 Βοισσ. κεῖται «ὡς πλείους τόκους ἐπὶ τοῖς ναυτικοῖς κεκερδΑκόσι νομίσμασι», παρὰ δὲ Γρηγορίῳ τῷ Κορίνθου Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Ζ', σελ. 1121,16 «ὡς πλείους τόκους τοῦ δέοντος ἐπὶ ναυτικοῖς κεκερδΗκόσι νομίσμασι». Τὸν παρακείμενον κεκέρδηκα βλέπει τις παρ' Ἰωσήπῳ περὶ τοῦ Ἰουδ. Πολ. Α', κ', 2 καὶ παρ' Ὠριγένει Τόμ. Α', σελ. 2 καὶ παρὰ Θεοδωρήτῳ Τόμ. Β', σελ. 906 καὶ Τόμ. Δ', σελ. 532 καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Δ', σελ. 168,18 Δινδ. Ὁ Ναβῆρος γράφει ἐν τῇ Μνημοσύνῃ 1904, σελ. 33 «Hic permirum est in Parisino libro barbaram legi formam σεσυγχωρηκέναι pro συγκεχωρηκέναι, quamquam ille codex ceteroquin non soleat

hoc modo vitiatas formas exhibere, nec tamen propterea § 30 p 1292 cum Herwerdeno *Mnem*. 1875 p. 356 pro προσκεκερδήκασι restituere ausim: προσκεκερδάγκασι. Non solum hoc verbum in -αίνειν est, quod aliquot formas mutuatur ab cognata forma contracta; sic supra in Midiana habuimus verbum ἀσελγαίνειν et τὰ ἠσελγημένα, quam formam cum aliis quibusdam contulit Cobetus ἐν τῷ Ἑρμῇ Λογίῳ p. 282 — Legitur praeterea apud Herodotum futurum κερδήσεσθαι et aoristus ἐκέρδησαν, licet inveniam VIII 60 § 3: κερδανέομεν». Πρβ. καὶ Γ. Σμιδίτιον ἐν τῷ *De Flav. Joseph. Elocut* σελ. 451 καὶ σελ. 459. Ἀλλ' ἀκριβῶς περὶ τοῦ σχηματισμοῦ κερδήσω - κερδήσομαι - ἐκέρδησα - κεκέρδηκα - κεκέρδημαι, ὡς καὶ περὶ τοῦ ἠσελγημένα καὶ τοῦ μεμωρημένας καὶ τοῦ ἀκολαστητέον καὶ ἀκολάστημα, θὰ διαλάβωμεν ἀλλαχοῦ.

πεπλήθυγκα. Ὠριγέν. Τόμ. Β', σελ. 85 «διὰ τὸ καλῶς γεγεωργηκέναι καὶ ηὐξηκέναι καὶ πεπληθυγκέναι τὰ σπέρματα».

μεμήκυγκα Γαλην. Τόμ. ΙΗ', ϐ', σελ. 662 «καὶ μὴ νομίσῃ μέ τις παρὰ τὸ ἐμὸν ἔθος μεμηκυγκέναι τὴν ἐξήγησιν».

ᾔσχυγκα. Δί. Κάσσ. ΝΗ', ιϛ', 7 ᾐσχυγκέναι τε καὶ ἀπεκτονέναι». Πρβ. καὶ ΟΖ', ιϛ', 1 «ὧν μίαν αὐτός, ὅτε γε καὶ ἠδύνατο, ᾐσχύγκει». Τοῦ παρακειμένου ᾔσχυγκα γίνεται μνεία καὶ ἐν τοῖς Κραμήρου Ὀξ. Ἀνεκδότοις Τόμ. Β', σελ. 350,22 «Αἰσχύνω: ὁ παρακείμενος ᾔσχυγκα διὰ τοῦ Κ». Πρβ. καὶ Χοιροβοσκ. σελ. 556,21

Ἐν τοῖς τοῦ Δράκοντος ἢ Ψευδοδράκοντος σελ. 12,15 ἀναγινώσκεται «ὁ παρακείμενος ᾔσχυκα, ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι». Τῇ ἐκφορᾷ ᾔσχυκα ὁμοία εἶνε ἡ ἤδρυκα ἐκ τοῦ ἀδρύνω, ἣν βλέπει τις παρὰ τῷ Χοιροβοσκῷ Ἐπιμερ. εἰς τὸ Ψαλτήρ. σελ. 186,20.

Ἐξ ἀδοκίμων πάντως συγγραφέων ἐλήφθησαν τὰ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου παρατεθειμένα «Κεχλίαγκα: τεθέρμαγκα» καὶ «Πεπεραγκέναι: ἠνυκέναι». Τὴν ἔννοιαν τοῦ ἀχρήστου τοῖς παλαιοῖς παρακειμένου πεπέραγκα παρέστησεν ὁ Σοφοκλῆς περιφραστικῶς ἐν τῷ Αἴαντι στίχ. 22 εἰπὼν «νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον ἔχει περάνας, εἴπερ εἴργασται τάδε». Ὅμοιον τούτῳ εἶνε τὸ ὑπὸ τοῦ Δημοσθένους ῥηθὲν σελ. 433,288 «εἰς ὅσην ἀτιμίαν τὴν πόλιν

ἡμῶν ἡ τούτου πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει», ὅπερ ἰσοδυναμεῖ τῷ ἐν τῇ παρηκμακυίᾳ γλώσσῃ συνήθει ὄντι καθέστακε. Ἴδε Χαρίτωνος Χ. Χαριτωνίδου Ποικίλ. Φιλολογ. σελ. 670.

Παράδοξον ἡμῖν φαίνεται τὸ παρὰ τῷ Ἰωσήπῳ κατὰ τὴν ἔκδοσιν τοῦ Νισίου φερόμενον Τόμ. Γ', σελ. 285,18 «αὐτόν τε κατὰ τοὺς νόμους εὐθυΝκέναι τὸ [δίκαιον] ψήφισμα»· ἐσημειώσατο δ' ὁ Νίσιος «εὐθυνκέναι: τεθεικέναι FLAM». Ὁ Νάβηρος ἐξέδωκε παρὰ τῷ Ἰωσήπῳ Τόμ. Γ', σελ. 267,10 «αὐτόν τε κατὰ τοὺς νόμους τεθεικέναι τὸ ψήφισμα» καὶ ἔγραψε σελ. λδ' «τεθεικέναι: εὐθυνκέναι P, προτεθεικέναι Hw».

Ὑπὸ τῶν γραμματικῶν μνημονεύονται καὶ οἱ παρακείμενοι κέχαγκα καὶ ἥδυγκα καὶ ἔξαγκα καὶ εὔφραγκα καὶ ἐξήραγκα καὶ λελύμαγκα καὶ μεμόλυγκα. Ἀπολλών. περὶ Ἐπιρρ. σελ. 611,17 «μένει δὲ τὸ Ν ἐπὶ τοῦ χανδον καὶ ἀναφανδόν, καθὸ καὶ ἐν παρακειμένῳ τῷ πέφαγκα καὶ κέχαγκα». Ἐτυμ. Μέγ. σελ. 399, 44 «ὁ μέλλων εὐφρανῶ, ὁ παρακείμενος εὔφραγκα. Εἰ δὲ εἴη ὁ μέλλων δι' ἀμεταβόλου, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ Κ. Καὶ ὤφειλεν εἶναι ηὔφραγκα κτέ.» καὶ σελ. 559,53 «Λελυμασμένος: Παρὰ τὸ λύμη λυμαίνω· ὁ παρακείμενος λελύμαγκα λελύμαμμαι, λελυμαμμένος· καὶ τροπῇ τοῦ ἀμετοβόλου εἰς Σ γίνεται, ὡς παρὰ τὸ ἡδύνω ἥδυγκα, ἥδυμμαι καὶ ἥδυσμαι, ἐξ οὗ καὶ ἥδυσμα» καὶ σελ 785,38 «Ζητεῖται διὰ τί ἀπὸ τοῦ πλύνω οὔ φασι πλύντης καὶ κρίνω κριντής, ὡς ὑφάντης ἀπὸ τοῦ ὑφαίνω καὶ ξαίνω ξάντης καὶ μιαίνω μιάντης; Λύσις. Ὅτι τὰ μὲν ἐν τῷ παρακειμένῳ ἐφύλαξαν τὸ Ν, ὕφαγκα, μεμίαγκα, ἔξαγκα· τὸ δὲ πλύνω καὶ κρίνω ἀπέβαλον αὐτό· πέπλυκα γὰρ καὶ κέκρικα λέγομεν· ὅθεν καὶ τὰ ὀνόματα χωρὶς τοῦ Ν γέγονεν». Χοιροβ. Ἐξηγ. εἰς Θεοδ. Καν. σελ. 541,7 «χωρὶς τῶν ἐχόντων τὸ Ν δηλονότι τρεπόντων αὐτὸ εἰς τὸ Γ διὰ τὴν ἐπιφορὰν τοῦ Κ· ῥανῶ ἔρραγκα, κτενῶ ἔκταγκα, μιανῶ μεμίαγκα, μολυνῶ μεμόλυγκα» καὶ σελ. 542,25 «τὰ δὲ μὴ οὕτως ἔχοντα φυλάττουσι τὸ ἀμετάβολον τρεπόμενον εἰς τὸ Γ, οἷον φανῶ πέφαγκα, χανῶ κέχαγκα, ῥανῶ ἔρραγκα» καὶ σελ. 549,13 «ἐψηλάφων ἐψηλάφηκα, ἐξήραινον ἐξήραγκα» καὶ σελ. 556,6 «ξηρανῶ ἐξήραγκα, ψηλαφήσω ἐψηλάφηκα» καὶ σελ. 691,29 «μιαίνω γὰρ καὶ μολύνω διὰ τοῦ Ν, ὅπερ πῇ μὲν εἰς τὸ Γ τρέπεται, ὡς ἐν τῷ

μεμίαγκα καὶ μεμόλυγκα ἐνεργητικῷ παρακειμένῳ, διὰ τὴν ἐπιφορὰν τοῦ Κ, πῇ δὲ δὲ εἰς τὸ Μ κτέ.» (Πρβ. καὶ σελ. 684,15 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Δ', σελ. 182,25 καὶ σελ. 184,9 καὶ σελ. 185,21, ἔνθα εἶνε κακῶς γεγραμμένον «ἔξεγκα, ἐξήραγκα» ἀντὶ τοῦ ἔξαγκα). Κραμ. Ἀν. Ὀξ. Τόμ. Β', σελ. 386,16 «ἐκ τοῦ λυμαίνω ὁ παρακείμενος λελύμαγκα, ὁ παθητικὸς λελύμαμμαι καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς Σ λελύμασμαι». Ἀλλὰ Τόμ. Γ', σελ. 256,11 «καὶ ἀπὸ τοῦ ξηραίνω ἐξήρακα καὶ ἀπὸ τοῦ ψύχω ἔψυχα διὰ καθαροῦ τοῦ Ε». Οὐδένα τῶν παρακειμένων τούτων παρ' οὐδενὶ συγγραφεῖ ἡμεῖς εὕρομεν. Περὶ τοῦ βαρβάρου ῥήματος λυμαίνω οὐδὲν νῦν λέγομεν.

Κατ' ἀποβολὴν τοῦ Ν ἐσχηματίσθη τὸ ἐσκλήρυκα ἐκ τοῦ σκληρύνω καὶ τὸ τεθήλυκα ἐκ τοῦ θηλύνω καὶ τὸ βεβράδυκα - ἐβεβραδύκειν ἐκ τοῦ βραδύνω.

Ὠριγέν. Τόμ. Η', σελ. 313 καὶ Τομ. ΚΕ', σελ. 274 «οὕτω τὰ ὑπὸ τῆς ἀγαθότητος τοῦ θεοῦ πρόφασις γενόμενα τῆς σκληρότητος τοῦ Φαραὼ ἐσκληρυκέναι ἀναγέγραπται τὴν καρδίαν Φαραώ». Παρὰ τῷ Γαληνῷ φέρεται Τόμ. ΙϚ', σελ. 800 «βούλεται σημαίνειν τὴν ἐπίσκληρον ταύτην φωνὴν τὸ κατεσκληρυκὸς σῶμα», ὅπερ ἀναγκαίως ἔχει νὰ ἐκληφθῇ ἀντὶ τοῦ κατεσκληρυμμένον ἢ κατεσκληρυσμένον. Ἀλλὰ παράδοξος φαίνεται ἡ τοιαύτη χρῆσις, εἰκάζομεν δ' ὅτι τὸ κατεσκληΡΥκός εἶνε πλημμελὴς ἀνάγνωσις τοῦ κατεσκληκός· ἀποβαίνει δὲ πιθανωτάτη ἡ εἰκασία αὕτη ἐκ τοῦ ὑπὸ τοῦ Γαληνοῦ εἰρημένου «Ἐπισκλήροις: τοῖς κατεσκληκόσι» (Τόμ. ΙΘ', σελ. 99). Σημειωτέον δ' ὅτι καὶ παρὰ τῷ Θεοδωρήτῳ ἐγράφη ἐσφαλμένως «κλάδους ἔχον κατεσκληΡΟκότας» ἀντὶ τοῦ κατεσκληκότας (Τόμ. Β', σελ. 182). Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «κατεσκληκότα: κατεσκληρΩμένα».

Ἀντών. Μελ. Α', 60 (σελ. 65 Γεσν.) «Ἀριστοτέλης θεασάμενος μειράκιον ὡραϊζόμενον ἔφη· οὐκ αἰσχύνῃ ὅτι, τῆς φύσεως ἄνδρα σε ποιησάσης, ἑαυτὸν τεθήλυκας;». Σχολ. Ἰλιάδ. σελ. 592,39 Βεκκ. «ἡ σύνθεσις καὶ τὸν ἄρρενα τόνον τεθήλυκεν». Κεῖται δὲ καὶ ἐν τῷ Ἀνθολογίῳ τοῦ Στοβαίου Τόμ. Δ', σελ. 279,22 Μειν. «ὁ αὐτὸς θεασάμενος μειράκιον καλλωπιζόμενον, οὐκ αἰσχύνῃ, ἔφη, ὅτι τῆς φύσεως ἄνδρα σε ποιησάσης, σεαυτὸν τεθήλυκας». Ἀπο-

φαίνεται δ' ὁ Μεινέκιος σελ. πδ' ὅτι τοῦ τεθήλυκας ὀρθότερον εἶνε τὸ τεθήλυΓκας.

Λουκιαν. Συμποσ. ἢ Λαπ. 20 «ἐβεβραδύκει δέ, ὡς ἔφασκε, φρενίτιδι ἑαλωκότα θεραπεύων Πολυπρέποντα τὸν αὐλητήν».

Ἐν τῇ Παλαιᾷ Διαθήκῃ φέρεται Λευϊτ. ΙΓ', 37 (Τόμ. Α', σελ. 167 Διδ.) «ἐὰν δὲ ἐνώπιον μείνῃ ἐπὶ χώρας τὸ θραῦσμα καὶ θρὶξ μέλαινα ἀνατείλῃ ἐν αὐτῷ ὑγίακε τὸ θραῦσμα, καθαρός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς». Ἀναγνωστέον δ' ἴσως «ὑγίαΓκε τὸ θραῦσμα». Γνωστὸν δ' ὑπάρχει ὅτι λέγεται ἑλληνιστὶ ὑγιαίνω μὲν ἐπ' ἀμεταβάτου διαθέσεως, ὑγιάζω δὲ ἐπὶ μεταβατικῆς.

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «Πεφαύλαγεν: ἤμβλυκεν». Ὁ Βόσσιος ἔτρεψε τὸ πεφαύλαγεν εἰς τὸ πεφαύλικεν· μετατυπωτέον δ' ἴσως καὶ τὸ ἤμβλυκεν εἰς τὸ ὕβρικεν.

Τὸ παρὰ τῷ Σουίδᾳ φερόμενον σελ. 136 Βεκκ. «Ἀπευήκασιν: ἀπεξηραμμέναι εἰσίν» μετέβαλεν ὁ Λοβέκκιος ἐν τῇ ἐκδόσει τῶν Ἐκλογῶν τοῦ Φρυνίχου σελ. 34 εἰς τὸ ἀπηυάγκασιν ἐκ τοῦ ἀπαυαίνω. Ἡ μεταβολὴ αὕτη διὰ τοῦτο μάλιστα δὲν φαίνεται ἡμῖν ἀποδεκτή, διότι κατ' αὐτὴν τοῦ παρακειμένου τοῦ ἐνεργητικοῦ ῥήματος ἀπαυαίνω (ἤτοι ἀφαυαίνω) γίνεται ἐξήγησις διὰ τοῦ παθητικοῦ ἀπεξηραμμέναι εἰσίν». Ὁ Κοβῆτος ἀπεφήνατο ἐν *Collect. Crit.* σελ. 163 «Suidas v. Ἀπευήκασιν: ἀπεξηραμμέναι εἰσίν. Pro portento lectionis repone ἈπεΣΚΛήκασιν». Κεῖται δὲ καὶ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου τὸ ἀπευήκασιν καὶ ἐν τοῖς Ἀνεκδότοις τοῦ Βεκκήρου σελ. 423, 21 (Ἴδε καὶ Ἀθηνᾶν 1889, σελ. 390).

Ἐκ τῶν διειλημμένων γίνεται φανερὸν ὅτι ὁ εἰς ΓΚΑ τελευτῶν παρακείμενος, ὡς καὶ ὁ ἐξ αὐτοῦ παρηγμένος ὑπερσυντέλικος, παντελῶς ἄγνωστος ἐν τῇ καθαρᾷ καὶ ἀκηράτῳ τῶν παλαιῶν γλώσσῃ ὤν, ἐφάνη τὸ πρῶτον κατὰ τοὺς Μακεδονικοὺς χρόνους, ὡς τεκμηριοῖ μάλιστα ὁ Δείναρχος εἰπὼν πολλάκις ἀποπέφαγκε(ν), κατέστη δὲ κοινότερος καὶ συνηθέστερος ἐν τῷ Ἀλεξανδρεωτικῷ καὶ Βυζαντιακῷ ἑλληνισμῷ. Καὶ κατ' ἀρχὰς μὲν ἐφυλάττετο τὸ Ν τῆς ῥίζης τρεπόμενον πρὸ τοῦ Κ τῆς καταλήξεως εἰς Γ, ἔπειτα δέ, ἀεὶ καὶ μᾶλλον τῆς γλώσσης παρακμαζούσης, καὶ ἀπεβάλλετο. Ἀδυνατοῦντες δ' ἡμεῖς νὰ πιστεύσωμεν ὅτι ὁ Ἁλικαρνασσεὺς Διονύσιος καὶ ὁ

Λουκιανὸς ἐποιήσαντο χρῆσιν τοῦ κατ' ἀποβολὴν τοῦ Ν ἐσχηματισμένου τύπου μεταβάλλομεν τὸ παρὰ τῷ Διονυσίῳ ἀποτετράχυκεν εἰς τὸ ἀποτετράχυΓκεν καὶ τὸ παρὰ τῷ Λουκιανῷ ἐβεβραδύκει εἰς τὸ ἐβεβραδύΓκει. Λίαν δ' ἀμφιβάλλομεν καὶ περὶ τῆς ὑπὸ τοῦ Ἀριστείδου χρήσεως τοῦ κεκερδάκασιν ἀντὶ τοῦ κεκερδάΓκασιν. Παρατηρητέον δ' ὅτι καὶ Θωμᾶς ὁ Μάγιστρος ἀναγκασθεὶς νὰ σχηματίσῃ ἐκ τοῦ βαρύνω παρακείμενον μετὰ τοῦ Γ αὐτὸν ἐξήνεγκεν, οἷον «Βαρύνειν χρήσιμον — Πλὴν ἐπὶ παρακειμένου οὐ βεβάρυΓκα λέγουσιν ἀλλὰ βεβάρηκα εἰς παθητικοῦ σημασίαν (σελ. 62. 15). Ἄξια μνείας νομίζομεν τὰ ὑπὸ τοῦ Στρουβίου γεγραμμένα ἐν *Opusc.* Τομ. Α', σελ. 14 «Neque quicquam praesidii sibi petere potest a perfecto activi. Affert quidem Buttmannus κεκέρδακα, nescio unde, et ἐβεβραδύκει, a me quondam ipsi suggestum, e *Lucian. conviv. s. Lapith.* c. 20. Verum in tanta paucitate exemplorum, quae omnium perfectorum activi exstant, duo tamen haec nihil valent contra majorem multitudinem, quae formae regularis adduci possunt. πέφαγκα et μεμίαγκα habet jam *Matthiae Gr. Gr.* pag. 218, illud ex Dinarcho, hoc e Plutarcho (ceterum parum accutate in his formis perfectorum ab ανω et υνω proficiscentium versatus est Matthiae). Atque sic προσπαρώξυγκα. *Dion. Cass.* 37, 29. σεσήμαγκα. *Arist. de LXX. interprett.* 271. *v. D.* κεχλίαγκα, τεθέρμαγκα. *Hesych. s.h v. pag.* 242. Adde notata *Valkenario in diatribe de Aristobulo* pag. 87, qui simul observat, puras Atticorum aures, praeter πέφαγκα, a caeteris abhorruisse». Λίαν ἡμεῖς ὀκνοῦμεν νὰ συμφωνήσωμεν τῷ Λοβεκκίῳ ἀντιλέγοντι τῷ Στρουβίῳ ἐν τῇ ἐκδόσει τῶν Ἐκλογῶν τοῦ Φρυνίχου σελ. 34.

Περὶ τοῦ ἀπέκταΓκα ἐκ τοῦ ἀποκτείνω θὰ γραφῶσι τὰ δέοντα ἐν ἄλλῳ τόπῳ.

Παρεθέμεθα ἐν ἀρχῇ τοῦ κεφαλαίου τοῦδε τά τε ὑπὸ τοῦ Παπασλιώτου καὶ τὰ ὑπὸ τοῦ τοῦ Βερναρδάκη γεγραμμένα περὶ τοῦ σχηματισμοῦ τοῦ παρακειμένου τῶν εἰς ΝΩ ληγόντων ῥημάτων. Ἐπειδὴ δ' ἡ τοῦ Παπασλιώτου διδασκαλία ὀρθοτέρα ἐφάνη οὖσα τῆς τοῦ Βερναρδάκη, ἀνεμνήσθημεν ἧς οὗτος ἐποιήσατο ἐν τῇ Ἑλληνικῇ

Γραμματικῇ σελ. ε΄ κρίσεως περὶ τῆς ὑπὸ τοῦ Γενναδίου μὲν συνταχθείσης, ὑπὸ τοῦ Παπασλιώτου δὲ διασκευασθείσης Γραμματικῆς τῆς Ἑλληνικῆς γλώσσης· ἐνομίσαμεν δὲ καλὸν νὰ μεταγράψωμεν αὐτὴν ὅλην κατὰ λέξιν θαυμασιωτάτην καὶ τοῦτ᾽ αὐτὸ Βερναρδακικωτάτην οὖσαν.

«Ὁ ἐν Ἑλλάδι ἐκδότης τοῦ βιβλίου τούτου Ἀνδρέας Κορομηλᾶς «φιλοτιμούμενος νὰ καταστήσῃ τὴν τῆς ἑλληνικῆς γραμματικῆς διδασκαλίαν ἐντελεστέραν καὶ πληρεστέραν», ἀνέθηκε τὸ ἔργον τῆς ἐπὶ τούτῳ διασκευῆς τοῦ βιβλίου εἰς τὸν καθηγητὴν Κ. Γ. Παπασλιώτην, ὅστις καὶ ἀναλαβὼν ἐξετέλεσε τὴν ἐντολήν. Ἐὰν ἡ ὀρθὴ κρίσις τοῦ Γενναδίου εἶχεν ἀναχαιτίσῃ αὐτὸν ἀπὸ τῆς ὑπὲρ τὸ μέτρον παραμορφώσεως τοῦ πρωτοτύπου, καὶ ἡ σύγχυσις παρ᾽ αὐτῷ εἶχε περισταλῇ εἰς εὐσύγγνωστά τινα ὅρια, εἰς τὴν σύγχυσιν ταύτην τοῦ πρώτου ὁ δεύτερος ἐπέθηκε τὸν κολοφῶνα. Οὐ μόνον τὰ ὑπὸ τοῦ πρώτου παρερμηνευθέντα καὶ σφαλέντα δὲν διώρθωσεν, ἀλλὰ καὶ νέα αὐτὸς οἴκοθεν προσέθηκεν, ἐξ ὧν ἁπάντων συνανεδεύθη ἀληθὴς κυκεών. Ἄπειρος τῆς ἑλληνικῆς γραμματικῆς καὶ τῶν τεχνικῶν αὐτῆς ὅρων, μετέφρασεν ὅπως ἔτυχε τὰς γερμανικὰς λέξεις καὶ τοὺς γερμανικοὺς γραμματικοὺς ὅρους, καὶ ἔρριψεν αὐτοὺς ὠμούς, ἀξέστους, καὶ διὰ τὴν ἑλληνικὴν οὐ μόνον διάνοιαν ἀλλὰ καὶ ἀκοὴν ἀκαταλήπτους, εἰς τὸ ἐγχειρίδιον. Οὐδὲν ἔχων οὔτε ἴδιον οὔτε ξένον γραμματικῶν ἀρχῶν καὶ θεωριῶν ἐπιστημονικὸν σύστημα, δι᾽ οὗ νὰ διηθήσῃ οὕτως εἰπεῖν τὰς ξένας ἰδέας καὶ θεωρίας, ἠνάγκασε νὰ συνοικήσωσιν ἐν τῷ αὐτῷ βιβλίῳ ἄκοντας καὶ διὰ τῆς βίας τρεῖς τῶν πλέον διαφόρων καὶ ἀντιθέτων ἀρχῶν καὶ ἰδεῶν γραμματικούς, τὸν βαθὺν καὶ φιλοσοφικὸν καὶ καινοτόμον ἀλλ᾽ ὑπέργηρων ἤδη ἐπιστημονικῶς Θήρσιον, τὸν ἐκ συστήματος ἐχθρὸν ἄσπονδον πάσης θεωρίας, καὶ πρὸς αὐτὸ δὲ τὸ ἄκουσμα μόνον τῆς λέξεως φιλοσοφία νευρικοὺς σπασμοὺς πάσχοντα, καὶ ὅλως ἐμπειρικὸν Κρύγερον, καὶ τὸν ἐκ τῆς ὑψηλῆς αὐτοῦ γλωσσολογικῆς περιωπῆς οὐ μόνον τοὺς δύο τούτους, ἀλλὰ καὶ πάντας ἐν γένει τοὺς πρὸ αὐτοῦ

γραμματικοὺς ἀδυνατοῦντα καὶ οὐδὲ φανταζόμενον νὰ προσβλέψῃ Κούρτιον! Πρὸς τὴν δευτέραν ταύτην διασκευὴν παραβαλλομένη ἡ πρώτη ἡ τοῦ Γενναδίου εἶνε ἀσυγκρίτῳ τῷ λόγῳ κρείττων καὶ προτιμοτέρα».

Ἄν τις ὑπολαμβάνῃ ὅτι εἰς τὴν πικροτάτην ταύτην περὶ τοῦ Παπασλιώτου κρίσιν ἐκίνησε τὸν Βερναρδάκην ἔρως πρὸς τὴν ἀλήθειαν, πλανᾶται δεινὴν πλάνην. Δοξομανέστατος ἄνθρωπος οὗτος ὢν ἐπιλαμβάνεται ἑκάστοτε ἀφορμῆς πρὸς ἐπίδειξιν σοφίας· καὶ νῦν δὲ γράφων ἃ γράφει περὶ τοῦ Παπασλιώτου οὐδὲν ἄλλο σκοπεῖ ἢ νὰ περιάψῃ ἑαυτῷ δόξαν ἄκρου ἐπιστήμονος τῆς γραμματικῆς τέχνης.

Οὐδαμῶς ἡμεῖς ἐξετάζοντες ἂν τοιοῦτος ὄντως ἦτο ὁ Παπασλιώτης, οἷον σπουδάζει νὰ παραστήσῃ ὁ Βερναρδάκης, λέγομεν ὅτι τὸν μέγαν τοῦτον ἀλαζόνα καὶ φρυαγματίαν. ὅστις ἀείποτε γαυροῦται καὶ φυσᾷ μέγα ὡς πάσης ἐπιστήμης ἐπήβολος ὢν καὶ τὰ Ἑλληνικὰ γράμματα παντὸς ἄλλου ἀκριβέστερον ἐπιστάμενος, πολλάκις μὲν ἐξηλέγξαμεν ὅλως ἀνεπιστήμονα καὶ πάσης μαθήσεως ἄμοιρον ὄντα, πολλάκις δ' ἀπεδείξαμεν αὐτὸν ἀγνοοῦντα ἐν ᾗ συνέταξε Γραμματικῇ πράγματα γνωστότατα παντὶ καὶ μετρίως πεπαιδευμένῳ ἀνδρί. Οὐδὲν δὲ κωλύει νὰ μνημονεύσωμεν καὶ νῦν ἐπονείδιστά τινα αὐτοῦ ἀγνοήματα.

Γνωστότατον ὑπάρχει ὅτι παροξυτόνως μόνον ἐλέγετο ἑπτέτης καὶ ὅτι τοῦτο δὲν εἶνε **συνῃρημένος** τύπος τοῦ ἑπταέτης. Καὶ ὅμως ὁ δεινὸς τοῦ Παπασλιώτου κατήγορος νομίζει μὲν ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 70 ὅτι τὸ ἑπτέτης ἐγένετο **κατὰ συναίρεσιν** ἐκ τοῦ ἑπταέτης, ἀποφαίνεται δ' ὅτι ἐλέγετο οὐ μόνον παροξυτόνως ἑπτέτης ἀλλὰ καὶ ὀξυτόνως ἑπτετής.

Γνωστότατον ὑπάρχει ὅτι φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ῥῆμα δεῖν ὂν οὐ μόνον ἀπρόσωπον ἀλλὰ καὶ προσωπικόν, οἷον πολλοῦ δέω, ὀλίγου δέω, κτλ. καὶ ὅτι ἀπρόσωπον ὂν συντάσσεται οὐ μόνον ἀπαρεμφάτῳ ἀλλὰ καὶ γενικῇ πτώσει, οἷον δεῖ δὲ χρημάτων, τοῦ πέους δὲ δεῖ, κτλ. Καὶ ὅμως ὁ δεινὸς τοῦ Παπασλιώτου κατήγορος γράφει ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 197 «Ἀπρόσωπα λέγονται ῥήματά τινα, τὰ ὁποῖα οὐδέποτε λαμβάνοντα ὡς ὑποκείμενον οὐσιαστικόν τι ὡρισμένον, ἔμψυχον ἢ ἄψυχον, ἀλλὰ μόνον τὸ ἀπαρέμφατον, σχηματίζονται μόνον εἰς τὸ γ' πρόσωπον τοῦ ἑνικοῦ ἀριθμοῦ, οἷον

χρή, δεῖ, μέλει, ἔξεστι, κτλ.». Γελοιότατα σφάλλεται ὁ Βερναρδάκης δοξάζων ὅτι τὸ ῥῆμα μέλει ἀπρόσωπον ὂν συντάσσεται ἀείποτε μετ' ἀπαρεμφάτου. Οὐδένα τῶν χαμαιδιδασκάλων λανθάνει ὅτι σύνηθες ἐν τῇ Ἑλληνικῇ γλώσσῃ εἶνε τὸ μέλει τινί τινος καὶ μέλει τινὶ περί τινος.

Ἀκριβῶς περὶ τῶν ῥημάτων δεῖν καὶ μέλειν θὰ διαλάβωμεν ἐν ἰδίοις κεφαλαίοις. Τοῦτο δὲ νῦν ἀναγκαῖον κρίνομεν νὰ παρατηρήσωμεν ὅτι λέγων ὁ Βερναρδάκης ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 197 ὅτι **μόνον** τὸ γ' ἑνικὸν πρόσωπον δεῖ ἀπαντᾷ ἀναιρεῖ ὃ ἔγραψεν ἐν σελ. 146 «δέω: Τὸ ἐνεργητικὸν εὑρίσκεται **συνήθως** ἐν τῷ γ' προσώπῳ». Συχνάκις δ' ὁ Βερναρδάκης ἐναντιολογεῖ αὐτὸς ἑαυτῷ Παρατιθέμεθα τὰ ὑπὸ τοῦ Φρασικλέους γεγραμμένα ἐν τῇ Γραμματικῇ τῆς Ἑλληνικῆς γλώσσης σελ. 206 (1835) «δέω (λείπω) — Εἶναι δὲ κοινῶς ἀπρόσωπον, ὡς δεῖ—Λαμβάνει δὲ τὴν κατὰ πρόσωπα κλίσιν εἰς τὴν φράσιν πολλοῦ, τοσούτου δεῖ, ὡς τοσούτου δέω, **δέεις**, δεῖ, δέομεν, δεῖτε, δέουσιν, τοσούτου ἔδεον, τοσούτου δεήσομεν, ἑπομένης ἀπαρεμφάτου».

Σημ. Θαυμάσια ἀληθῶς εἶνε τὰ περὶ τοῦ Θειρσχίου εἰρημένα ὑπὸ τοῦ Βερναρδάκη ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. ε' «τὸν βαθὺν καὶ φιλοσοφικὸν καὶ καινοτόμον ἀλλ' ὑπέργηρων ἤδη ἐπιστημονικῶς Θήρσιον». Πρβ. καὶ σελ. λ'· πολλῷ δὲ θαυμασιώτερα ἡμῖν φαίνονται ἃ περὶ τοῦ Γερμανοῦ φιλολόγου εἶπεν ὁ Ἕλλην φιλολογος ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Α', σελ. 303. «Βαθύτερον παντὸς ἄλλου ἀνέλυσε τὰ τῆς ἀττικῆς — συντάξεως ταύτης ὁ Θείρσχιος ἐν τῇ γραμματικῇ αὐτοῦ σελ 663 κἑξ., ἀποδεικνύων πῶς ἐν τούτοις ὁ «ἵνα» διασώζει ἐν μέρει τὴν ἀρχικὴν αὐτοῦ τοπικὴν ἔννοιαν. Ἡ ἀνάλυσις αὔτη, ὅπως καὶ πολλὰ ἄλλα ἐν τῇ γραμματικῇ τοῦ ἀοιδίμου ἀνδρός, τιμῶσι τὸ φιλοσοφικὸν αὐτοῦ πνεῦμα, ἀλλ' ἀνάγεται μᾶλλον εἰς τὴν φιλοσοφικωτέραν θεωρίαν τῆς γλώσσης, παρὰ εἰς τὴν καθ' αὐτὸ γραμματικήν, κατὰ τὴν κοινὴν καὶ ἐπικρατεστέραν περὶ τῆς ἐπιστήμης ταύτης ἔννοιαν» (Πρβ. καὶ Ἀθηνᾶν 1890, σελ. 541).

## ΚΕΦ. ΜΕ΄.

### Περὶ τοῦ ἐφετικοῦ ῥήματος **βασιλειῶ**, τουτέστι **βασιλείας ἐφίεμαι** ἢ **βασιλεῦσαι ἐπιθυμῶ**.

Ἐν τῷ Οὐϊνδοβονησίῳ Λεξικῷ φέρεται «Βασιλίζει: ἀντὶ τοῦ βασιλείας ἐφίεται· ἐκ τούτου γὰρ καὶ βασιλειᾷ ἐπὶ μέλλοντος. Ἰώσηπος· ἡ θεραπαινὶς ἐξυβρίζειν εἰς τὴν Σάρραν ἐτόλμησε βασιλίζουσα». Πρβ. καὶ «Ὀπωρίζειν: ἀντὶ τοῦ ὀπώρας συνάγειν· καὶ ὀπωριᾶν ἐπὶ μέλλοντος. Ἡρόδοτος· ὀπωριεῦντες τοὺς φοίνικας φοιτῶσιν».

Σημειοῦται δ' ὁ Ναύκιος ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τούτου σελ. 35,9 «βασιλειᾷ ἐπὶ μέλλοντος: confundere videtur lexicographus verba βασιλίζειν et βασιλειᾶν. Ἰώσηπος: Ioseph. Ant. I, 10, 4 vol. 1 p. 35,19» καὶ σελ. 135 «ὀπωριᾶν: ὀπωριεῖν requiritur. Ἡρόδοτος: Herodot. IV. 182».

Τοῦ ἐφετικοῦ ῥήματος βασιλειῶ ἐποιήσατο χρῆσιν ὁ Ἰώσηπος Τόμ. Ε΄, σελ. 2,6 Ναβ. «καὶ πολλοὺς μὲν βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε» καὶ σελ. 18,8 «τὸν ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει» καὶ σελ. 378,16 «ἐπολέμει Οὐιτελλίῳ βασιλειῶντι». Πρβ. Ἡσύχ. «Βασιλειῶντα: βασιλείαν περιβαλλομενον», ἀνθ' οὗ ὁ Μεινέκιος ἔγραψε «βασιλείᾳ ἐπιβαλλόμενον» καὶ Ζωναρ. Λεξ. σελ. 378 Τιτμ. «Βασιλειῶ: ἐπιθυμῶ βασιλείας» καὶ σελ. 379 «Βασιλειῶντα: ἐπιθυμοῦντα βασιλεῦσαι» καὶ Σουΐδ. σελ. 215 Βεκκ.

Κακῶς εἶνε γεγραμμένον παρὰ Μιχαὴλ τῷ Ψελλῷ Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ΄, σελ. 6,4 «καὶ οἱ λοιποὶ βασιλείαν ἤρξαντο καὶ ἐξ ἑκατέρων αὐτῷ τῶν μερῶν ἀντανέστησαν» ἀντὶ τοῦ «βασιλειᾶν ἤρξαντο». Πρβ. σελ. 10,1 «τὸν Φωκᾶν ἐμεμαθήκει βασιλειῶντα» καὶ σελ. 24,10 «μάλιστα δὲ πάντων οὓς βασιλειῶντας ὑπώπτευε».

Οὐκ ὀλίγοι δὲ συγγραφεῖς τοῦ παρηκμακότος ἑλληνισμοῦ παρέχουσιν ἡμῖν μαρτύρια τοῦ περὶ οὗ ὁ λόγος ῥήματος.

Ἐφραίμ. 3412 (σελ. 147) «ἄνδρες στρατηγοὶ βασιλειῶντες τότε» καὶ 4186 (σελ. 177) «κἀκεῖ διαγνοὺς βασιλειῶντα δόλῳ».

Κωνστ. Μανασσ. 2375 (σελ. 133 Βόνν.) «βασιλειῶντα δὲ μαθὼν καὶ τυραννεῖν ὁρμῶντα» καὶ 3506 (σελ. 150) «ὑπώπτευε Μαυρίκιος ὡς δὴ βασιλειῶντα καὶ παραρπάζειν θέλοντα τὴν αὐτοκρατορίαν» καὶ 5501 (σελ. 234) «αὐτὸς μὲν οὖν βασιλειῶν καὶ κατὰ τοῦ κρατοῦντος πάντα τυρεύων καὶ ποιῶν οὐκ ἔλαθεν εἰς τέλος» καὶ 5824 (σελ. 247) «μαθὼν δὲ καὶ τὸν Τζιμισχῆν θερμῶς βασιλειῶντα» καὶ 5963 (σελ. 253) «καὶ πάντες ὑπεστάλησαν λάθρᾳ βασιλειῶντες» καὶ 6631 (σελ. 282) «μαθὼν δὲ καὶ τὸν Ῥωμανὸν πάλιν βασιλειῶντα».

Νικηφ. Βρυένν. σελ 112,1 «ὁ τοῦ βασιλειῶντος ἤδη Νικηφόρου υἱὸς ὁ πατρίκιος Βρυέννιος» καὶ σελ. 131,3 «καὶ τὰ τούτων πρὸς τὸν βασιλειῶντα ἀνέφερον» καὶ 20 «διὰ τὴν πρὸς τὸν βασιλειῶντα ἐκ τοῦ κήδους οἰκειότητα» καὶ σελ. 135,9 «ὧν καθάπερ ἀστέρων ἥλιος ἐξῆρχεν ὁ βασιλειῶν» καὶ σελ. 143,18 «ὁ δὲ τοῦ βασιλειῶντος υἱὸς ἐν τῷ διώκειν πόρρω γενόμενος». Πρβ. καὶ σελ. 146.7.

Νικήτ. Χων. σελ. 107,4 «καὶ ἄλλως ὑποβλέπεσθαι τὸν ἀδελφὸν ὑπὸ τῶν τοῦ πατριάρχου κατηγόρων ὡς βασιλειῶντα ἐναγόμενος» καὶ σελ. 138,14 «αὐθάδη καὶ βασιλειῶντα τὸν Ἀνδρόνικον» καὶ σελ. 363,10 «ἐπεὶ καὶ τὸ βασιλειᾶν πατρόθεν Ἀνδρόνικος ὡς κλῆρον καταβὰν διεδέξατο» καὶ σελ. 489,13 «ὑποβλεπόμενος βασιλειᾶν» καὶ σελ. 701,9 «ἀφιστάμενοι καὶ βασιλειῶντες» καὶ σελ. 742,14 «πλὴν καὶ οὗτος βασιλειῶν καὶ τὴν τῶν πολιτῶν ἐπιτεχνώμενος εὔνοιαν».

Γεώργ. Κεδρην. Τόμ. Β', σελ. 205.22 «ἀνακόπτων δὲ τὰς ἐπιβουλὰς τῶν βασιλειώντων».

Γεώργ. Παχυμ. Τόμ. Α', σελ. 40,18 «καὶ ὡς βασιλειᾶν παρὰ πολλῶν ὑποπτεύοιτο» καὶ σελ. 54,13 «ὅτι βασιλειᾷ καὶ ὑφαρπάζειν τὴν ἀρχὴν μελετᾷ καὶ μεῖζον ἢ καθ' αὑτὸν φρονεῖ» καὶ σελ. 62,7 «οἱ ἐχθροὶ καὶ δύσνοι τοῖς βασιλεῦσιν, οἱ βασιλειῶντες» καὶ σελ. 485,10 «ἐφ' ᾧ καὶ ὑποψίαν ἔσχε βασιλειῶντος» καὶ σελ. 487,19 «ἐκεῖνον μὲν τῆς στρατηγίας παραλύσας ἀγαγὼν ἔκρινεν ὡς βασιλειῶντα» καὶ Τόμ. Β', σελ. 136,18 «καὶ μᾶλλον βασιλειᾶν κατακριθέντος» καὶ σελ. 162,5 «ἔγκλημα δι' ἐκεῖνον ὡς δῆθεν βασιλειῶντα ἐφῆπται».

Μιχ. Ἀτταλ. σελ. 200,17 «ἀπετείχιζε δὲ τῆς τοῦ βασιλέως ἀγάπης τήν τε μητέρα καὶ τοὺς ὁμαίμονας καὶ τοὺς λοιποὺς συγγενεῖς ὡς βασιλειῶντας δῆθεν» καὶ σελ. 292.3 «ᾔδει γὰρ ἀσύμφορον εἶναι τὸν βασιλειῶντα τοῦτον τοὺς ὀφθαλμοὺς ἔχειν».

Γενέσ. σελ. 8,5 «βασιλειῶν ἄγαν διὰ φροντίδος ἐν ἑαυτῷ εἶχεν ἐπίθεσιν, ὥστε τῆς βασιλείας ἐπιλαμβάνεσθαι» καὶ σελ. 98,22 «ἐξ ὧν ἀσχέτως ἐβασιλεία».

Ἰω. Κίνν. σελ. 37,21 «ἰσχυρογνώμονα τοῦτον ἑώρα καὶ δεινῶς βασιλειῶντα».

Ἰω. Καντακουζ. Τόμ. Β', σελ. 93,17 «κατηγόρει τοῦ μεγάλου δομεστίκου ὡς βασιλειῶντος» καὶ σελ. 163,9 «τοῦ μεγάλου δομεστίκου ὡς βασιλειῶντος κατηγόρουν».

Ἄνν. Κομν. Τόμ. Α', σελ. 24,2 Βόνν. «καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Νικηφόρον βασιλειᾶν τε ἤρξατο καὶ ἀποστασίαν κατὰ τοῦ Μιχαὴλ ἐμελέτησε» καὶ σελ. 95,5 «ἀλλ' ἐβασιλεία μὲν ὁ Βορίλος» καὶ Τόμ. Β', σελ. 6,18 «καὶ φανερῶς ἐβασιλεία καὶ τοὺς κουφοτέρους ὑπήγετο».

Ἐν τοῖς εἰς Σοφοκλέα Σχολίοις Τόμ. Β', σελ. 214,20 Δινδ. φέρεται «Τομῶντι: τομῆς ἐπιθυμοῦντι καὶ δεομένῳ νοσήματι, ὡς τὸ θανατῶντι, βασιλειῶντι· τὰ γὰρ τοιαῦτα δευτέρας ὡς ἐπίπαν συζυγίας τῶν περισπωμένων ἐστίν». Ὁ δ' Εὐστάθιος λέγει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1425,42 «καὶ βασιλειᾶν καὶ διαβασιλίζεσθαι τὸ βασιλείας ἀντιποιεῖσθαι». Πρβ. καὶ σελ. 1202,31 «δεικνὺς ὡς μάτην βασιλειᾷ» καὶ σελ. 1918,21 «οἷα δηλαδὴ βασιλειῶν».

Γίνεται δὲ μνεία τοῦ ῥήματος βασιλειῶ καὶ ἐν τοῖς Ἐπιμερισμοῖς τοῦ Ψευδηρῳδιανοῦ σελ. 249 Βοισσ. «Τὰ διὰ τοῦ ΙΩ περισπώμενα ῥήματα διὰ τοῦ Ι γράφονται, οἷον — ἐρυθριῶ, ἀνιῶ, — αἱμωδιῶ, ἰλιγγιῶ, βουλιμιῶ, μαθητιῶ, τυραννιῶ καὶ τὰ λοιπά. Χωρὶς εἰ μὴ ἀπὸ πρωτοτύπου ἔχει τὸ δίφθογγον, οἷον τέλειον τελειῶ, γένειον γενειῶ, σημεῖον σημειῶ, βασίλειον βασιλειῶ, καὶ μεῖον μειῶ τὸ ἐλαττῶ».

Ἐσχηματίσθη δὲ καὶ ῥῆμα τυραννιῶ πρὸς δήλωσιν τοῦ τυραννίδος ἐφίεμαι ἢ τυραννεῖν ἐπιθυμῶ. Ἀπαντᾷ δὲ τὸ ῥῆμα τοῦτο παρὰ τῷ Ἡρακλείδῃ περὶ Πολιτ. σελ. 5,1 Σνειδ. «ὃς ἐτέθη διὰ τοὺς τυραννιῶντας» καὶ παρὰ Γεωργίῳ τῷ Κεδρηνῷ Τόμ. Β', σελ.

561,17 «διαβληθεὶς ὡς τυραννιῶν» καὶ σελ. 650,21 «πάλιν ἔλεγε τοὺς τυραννιῶντας τῶν βασιλέων ἀπελευθέρους εἶναι σπεύδειν» καὶ παρ' Ἄννῃ τῇ Κομνηνῇ Τόμ. Α΄, σελ. 442,9 «Νικηφόρος ὁ Διογένης πάλαι τυραννιῶν» καὶ Τόμ. Β΄, σελ. 298,9 «ἃ κατεῖχον τυραννιῶντες». Ὁ Σουΐδας λέγει σελ. 1050 «Τυραννεῖον: κυρίως ἡ ἀκρόπολις, τυραννία δὲ ἡ τυραννὶς καὶ τυραννιῶ ἐπιθυμῶ τυραννῆσαι». Ὀλίγοις δ' ἴσως ἄγνωστον εἶνε τὸ ὑπὸ Διογένους τοῦ Λαερτίου μνημονευόμενον «σοῦ δέ γε (οἱ λόγοι) τυραννιῶσι» (βιβλ. Γ΄, 18) «ὁ δὲ διαλεγόμενος περὶ τυραννίδος καὶ φάσκων ὡς οὐκ ἔστι τοῦτο κρεῖττον ὃ συμφέρει αὐτῷ μόνον, εἰ μὴ καὶ ἀρετῇ διαφέροι, προσέκρουσεν αὐτῷ· ὀργισθεὶς γάρ, οἱ λόγοι σου, φησί, γεροντιῶσι, καὶ ὅς, σοῦ δέ γε τυραννιῶσιν».

Ὁ Κοραῆς ἐκδοὺς παρὰ τῷ Ἰσοκράτει Τόμ. Α΄, σελ. 426 «ἐμοὶ γὰρ ἀσφαλέστερος βίος εἶναι δοκεῖ, καὶ βελτίων, ὁ τῶν ἰδιωτευόντων, ἢ ὁ τῶν τυραννιώντων» ἐσημειώσατο Τόμ. Β΄, σελ. 314 «Τυραννιώντων: Τυραννεῖν ἐπιθυμούντων. Ἡ γραφὴ ἐκ τοῦ παρὰ τῷ Ματθαίῳ ἀντιγράφου, ἣν ἀπεδέξατο καὶ ὁ Λάγιος. Αἱ ἀρχαῖαι ἐκδόσεις, Τυραννιτῶν, ὅπερ ὁ Οὐόλφιος καὶ οἱ λοιποὶ ἔτρεψαν εἰς τὸ Τυραννευόντων». Ὑπ' ἄλλων εἶνε γεγραμμένον ἐν τῷ χωρίῳ τοῦ Ἰσοκράτους τυραννούντων· φέρεται δὲ καὶ γραφὴ δυναστευόντων. Νομίζομεν δ' ὅτι πολλῷ κάλλιον τῷ βίῳ τῶν ἰδιωτευόντων ἀντιτίθεται ὁ τῶν τυραννούντων ἢ ὁ τῶν τυραννιώντων. Οὐδεὶς δ' ἀγνοεῖ ὅτι ἐλέγετο ὑπὸ τῶν παλαιῶν οὐ μόνον τυραννῶ ἀλλὰ καὶ τυραννεύω. Ὁ Φώτιος γράφει Λεξ. Τόμ. Β΄, σελ. 233 Ναβ. «τυραννεύσασαν: οὐ μόνον τυραννήσασαν· καὶ Πλάτων καὶ ἕτεροι τῶν παλαιῶν». Πρβ. καὶ Λεξ. Οὐϊνδοβον. σελ. 176 Ναυκ. «Τυραννῶ καὶ τυραννεύω. Θουκυδίδης· οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης» (Ἴδε καὶ Κοραῆν ἐν Ἀτάκτ. Τόμ. Δ΄, σελ. 623).

Τῷ ῥήματι τυραννιῶ ἰσοδυναμεῖ τῷ τυραννησείω, ὃ κεῖται παρὰ Διογένει τῷ Λαερτίῳ Α΄, 65 «τῶν μὴ αἰσθανομένων Πεισίστρατον τυραννησείοντα» (Πρβ. καὶ Ἀθηνᾶν 1891, σελ. 371). Πολλὰ δὲ ῥήματα ἔχει ἡ Ἑλληνικὴ γλῶσσα ὁμοίως τῷ τυραννησείῳ ἐσχηματισμένα, ἃ θὰ μνημονευθῶσιν ἐν ἑτέρῳ κεφαλαίῳ. Παρατηρητέον δ' ὅτι παρὰ τῷ Φιλοστράτῳ κεῖται Τόμ. Α΄, σελ. 191,14

Καυσ. «δοκεῖ γάρ τις ἢ καταγνοὺς τῆς ἑαυτοῦ τύχης τὸ ἐν νῷ τυραννεῦσαι παρεῖναι ἢ τυραννησείοντι ἐκστῆναι ἑτέρῳ δείσας δήπου αὐτὸν ὡς ἄνδρα» καὶ σελ. 317,4 «εἰ μὲν ὡς τυραννησείοντας διαβεβλῆσθαί φασιν». Σημειοῦται δ' ὁ ἐκδότης σελ. λδ' «317,5. τυραννησείοντας Abresch. τυραννεύσοντας ς'. (fo: τυραννευσείοντας hic et 191,14 τυραννευσείοντι legendum». Σφόδρ' ἡμεῖς ὀκνοῦμεν νὰ συμφωνήσωμεν τῷ Καυσήρῳ

Ὑπάρχει δὲ καὶ ἐφετικὸν ῥῆμα στρατηγιῶ. Ὁ Σουίδας λέγει σελ. 980 «στρατηγιᾶν: ἐπιθυμεῖν τῆς στρατηγίας καὶ στρατηγιῶντα στρατηγίας ὀρεγόμενον Ἰώσηπος. ἤδη δ' αὐτὸν στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον ἔνδεια χρημάτων κατεῖχε» (Πρβ. καὶ Ἡσύχ. Τόμ. Δ', α', σελ. 83 Σμιδ. καὶ Φώτ. Λεξ. Τόμ. Β', σελ. 179). Εἶνε δὲ καὶ ὑπὸ τοῦ Ξενοφῶντος εἰρημένον Ἀναβ. Ζ', α', 32 «ὃς οὐ φεύγων τὴν Ἑλλάδα περιῄει ἀλλὰ στρατηγιῶν καὶ ἐπαγγελλόμενος κτέ.» καὶ ὑπὸ τοῦ Πλουτάρχου Εὐμέν. ΙΔ' «τὰς ἐκείνων θύρας ἐθεράπευον δορυφορουμένων καὶ στρατηγιώντων» καὶ ὑπὸ τοῦ Στράβωνος σελ. 281,15 «οὕτω δὲ συνέβαινε τοὺς στρατηγιῶντας ἀεὶ τῶν Ῥωμαίων καὶ πεμπομένους ἐπὶ τοὺς τόπους εὐπορεῖν» καὶ σελ. 424,5 «ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους βαρβάρους». Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 302.53 Διδ «αὐθάδης δὲ οὗτος καὶ τῶν στρατηγιώντων ἐστί».

Ἐπλάσθη δ' ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ καὶ ἐφετικὸν ῥῆμα ἀρχοντιῶ, ὑφ' οὗ δηλοῦται τὸ ἐπιθυμῶ ἄρχων εἶναι ἢ γενέσθαι. Ἴδε Θησαυ. Στεφ. Τόμ. Α', β', σελ. 2129.

Περὶ ἄλλων ἐφετικῶν ῥημάτων, θανατῶ, κτλ. μαθητιῶ, κτλ. θὰ εἴπωμεν τὰ δέοντα ἐν ἑτέρῳ κεφαλαίῳ.

Ἐν τέλει παρατηροῦμεν ὅτι ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου εἶνε γεγραμμένον ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς γλώσσης σελ. 222 «Βασιλειάω-ῶ, Μ. **άσω** (;). Ἐπιθυμῶ νὰ βασιλεύσω». Πρβ. καὶ σελ. 595 «Θανατάω, Μ. **ήσω**. Ἐπιθυμῶ (βλέπω ὡς τίποτε ἢ Εἶμαι ἀποφασισμένος διὰ) τὸν θάνατον».

---

## ΚΕΦ. ΜϚʹ.

### Περὶ τοῦ εἰς ΟΥΝ λήγοντος παρατατικοῦ τοῦ ῥήματος **τέθημι, προστέθημι,** κτλ.

Ὁ διὰ τῆς ΟΥΝ καταλήξεως ἐσχηματισμένος παρατατικὸς ἐτίθουν, προσετίθουν, κτλ. τοῖς μὲν ἀρχαίοις Ἕλλησιν ἦτο παντελῶς ἄγνωστος, ἐν μόνῳ δὲ τῷ παρηκμακότι φέρεται ἑλληνισμῷ, ἰσοδυναμῶν ἐνίοτε μὲν τῷ ἑνικῷ ἐτίθην, προσετίθην, κτλ., πολλάκις δὲ τῷ πληθυντικῷ ἐτίθεσαν, προσετίθεσαν κτλ. Καταλέγομεν ἃ ἔχομεν πρόχειρα μαρτύρια τοῦ παρακεκομμένου τούτου καὶ παρασήμου τύπου.

Μιχ. Ψελλ. Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δʹ, σελ. 258,6 «μετὰ ταῦτα δὲ τοῖς ἄλλοις σε κατὰ μέρος συγκρίνων ἁπάσαις ψήφοις τῶν πάντων ἐτίθουν βασιλικώτερον».

Γεώργ. Κεδρην. Τόμ. Αʹ, σελ. 503, 15 «ἕως ὅτε λόγων ἐποιούμην σπουδήν, λόγους λόγοις ἀνετίθουν καὶ τὰ προτεινόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον».

Ἰω. Καντακουζ. Τόμ. Γʹ, σελ. 265, 4 Βόνν. «προθύμως δὲ ὅμως παρεσχόμην, δεῖν χαρίζεσθαι νομίζων τοῦ νέου τῇ ἐπιθυμίᾳ, καὶ Διδυμότειχον προσετίθουν εἰς φιλοτιμίαν».

Σευῆρ. Διηγ. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Αʹ, σελ. 547, 21 «καὶ δρόμον ἀπέραντον ἐνετίθουν τοῖς χρώμασιν ἐν οὐ κινουμένοις ποσίν».

Σχολ. Εὐρ. Τόμ. Αʹ, σελ. 448, 12 Δινδ. « Ἐρρυθμιζόμαν: — κατεκόσμουν, κατὰ ῥυθμὸν ἐτίθουν».

Γαλην. Τόμ. ΙϚʹ, σελ. 456 «οὓς τότε πάντες ἐν τοῖς πρώτοις ἐτίθουν».

Ἀλέξ. Ἀφροδισ. Ὑπομν. εἰς τὰ μετὰ τὰ Φυσ. Ἀριστοτ. σελ. 574, 5 Βονιτζ. «οἱ φυσικοὶ μίαν λέγοντες τὴν ἀρχὴν ὑπετίθουν αὐτῇ πῦρ ἢ ὕδωρ ἢ ἀέρα» καὶ σελ. 754, 24 «οἱ περὶ Δημόκριτον ἐκ τῶν ἐλαχίστων καὶ ἀτόμων σωμάτων τὰ πράγματα συνετίθουν» καὶ σελ. 775, 20 «ὁμοίως δὴ τούτοις καὶ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον μίαν τινὰ φύσιν ἀποφαινόμενοι τὸ ἓν ὡς εἶδος αὐτοῖς ἀντετίθουν» καὶ 29 καὶ 31.

Πορφύρ. Ζητ. Ὁμηρ. εἰς Ὀδύσσ. σελ. 38. 12 Σραδ. «τὰς γλώσσας γὰρ τῷ Ἑρμῇ ἀνετίθουν ὡς ἐφόρῳ τοῦ λόγου» καὶ σελ. 39,3 «τὸ δὲ κάλλιστον τοῖς θεοῖς ἀνετίθουν».

Ἰω. Χάραξ παρὰ Χοιροβοσκ, σελ. 20,5 «ἐν μιᾷ λέξει κατὰ συνέχειαν δύο ὀξείας οἱ παλαιοὶ οὐκ ἐτίθουν».

Ζωναρ. Ἐπιτομ. Ἱστορ. Τόμ. Α', σελ. 4, 3 Δινδ. «τινὰ δὲ τῶν συγγραμμάτων τούτων καὶ ἀφελεστέρᾳ λίαν ἐκδεδόσθαι προσετίθουν τῇ φράσει» καὶ σελ. 303, 23 «τὸν μὲν οὖν ἄνθρωπον ὁ Ἀλέξανδρος, ὡς οἱ μάντεις ὑπετίθουν, ἠφάνισεν» καὶ Τόμ. Β', σελ. 138, 26 «σταυροὺς δύο — εἰς τὴν γῆν κατεπήγνυον καὶ αὐτοῖς ἐπετίθουν ἐγκάρσιον ἕτερον» καὶ σελ. 311, 19 «ἀγνοοῦντες δ' ὅπῃ ὀρύσσοιτο, χαλκῆν ἀσπίδα κατὰ τὸν περίβολον πρὸς αὐτὸ ἐτίθουν τὸ δάπεδον» καὶ Τόμ. Γ', σελ. 282,1 «ὁ μὲν ἄλλῃ, ὁ δ' ἄλλῃ διετίθουν τὸν πόλεμον» καὶ Τόμ. Δ', σελ. 99, 32 «οἱ δ' ἄλλο τι ὑπετίθουν».

Μῦθ. Αἰσώπ. 289 (σελ. 141 Ἀλμ.) «τοῖς κέντροις ἔπαιον καὶ τὰ χείριστα διετίθουν».

Σουίδ. σελ. 1010 Βεκκ. «ὅτι τοῖς εἰς θάνατον κατακριθεῖσι τρία παρετίθουν, ξίφος, βρόχον, κώνειον».

Θωμ. Μάγ. σελ. 149, 4 Ῥισχ. «ἐπεὶ ἐν χύτραις ἐξετίθουν αὐτά» καὶ σελ. 179,12 «Θυμέλην οἱ ἀρχαῖοι ἀντὶ τοῦ θυσίαν ἐτίθουν, οἱ δ' ὕστερον ἐπὶ τοῦ τόπου τοῦ ἐν τῷ θεάτρῳ». Πρβ. καὶ Φρύνιχ. Ἐκλογ. σελ. 163 Λοβ., ἔνθα σημειοῦται ὁ ἐκδότης «Pro ἐτίθουν Ed. Pr. ἐτίθεσαν». Ταύτην δὲ τὴν γραφὴν ἐνέκρινεν ὁ Ῥουθερφόρδιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 250.

Ἡσύχ. «Ἀπεκοσμεον: ἀπετίθουν, ἀπετίθεντο». Πρβ. καὶ «Περιετίθουν: ἐκρέμων» (Ἴδε καὶ Ἀθηνᾶν 1898, σελ. 349).

Τζέτζ. Ἱστορ. Χιλ. ΙΓ', 199 (σελ. 489 Κισλ.) «ἐν χάρταις παρενέγραφον καὶ τὰς κριθὰς ἐτίθουν» καὶ Σχολ. εἰς Λυκόφρ. σελ. 400 Μυλλ. «ἄλα δὲ ἐτίθουν οἱ παλαιοὶ ἐν ταῖς τῶν ξενιῶν καταρχαῖς».

Ἐτυμολ. Μέγ. σελ. 118, 29 «τὰ δὲ ἀκρωτήρια εἴροντες καὶ συρράπτοντες διὰ τῶν τοῦ νεκροῦ μασχαλῶν καὶ τοῦ τραχήλου περιετίθουν τῷ νεκρῷ» καὶ σελ. 283, 7 «πρότερον γὰρ ταῖς θύραις ἀντὶ κέρατος ἐτίθουν καλάμους».

Εὐστάθ. Παρεκβ. εἰς Ὁμ. σελ. 165, 6 «πλόκαμον κείραντες ἀνετίθουν Ἀπόλλωνι κουροτρόφῳ καὶ ποταμοῖς» καὶ σελ. 1152, 64

«ἀντὶ τοῦ εἰς πλάτος ἐξετίθουν» καὶ σελ. 1279, 45 «οὐ μόνον ἐπὶ ἁπλότητος οἱ παλαιοὶ ἐτίθουν ἀλλὰ κτέ.» καὶ σελ. 1396, 6 «ἐπὶ πέντε γραμμαῖς τὰς ψήφους ἐτίθουν» καὶ σελ. 1470, 60 «διὸ καὶ Ἑρμῇ αὐτὰς ἀνετίθουν» καὶ σελ. 1471, 24 «γλώσσας δ' ἐν πυρὶ βάλλον, ὅ ἐστιν ἐτίθουν».

Σχολ. Ἰλ. Τόμ. Α', σελ. 118, 2 Δινδ. «προληπτικῶς τὰ ὀνόματα ἐτίθουν οἱ παλαιοὶ τοῖς παισί» καὶ Σχολ. Ὀδυσσ. σελ. 152, 23 Δινδ. «τὰς γλώσσας γὰρ τῷ Ἑρμῇ ἀνετίθουν» καὶ σελ. 153, 6 «τὸ δὲ κάλλιστον τοῖς θεοῖς ἀνετίθουν» καὶ σελ. 179, 19 «τὰ γὰρ ἄνω μέρη ἤτοι τὰ νωτιαῖα παρετίθουν τοῖς ἐντίμοις» καὶ σελ. 241, 16 «τοὺς γὰρ αἰφνιδίους θανάτους ταύτῃ καὶ τῷ ἡλίῳ ἀνετίθουν, ἤτοι τῷ Ἀπόλλωνι». Πρβ. καὶ σελ. 30, 4.

Σχολ. Αἰσχύλ. σελ. 306, 26 Δινδ. «Ἔστεφον: ἔγραφον, περιετίθουν» καὶ σελ. 321, 7 «κοινῇ γὰρ πάντες ἐκείνοις ἀνετίθουν χρήματα».

Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 322, 18 Δινδ. «ὅτι μετὰ τῶν μηρῶν καὶ τὴν χολὴν τοῦ ζῴου καὶ τὴν κύστιν παρετίθουν».

Σχολ. Εὐριπ. Τόμ. Α', σελ. 362, 18 Δινδ. «οἱονεὶ στεφάνων τύπους ποιοῦντες διὰ φύλλων παρετίθουν εἰς αὐτήν» καὶ Τομ. Γ', σελ. 164, 25 «τὰς ἀσπίδας τῶν πολεμίων σκυλεύοντες τοῖς θεοῖς ἀνετίθουν» καὶ σελ. 327, 8 «τὸν μὲν μηρὸν περιειλοῦντες πιμελῇ ἐπὶ πῦρ ἐπετίθουν» καὶ 11 «ἀλλὰ καὶ τὴν κύστιν μεστὴν οὔρου ἐν τῷ στόματι ἐρίῳ δεσμοῦντες ἐπετίθουν τῷ πυρί».

Σχολ. Ἀριστοφ. σελ. 361, 41 Διδ. «διὰ τοῦτο καὶ τῷ Ἀσκληπιῷ τὴν ἀθάραν δῶρον ἀνετίθουν».

Σχολ. Θεοκρ. σελ. 91, 18 Ἀρ. «οὗτοι γὰρ οὐκ ἐπὶ τοῦ σφάττειν τοῦτο ἐτίθουν, ὡς οἱ νεώτεροι».

Σχολ. Θουκυδ. σελ. 85, 30 Διδ. «Ἀνέβαλλον: ἀναρρίπτοντες ἐτίθουν».

Σχολ. Λουκιαν. σελ. 258 Ἰακ. «τὰς αἰτίας τῷ Ἑρμῇ ἀνετίθουν».

Νικηφ. Προγυμν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 431, 15 «τὰ δὲ προσετίθουν ἐκ γῆς μεταλλεύοντες».

Μυθογρ. Οὐεστερμ. σελ. 368, 5 «καὶ τοῦτο περιετίθουν ἑαυτοῖς».

Ἐφραίμ. 9333 (σελ. 373) «σκέψιν ἐτίθουν πραγμάτων κοινῶν χάριν».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ΄, σελ. 37, 6 «ὕλην πλείονα τὴν ἑαυτῶν κακίαν τῇ τοῦ κρατοῦντος ὑπετίθουν πυρκαϊᾷ» καὶ σελ. 49 «ἐπὶ τῆς γῆς ἐτίθουν τὰς κεφαλάς» καὶ Τόμ. Ε΄, σελ. 50 «οἱ μὲν τὰς χεῖρας ἐτίθουν, οἱ δὲ τὸ πρόσωπον» καὶ σελ. 171 «τὰ μὲν ἐν τοῖς πράγμασι μετὰ τῆς ὕλης ἐτίθουν» καὶ Ψελλ. Βοισσον. σελ. 99 «τὸν καιρὸν ὑπερετίθουν τῆς λειτουργίας».

Γεώργ. Παχυμ. Τόμ. Α΄, σελ. 96, 13 «χεῖρα τοιγαροῦν ἐτίθουν καὶ ἐπὶ τῶν ἁγίων εὐαγγελίων ὤμνυον» καὶ σελ. 211,18 «καὶ ἀφ' αὐτῶν δὲ πλεῖστα προσετίθουν τῷ βασιλεῖ χαριζόμενοι» καὶ σελ. 237,12 «ἐφ' ἑνὶ τῷ σουλτὰν τὸ πᾶν ἐτίθουν» καὶ σελ. 238,2 «οἱ δὲ τὸν ἐκ τοῦ βασιλέως ἀντετίθουν φόβον» καὶ σελ. 240, 8 «φέροντες ταῖς τριήρεσιν ἐναπετίθουν» καὶ σελ. 246,15 «ὅπλα τε περιετίθουν κτέ.» καὶ σελ. 267, 2 «ἐπ' ἀμφιβόλοις ἐτίθουν» καὶ σελ. 364, 1 «τιμίοις χηλοῖς ἐναπετίθουν τὰ λείψανα» καὶ σελ. 400,17 «προσετίθουν πλείω καὶ χείριστα» καὶ σελ. «415, 6 «ἃ δὴ καὶ οἱ σχιζόμενοι ἐξετίθουν». Τομ. Β΄, σελ. 21, 2 «ἐκείνῳ προσανετίθουν τὰ πρόστιμα» καὶ σελ. 24, 8 «τὸ πᾶν τῆς αἰτίας προσανετίθουν τῷ γε πατριαρχεύσαντι» καὶ σελ. 50, 9 «τὸ κρονικον καὶ ψυχρὸν αὐτοῖς ἐνετίθουν» καὶ σελ. 83, 3 καὶ σελ. 166, 10 : προσετίθουν καὶ σελ. 187, 3: προσανετίθουν καὶ σελ. 232, 3: διετίθουν καὶ σελ. 243,16 καὶ σελ. 304,1: ἐτίθουν καὶ σελ. 309, 6 καὶ σελ. 326,1: διετίθουν καὶ σελ. 397, 16: ἐτίθουν καὶ σελ. 398, 10: προσανετίθουν καὶ σελ. 461, 5: διετίθουν καὶ σελ. 507, 4: προσανετίθουν καὶ σελ. 575,11 καὶ σελ. 586, 2 καὶ σελ. 614,3: διετίθουν.

Νικηφ. Γρηγ. Τόμ. Α΄ σελ. 227,14 «κακῶς αὐτὴν διετίθουν νύκτωρ καὶ μεθ ἡμέραν ἐπιπορευόμενοι» καὶ σελ. 287, 8 «κακῶς τοὺς ἐξώσαντας διετίθουν» καὶ σελ. 301, 22 «ὁρκωμοτήρια φρίκης μεστὰ ξυνετίθουν» καὶ σελ. 302, 15 «τοὺς δ' ὑπόπτως ἔχοντας πρὸς ἀντίστασιν τῶν μελετωμένων ἄλλαις ἄλλως προφάσεσιν ὑποβάλλοντες ἐξετίθουν (γρ. ἔξω ἐτίθουν) τῶν πόλεων» καὶ Τόμ. Β΄, σελ. 685, 5 «καὶ τειχῶν ὑπετίθουν κρηπῖδας» καὶ σελ. 738, 18 «τῇ θείᾳ λαμβάνοντες ἐπετίθουν τραπέζῃ» καὶ σελ. 751, 6 «καὶ

πέτρας ἐκείνας ἐπετίθουν τοῖς ὤμοις» καὶ Τόμ. Γ', σελ. 89.13 «τῆς δὲ συμπλοκῆς οὐκ ἠμέλουν, ἀλλ' ὅπλοις ἀντετίθουν ὅπλα».

Νικήτ. Χωνιάτ. σελ. 21,15 «διετίθουν οὕτω τὴν φυγὴν πρὸς τὸ εὖ» καὶ σελ. 211, 21 «οὕτω διετίθουν τὸν πόλεμον» καὶ σελ. 335,11 «τὴν τοῦ γένους συνδιετίθουν ἀπώλειαν» καὶ σελ. 458, 6 «περιελόντες τὸ χιτώνιον κακῶς ἐτίθουν τὰ παιδογόνα μόρια» καὶ σελ. 485, 14 «τοιάδε τούτοις ἐνθουσιῶσιν ὑπετίθουν» καὶ σελ. 602, 2 «ὑπετίθουν ὡς θρανίδας τὰς κεφαλάς» καὶ σελ. 645, 7 «οἱ δὲ ὑπετίθουν μετὰ προθυμίας πλείστης τὸ γενησόμενον διαπράξασθαι» καὶ σελ. 671,18 «σφαιρωτοὶ λίθοι κακῶς ἐτίθουν τὸ στράτευμα».

Μιχ. Ἀτταλ. σελ. 57,7 «τούτῳ παρεμβεβλημένως βασιλικῆς ἀξίας περιετίθουν τιμήν» καὶ σελ. 93,18 «τοὺς Ῥωμαίους ἐπετοξάζοντο καὶ κακῶς ἄγαν διετίθουν» καὶ σελ. 202,17 «οὗτοι προαρπάζοντες τὸν σῖτον ἐξωνοῦντο καὶ ἀπετίθουν» καὶ σελ. 240, 3 «συνεχώρουν αὐτοῖς καὶ ἀβλαβεῖς διετίθουν».

Γεώργ. Κεδρην. Τόμ. Α', σελ. 63,7 «προσετίθουν δὲ καὶ μῖσος τῶν ἐνυπνίων αὐτοῦ ἀκούοντες» καὶ Τόμ. Β', σελ. 368. 5 «κακῶς τοὺς πολίτας διετίθουν».

Ἰω. Μαλαλ. σελ. 469, 11 «οἱ δὲ πραγματευταὶ τῶν Περσῶν πάντα ὅσα ἐπεφέροντο ἐν τῇ πραγματείᾳ ἐκεῖσε ἀπετίθουν».

Γεώργ. Κωδῖν. σελ. 35, 20 «ἐκεῖσε εἰς τὰς βαθμίδας τοῦ κίονος ἐτίθουν τὰ πιττάκια αὐτῶν» καὶ σελ. 36, 9 «ταχέως ἑσπέρας ἐτίθουν τὰς δεήσεις» καὶ σελ. 124,18 «καὶ οὕτως ἐτίθουν τὰ σώματα τῶν νεκρῶν» καὶ σελ. 136, 3 «οὔτε ἄγαν θερμὸν οὔτε πάλιν ψυχρὸν ἐτίθουν».

Ἰω. Κίνν. σελ. 276,1 «καὶ δίκας ἐπετίθουν τῆς τόλμης».

Θεοφάν. Χρονογρ. σελ. 154, 6 Λιψ. «ψάλλοντες ἐν κυριακῇ τὸ τρισάγιον προσετίθουν τὸ κτέ.».

Νικηφ. Βρυένν. σελ. 100, 22 «ἀποστάντες ἅπαν τὸ Ἰλλυρικὸν κακῶς διετίθουν» καὶ σελ. 102,12 «τὴν Ἰλλυρίδα κακῶς διετίθουν» καὶ σελ. 103,12 «τὰς φορτηγοὺς ναῦς καταιρούσας κακῶς διετίθουν» καὶ σελ. 142, 8 «κακῶς διετίθουν καὶ ἵππους καὶ ἄνδρας».

Κριτοβ. σελ. 78 Μυλλ. «λίθους ἐπετίθουν παμμεγέθεις» καὶ σελ.

81 «ἀμφορέας μεγάλους ξυλίνους πλήρεις γῆς στοιχηδὸν ἐπετίθουν».

Ἐν τοῖς εἰς Δημοσθένη Σχολίοις σελ. 142, 6 Δινδ. φέρεται διττὴ γραφὴ «προετίθουν τῇ ἐκκλησίᾳ» καὶ «προετίθεσαν τῆς ἐκκλησίας». Ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ τοῦ Σωζομενοῦ σελ. 806,26 Οὔσσ. εἶνε γεγραμμένον «τούτοις δὲ καὶ τὰς ἄλλας ἀρετὰς προσετίθουν»· μνημονεύεται δ' ὑπὸ τοῦ ἐκδότου καὶ γραφὴ προσετίθεσαν.

Ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων Δ', 35 ἀπαντᾷ «καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων», ὡς καὶ ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελίῳ ϛ', 56 «ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας». Ἀλλ' ἐν τῷ χωρίῳ τούτῳ ἀναγινώσκεται κατὰ τὴν Κοβήτειον ἔκδοσιν τῆς Καινῆς Διαθήκης σελ. 111 ἐτίθεσαν ἀντὶ τοῦ ἐτίθουν.

Ἐν τῷ Γοργίᾳ τοῦ Πλάτωνος σελ. 500, Β' ἄλλα μὲν τῶν ἀντιγράφων ἔχουσι «καὶ ἐτίθην τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν κατὰ τὸ σῶμα ἐμπειρίαν ἀλλ' οὐ τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην», ἄλλα δὲ ἐτίθουν, ὡς μανθάνομεν ἐκ τῶν ὑπὸ τοῦ Σταλβαυμίου γεγραμμένων ἐν τῇ β' ἐκδόσει τοῦ Γοργίου σελ. 232 «καὶ ἐτίθην: Haec est scriptura Clarc. Vat. Vind. 1. 6. Coisl. a pr. m. Par. FW., a sec. m. Bodl. Vulgo erat ἐτίθουν Flor. f. s. Par. E. et a pr. m. Par. FW. ἐτίθειν» (Ἴδε καὶ Ἄστιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ΙΑ', σελ. 347). Ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων καὶ τοῦ Πλάτωνος Γοργίου γράψας σελ. 210, 22 «καὶ ἐτίθουν τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν κατὰ τὸ σῶμα ἐμπειρίαν» ἐσημειώσατο σελ. 338 «ἐτίθουν τῶν μέν: Ἐτίθην τῶν μὲν, τῶν παρασκευῶν δηλαδή. ΣΧ. Σημειοῦ, ὅτι ὁ σχολιαστὴς, ἐτίθην (παρὰ τὸ τίθημι) ἀνέγνω, καὶ οὐκ, ἐτίθουν (παρὰ τὸ Τιθέω)».

Τὴν γραφὴν ἐτίθουν βλέπει τις καὶ ἐν τῷ Στοβαίου Ἀνθολογίῳ Τόμ. Α', σελ. 143, 31 Μειν. «καὶ ἐτίθουν τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν ἐμπειρίαν». Ἀλλ' οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι τοῦ εἰς ΗΝ λήγοντος τύπου ἐτίθην ἐγένετο χρῆσις ὑπὸ τοῦ Πλάτωνος, ὡς καὶ ὑπὸ τοῦ Λυσίου ἐν τῷ κατὰ Νικομάχου λόγῳ § 17 «ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖναι κτέ.». Πρβ. καὶ Φιλήμ. Ἀπόσπ. 76 Κοκκ. «ἔτι ταῦτα

προσετίθην ἀκηκοώς». Οὐδεὶς δὲ μετὰ τὸν Κοραῆν καθόσον ἡμεῖς γινώσκομεν ἐξέδωκεν ἐν τῷ Γοργίᾳ τοῦ Πλάτωνος ἐτίθΟΥΝ.

Οὐδὲν θαυμαστὸν ἂν ὑπὸ Μαξίμου τοῦ Πλανούδη ἐγράφη «Ἐπὶ τῶν εἰς ΜΙ ῥημάτων ἐν τοῖς παρατατικοῖς τὰ μὲν ἑνικὰ ἀπὸ τῶν περισπωμένων κανονίζονται, οἷον τιθῶ ἐτίθουν, διδῶ ἐδίδουν· τὰ δὲ πληθυντικὰ ἀπὸ τῶν εἰς ΜΙ, τίθημι ἐτίθεμεν, δίδωμι ἐδίδομεν» (Ἀνεκδ. Ἑλλην. Βαχμανν. Τόμ. Β', σελ. 55,2). Οὐδεμιᾶς πίστεως ἄξιος εἶνε ὁ Ἀντιαττικιστὴς λέγων «Διετίθουν: διετίθεσαν. Ἀντιφῶν Ἰάσονι» (Ἀνεκδ. Ἑλλην. Βεκκ. σελ. 90, 5).

Ἐν τῷ ὑπὸ τοῦ Πανταζίδου μεταφρασθέντι καὶ διασκευασθέντι Ὁμηρικῷ Λεξικῷ μνημονεύεται παρατατικὸς ἴουν καὶ σύνθετος ἀφίουν, σελ. 313 «παρατ. ἴην — καὶ ἴουν (ὡς ἐκ τοῦ ἰέω)» καὶ σελ. 116 «παρτ. γ' πληθ. ἀφίουν, ὡς ἐκ τοῦ ἀφιέω».

Περὶ τοῦ παρατατικοῦ τοῦ ῥήματος ἀφίημι λέγει Σκαρλᾶτος ὁ Βυζάντιος ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 592 «Ἠφίειν, εις, ει καὶ Ἠφίουν, Ἀττ. ἀντὶ Ἀφίην, παρτ. τοῦ Ἀφίημι». Ἄξια παραθέσεως νομίζομεν τὰ ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου γεγραμμένα Τόμ. Α', ϐ', σελ. 2661 «Eiusdem imperf. tertiam ἠφίουν apud Isaeum p. 60,19: Οὐδὲ τότε ἠφίουν. redarguunt libri qui ἠφίων vel ἠφείων, i. e. εἴων, a quo prope abfuit Schoemannus, qui ἠφίουν sic explicat. Est enim haec forma Byzantina ut ἐτίθουν». Οὐδείς, νομίζομεν, δύναται νὰ μὴ θαυμάσῃ ὅτι ὁ τύπος ὁ εὐλόγως Βυζαντιακὸς νομιζόμενος ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου ὑπολαμϐάνεται ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου Ἀττικός. Παρὰ τῷ Ἰσαίῳ ἐξέδωκεν ὁ Σχείϐιος σελ. 82 «οὐδὲ τότε εἴων εἰσιέναι» καὶ ἐσημειώσατο σελ. λ' «εἴων scripsi ex emendatione eiusdem Hirschigii: ἠφείων pr. A (secundum Dobsonum), ἠφίων BZ et corr. A (Dobs.), ἠφίουν editi, quod et notio verbi ἀφιέναι et forma (v. Krügerus ad Thucyd. II 49,1) repudiat» (Ἴδε καὶ Βυρμαννὸν ἐν τῇ ἐκδόσει τοῦ Ἰσαίου σελ. 75).

Τοῦ ἀδοκίμου τύπου ἠφίουν ἐποιήσατο χρῆσιν ὁ Ζωναρᾶς Ἐπιτομ. Ἱστορ. Τόμ. Α', σελ. 366, 3 Διντ. «καὶ φωνὰς εὐφήμους ἠφίουν εὐχαῖς μεμιγμένας» καὶ Τόμ. Γ', σελ. 176, 9 «γοερὰς ἠφίουν φωνὰς καὶ ὠλόλυζον» καὶ Τόμ. Δ', σελ. 86, 8 «οἱ μὲν λίθους ἠφίουν κατὰ τοῦ βασιλέως, οἱ δὲ κόνιν ἔπαττον κατ' αὐτοῦ»

καὶ ὁ Παχυμέρης Τόμ. Α' σελ. 56, 6 «φωνὰς ἠφίουν δεινὰς» καὶ σελ. 239, 1 «οὐ μὴν δὲ καὶ ἐς πλέον ἠφίουν» καὶ σελ. 423, 5 «ἠφίουν τὸ πᾶν ἐπ' ἐκείνῳ» καὶ Τόμ. Β'. σελ. 27, 9 «ἐντεῦθεν οὐδὲ τὸν πατριαρχεύσαντα Ἰωάννην αἰτιῶν ἠφίουν» καὶ σελ. 117,7 «τοῦτ' οὐκ ἠφίουν ἀκαταιτίατον».

Ἑνικὸν πρῶτον πρόσωπον ἠφίΕΙΝ κεῖται παρὰ τῷ Ἀριστείδῃ Τομ. Α', σελ. 473 Δινδ. «ἐνταῦθα δὴ ἄλλας τε φωνὰς ἠφίειν εἰς τὸν θεὸν καὶ δὴ καὶ μοιρονόμον προσεῖπον αὐτόν» Πρβ. καὶ Ἰώσηπ. Τομ. Ε', σελ. 10, 12 (Τόμ. Ϛ', σελ. 195, 25 Ναβ) «καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ Ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον καὶ τὰ παρὰ τῶν αὐτομόλων ἀπαγγελλόμενα μόνος αὐτὸς συνίειν». Ἀπαντᾷ δὲ καὶ ἐν ἐπιγραφῇ τῶν μεταγενεστέρων χρόνων «τάς τε βοῦς καὶ τοὺς βουκόλους ἀνετίθειν καὶ νῦν δὲ χώραν ἠγόρακα»· σημειοῦται δ' ὁ Βοίκκιος ἐν τῇ Συλλογῇ των Ἑλλ. Ἐπιγραφῶν 3605 Τόμ. Β'. σελ. 896 «mira extat forma ἀνετίθειν; in promptu est corrigere ἀνετίθην: sed non ausus sum insolentem illam formam tollere, quae potest Hellenistica esse».

Παρὰ Φίλωνι τῷ Ἰουδαίῳ Τόμ. Ε', σελ. 34 κεῖται «διένειμε τὸν χρόνον εἰς ἡμέραν τε καὶ νύκτα, τῇ μὲν ἐγρηγορεῖν, τῇ νυκτὶ δὲ ὕπνον παρασχοῦσα». Ἀλλ' ἐν τῇ νέᾳ τοῦ Φίλωνος ἐκδόσει Τόμ. Ε', σελ. 110 ἀνεγνώσθη «τῇ μὲν ἐγρήγορσιν, νυκτὶ δὲ ὕπνον παρασχοῦσα» καὶ ἐγράφη ἡ σημείωσις ἥδε· «ἐγρήγορσιν M (Tisch.): ἐγρηγορεῖν Ev». Λέγεται δὲ καὶ ἐν τοῖς ἔπειτα ὑπὸ τοῦ Φίλωνος «τὸν δόλιχον τοῦτον ἡ φύσις διά τε ὕπνου καὶ ἐγρηγόρσεως ἀπένειμεν ἀνθρώποις». Εὐκολώτατον δ' ἦτο νὰ μεταπέσῃ ὑπὸ κακῆς ἀναγνώσεως τὸ ἐγρήγορCιν εἰς το ἐγρηγορЄιν».

---

## ΚΕΦ. ΝΖ΄.

Ψευδέστατον μὲν εἶνε ὅτι ἦσαν **Καλυδώνιοι κάπροι**, ψευδέστατον δὲ ὅτι θηρεύων αὐτοὺς ἀπώλετο ὁ Μελέαγρος.

Καθ' ὃν χρόνον ὁ Δημ. Βερναρδάκης καθηγητὴς ὢν τοῦ Ἑλληνικοῦ Πανεπιστημίου ἐδίδασκεν ἐν αὐτῷ τὴν Γενικὴν Ἱστορίαν συνέταξεν Ἐγχειρίδιον τῆς Ἱστορίας ταύτης, οὗ μόνος ὁ πρῶτος τόμος ἐξεδόθη. Εἶνε δ' ἐν αὐτῷ γεγραμμένον σελ. 185 «ὁ Πλευρὼν καὶ ἡ Καλυδὼν παρὰ τὸν Εὔηνον ποταμὸν, ὅπου ἦσαν οἱ ΚαλυδΟνιοι κάπροι, οὓς θηρεύων ἀπώλετο ὁ Μελέαγρος».

Πολλοῦ θαυμασμοῦ ἄξιον φαίνεται ὅτι καθηγητὴς τοῦ Πανεπιστημίου ἠγνόει μῦθον λίαν διαβεβοημένον καὶ γνωστότατον ὄντα. Πᾶς μὴ ὅλως ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐπίσταται ὅτι **εἷς** Καλυδώνιος κάπρος ὑπῆρξε καὶ ὅτι ἐξελθὼν ἐπ' αὐτὸν ὁ Μελέαγρος μετ' ἄλλων ἀριστέων **ἀπώλεσεν** ἤτοι ἀπέκτεινεν αὐτόν.

Τοῦ περιφήμου καταστάντος κάπρου ἢ συὸς ἀγρίου καὶ τῆς ὑπὸ τοῦ Μελεάγρου ἔχοντος καὶ ἄλλους βοηθοὺς γενομένης αὐτοῦ θήρας ἐμνήσθη ὁ Ὅμηρος ἐν Ἰλιάδος Ι, 533 κέ.· εἶνε δ' ὑπ' αὐτοῦ τάδε εἰρημένα·

«καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσεν
χωσαμένη ὅ οἱ οὔ τι θαλύσια γουνῷ ἀλωῆς
Οἰνεὺς ἔρξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας,
οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο.
Ἤ λάθετ' ἢ οὐκ ἐνόησεν· ἀάσσατο δὲ μέγα θυμῷ.
Ἡ δὲ χολωσαμένη δῖον γένος ἰοχέαιρα
ὦρσεν ἔπι, χλούνην σὺν ἄγριον ἀργιόδοντα,
ὃς κακὰ πόλλ' ἔρρεζε ἔθων Οἰνῆος ἀλωήν·
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖσ' ἄνθεσι μήλων.
Τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
καὶ κύνας· οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσιν·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
Ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτήν,
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων».

Παραπήγνυμεν τούτοις καὶ ἃ ὁ Τζέτζης λέγει ἐν Ἱστορ. Χιλ. Ζ΄, 65 (σελ. 240 Κισλ.).

«Οἰνεὺς κρατῶν γῆς Αἰτωλῶν καὶ γῆς τῆς Καλυδῶνος
Ἀρτέμιδος ἐλάθετο θυσίαις θαλυσίων.
Ἡ δὲ τὸν κάπρον ἔπεμψεν ἐκ τῶν Οἰταίων λόφων,
ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν.
Πολλῶν συναθροισθέντων δὲ συαγρευτῶν ἐκεῖσε,
ἡ Ἀταλάντη πρώτη μὲν ἐκεῖνον ἐκτοξεύει,
εἶτα βαλὼν Μελέαγρος κτείνει τῷ συοκτόνῳ.
Τούτου δ' εἷς ἕκαστος ὀδοὺς πήχεως εἶχε πλέον.
Σωτήριχος καὶ Ὅμηρος καὶ ἄλλοι δὲ μυρίοι
περὶ τοῦ κάπρου μέμνηνται τοῦδε τοῦ Καλυδῶνος».

Παρατηρητέον δ' ὅτι κατὰ τὴν ὑγιῶς ἔχουσαν ἐκφορὰν γράφεται ἀλωή μεθ' ὑπογεγραμμένου ἰῶτα.

Μεθ' ἱκανῆς ἀκριβείας ἀφηγοῦνται τὰ κατὰ τὸν Μελέαγρον καὶ τὸν Καλυδώνιον κάπρον ὁ Ἀπολλόδωρος καὶ Διόδωρος ὁ Σικελιώτης. Μεταγράφομεν δὲ κατὰ λέξιν ἃ ἱστορεῖ ἑκάτερος.

Ἀπολλόδ. Α΄, η΄, 2 «Ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαγρον, ὃν ἐξ Ἄρεος γεγεννῆσθαί φασι. Τούτου δὲ ὄντος ἡμερῶν ἑπτά, παραγενομένας τὰς μοίρας φασὶν εἰπεῖν τότε τελευτήσειν Μελεαγρον, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ. Τοῦτο ἀκούσασα τὸν δαλὸν ἀνείλετο Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ ἀνὴρ γενναῖος γενόμενος τόνδε τὸν τρόπον ἐτελεύτησεν. Ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομένων, τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος ἐξελάθετο. Μηνίσασα δὲ ἡ θεὸς κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. Ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε, καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. Οἱ δὲ συνελθόντες ἐπὶ τὴν τοῦ κάπρου θήραν ἦσαν οἵδε - - μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. Συνελθόντας δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε· τῇ δεκάτῃ δέ, Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυγατέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάντης τεκνοποιήσασθαι, συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν

θήραν μετὰ ταύτης ἐξιέναι. Περιστάντων δὲ αὐτῶν τὸν κάπρον, Ὑλεὺς μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθάρησαν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. Τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν, Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. Οἱ δὲ Θεστίου παῖδες ἀδοξοῦντες, εἰ παρόντων ἀνδρῶν, γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ δέρας αὐτὴν ἀφείλοντο, κατὰ γένος αὐτοῖς προσήκειν λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. Ὀργισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἀπέδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν» (Πρβ. καὶ Ζηνόβ. Ε'. 33, Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 133 Γόττ. καὶ Ἀντών. Λιβερᾶλ. Β', Μυθογρ. Οὐεστερμ. σελ. 202,16). Μνημονεύει δ' εὐθὺς μετὰ ταῦτα ὁ Ἀπολλόδωρος καὶ ἕτερον μῦθον περὶ τοῦ θανάτου τοῦ Μελεάγρου λέγων «Οἱ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι, ἀμφισβητούντων δὲ τῶν Θεστίου παίδων ὡς Ἰφίκλου πρώτου βαλόντος, Κουρῆσι καὶ Καλυδωνίοις πόλεμον ἐνστῆναι, ἐξελθόντος δὲ Μελεάγρου καί τινας τῶν Θεστίου παίδων φονεύσαντος, Ἀλθαίαν ἀράσασθαι κατ' αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. Ἤδη δὲ τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων καὶ τῶν πολιτῶν ἀξιούντων μεθ' ἱκετηρίας βοηθεῖν, μόλις πεισθέντα ὑπὸ τῆς γυναικὸς ἐξελθεῖν καὶ τοὺς λοιποὺς κτείναντα τῶν Θεστίου παίδων ἀποθανεῖν μαχόμενον. Μετὰ δὲ τὸν Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεοπάτρα ἑαυτὰς ἀνήρτησαν, αἱ δὲ θρηνοῦσαι τὸν νεκρὸν γυναῖκες ἀπωρνεώθησαν».

Διόδ. Σικελ. Δ', λδ', 2 «Οὐκ ἀνοίκειον δ' εἶναι νομίζομεν βραχὺ παρεκβάντας ἡμᾶς ἀπαγγεῖλαι τὴν περὶ τὸν Μελέγρον περιπέτειαν. Οἰνεὺς γάρ, γενομένης εὐκαρπίας αὐτῷ τοῦ σίτου, τοῖς μὲν ἄλλοις θεοῖς ἐτέλεσε θυσίας, μόνης δὲ τῆς Ἀρτέμιδος ὠλιγώρησεν· δι' ἣν αἰτίαν ἡ θεὸς αὐτῷ μηνίσασα τὸν διαβεβοημένον Καλυδώνιον ὗν ἀνῆκεν, ὑπερφυῆ τὸ μέγεθος. Οὗτος δὲ τὴν σύνεγγυς χώραν καταφθείρων τὰς κτήσεις ἐλυμαίνετο· διόπερ Μελέαγρος ὁ Οἰνέως, τὴν μὲν ἡλικίαν μάλιστα ἀκμάζων, ῥώμῃ δὲ καὶ ἀνδρείᾳ διαφέρων, παρέλαβε πολλοὺς τῶν ἀρίστων ἐπὶ τὴν τούτου κυνηγίαν. Πρώτου δὲ Μελεάγρου τὸ θηρίον ἀκοντίσαντος, ὁμολογούμενον αὐτῷ τὸ πρωτεῖον συνεχωρήθη·

τοῦτο δ' ἦν ἡ δορὰ τοῦ ζῴου. Μετεχούσης δὲ τῆς κυνηγίας Ἀταλάντης τῆς Σχοινέως, ἐρασθεὶς αὐτῆς ὁ Μελέαγρος παρεχώρησε τῆς δορᾶς καὶ τοῦ κατὰ τὴν ἀριστείαν ἐπαίνου. Ἐπὶ δὲ τοῖς πραχθεῖσιν οἱ Θεστίου παῖδες συγκυνηγοῦντες ἠγανάκτησαν, ὅτι ξένην γυναῖκα προετίμησεν αὐτῶν, παραπέμψας τὴν οἰκειότητα. Διόπερ ἀκυροῦντες τοῦ Μελεάγρου τὴν δωρεὰν ἐνήδρευσαν Ἀταλάντῃ καὶ κατὰ τὴν εἰς Ἀρκαδίαν ἐπάνοδον ἐπιθέμενοι τὴν δορὰν ἀφείλοντο. Μελέαγρος δὲ διά τε τὸν πρὸς τὴν Ἀταλάντην ἔρωτα καὶ διὰ τὴν ἀτιμίαν παροξυνθεὶς ἐβοήθησε τῇ Ἀταλάντῃ. Καὶ τὸ μὲν πρῶτον παρεκάλει τοὺς ἡρπακότας ἀποδοῦναι τῇ γυναικὶ τὸ δοθὲν ἀριστεῖον· ὡς δ' οὐ προσεῖχον, ἀπέκτεινεν αὐτούς, ὄντας τῆς Ἀλθαίας ἀδελφούς. Διόπερ ἡ μὲν Ἀλθαία γενομένη περιαλγὴς ἐπὶ τῇ τῶν ὁμαίμων ἀναιρέσει ἀρὰς ἔθετο, καθ' ἃς ἠξίωσεν ἀποθανεῖν Μελέαγρον· καὶ τοὺς ἀθανάτους ὑπακούσαντας ἐπενεγκεῖν αὐτῷ τὴν τοῦ βίου καταστροφήν. Ἔνιοι δὲ μυθολογοῦσιν ὅτι κατὰ τὴν Μελεάγρου γένεσιν τῇ Ἀλθαίᾳ τὰς Μοίρας καθ' ὕπνον ἐπιστάσας εἰπεῖν ὅτι τότε τελευτήσει Μελέαγρος ὁ υἱὸς αὐτῆς, ὅταν ὁ δαλὸς κατακαυθῇ· διόπερ τεκοῦσαν καὶ νομίσασαν ἐν τῇ τοῦ δαλοῦ φυλακῇ τὴν σωτηρίαν τοῦ τέκνου κεῖσθαι, τὸν δαλὸν ἐπιμελῶς τηρεῖν· ὕστερον δ' ἐπὶ τῷ φόνῳ τῶν ἀδελφῶν παροξυνθεῖσαν κατακαῦσαι τὸν δαλὸν καὶ τῷ Μελεάγρῳ τῆς τελευτῆς αἰτίαν καταστῆσαι· ἀεὶ δὲ μᾶλλον ἐπὶ τοῖς πεπραγμένοις λυπουμένην τὸ τέλος ἀγχόνῃ τὸν βίον καταστρέψαι».

Γράφει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 773, 4 «Ἰστέον δὲ καὶ ὅτι οὕτω πολὺς περὶ τοῦ Καλυδωνίου τούτου συὸς λόγος παρὰ τοῖς παλαιοῖς, ὡς καὶ γένος αὐτοῦ φυλοκρινεῖν καὶ κατάγειν αὐτὸν Κρομμυωνίας συὸς καὶ πατρίδα τὴν Οἴτην αὐτῷ ἐπιγράφειν καὶ χρῶμα διαγράφειν· λευκὴν γὰρ αὐτῷ τὴν χρόαν ἱστόρησαν. Ὡς δὲ καὶ ἄλλοι σύες πράγματά τισι παρέσχον, δηλοῖ καὶ ὁ Ἐρυμάνθιος κάπρος καὶ τὸ παρ' Ἡροδότῳ συὸς μέγα χρῆμα, κατ' ἐκεῖνον εἰπεῖν, ἐν τῷ Μυσίῳ Ὀλύμπῳ. Τὸ δὲ σῦν ἄγριον καὶ σῦς ἄγριος συντιθέντες οἱ μεθ' Ὅμηρον σύαγρόν φασιν. Ἰστέον δὲ ὡς οὐ μόνον ἀγρίους αἱ ἱστορίαι σύας μεγάλους φυλοκρινοῦσιν, ὧν εἰσὶ καὶ ἡ Κρομμυωνία σῦς καὶ ὁ Καλυδώνιος κάπρος καὶ ὁ Ἐρυμάνθιος καὶ ὁ Ὀλυμπηνός, ἀλλὰ καὶ ἡμέρους οὔτε βλάπτοντας καὶ πολλοῦ δὲ τιμωμένους» καὶ σελ. 774, 21 «Ἱστορεῖται γὰρ ὡς, ἀναιρεθέν-

τος τοῦ Καλυδωνίου συάγρου, ὅπερ ἐκ τοῦ σῦς ἄγριος Ὁμηρικοῦ, ὡς ἐρρέθη, συγκειται, περὶ τῆς ἐκείνου κεφαλῆς καὶ τοῦ δέρματος ὡς περὶ ἀριστείων ἐφιλονείκουν Κουρῆτες καὶ Καλυδώνιοι οἱ συνθηράσαντες, ὅτε καὶ οἱ Θεστιάδαι ἀνῃρέθησαν οἱ τοῦ Μελεάγρου θεῖοι. Ὅτι δὲ τὸ κυνηγετεῖν σπουδαιότατον ἦν καὶ τοῖς παλαιοῖς καὶ ὅτι γέρας εἶχέ τι ὁ περὶ αὐτὸ εὐδοκιμῶν καὶ ὅτι ἀσχέδωρος ἐκαλεῖτο κατὰ γλῶσσαν ὁ ἄγριος σῦς καὶ ὅτι ὁμώνυμος φωνὴ ὁ σύαγρος καὶ πῶς ἐτομολογεῖται ὁ σῦς, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται, ὅπου ὁ Ὀδυσσεὺς ἐγνωρίσθη ἐκ τῆς οὐλῆς. Ἰστέον δὲ ὡς οἱ νεώτεροί φασι τὸν Μελέαγρον περιγενόμενον τοῦ Οἰταίου συὸς τούτου καὶ ἀποδείραντα δοῦναι τὴν αὐτοῦ κεφαλὴν καὶ τὸ δέρμα τῇ ἐρωμένῃ Ἀταλάντῃ· καὶ γὰρ καὶ αὐτὴ συνεκυνήγησεν· οἱ δὲ Θεστίου παῖδες, Πλευρώνιοι μὲν ὄντες, μήτρωες δὲ Μελεάγρου, ὅ ἐστι θεῖοι πρὸς μητρός, ἀγανακτήσαντες αὐτά τε τῆς Ἀταλάντης ἀφείλοντο βίᾳ καὶ τῷ Μελεάγρῳ ἐπεβούλευον· ὁ δὲ μαθὼν τούτους ἀπέκτεινεν· ἐφ' οἷς καὶ τὴν μητέρα λελύπηκε. Τῶν δὲ Πλευρωνίων διὰ ταῦτα Καλυδωνίοις πολεμούντων, ὁ Μελέαγρος ἐξ ἀρχῆς μὲν οὐ συνεμάχει τοῖς ἐν Καλυδῶνι συμπολίταις, ἀγανακτῶν πρὸς τὴν μητέρα καταρωμένην· πεισθεὶς δὲ ὕστερον τῇ γυναικὶ Κλεοπάτρᾳ ἀπεσόβησεν ἐκ τῆς πόλεως τοὺς Κουρῆτας. Οἱ δ' αὐτοὶ νεώτεροι προσιστοροῦσι καὶ ὡς ἡ μήτηρ ἔτι μηνιῶσα τῷ υἱῷ Μελεάγρῳ διὰ τοὺς ἀδελφοὺς τὸν παρὰ Μοιρῶν αὐτῇ δοθέντα δαλὸν ὅρον ὄντα τῆς τοῦ υἱοῦ ζωῆς κατέφλεξε, τελευτήσαντος δὲ παραχρῆμα αὐτοῦ, μεταμεληθεῖσα ἑαυτὴν κατέκαυσεν ἐπὶ τῇ τοῦ παιδὸς πυρᾷ· αἱ δὲ τοῦ Μελεάγρου ἀδελφαὶ ἀπαύστως θρηνοῦσαι εἰς ὄρνις τὰς λεγομένας Μελεαγρίδας μετεβλήθησαν» (Πρβ. καὶ σελ. 204, 8 καὶ σελ. 311, 48 καὶ σελ. 1062, 61). Παρὰ τῷ Ἡροδότῳ Α΄, 36 κεῖται «ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐν τῷ Μυσίῳ Ὀλύμπῳ ὑὸς χρῆμα γίνεται μέγα· ὁρμεόμενος δὲ οὗτος ἐκ τοῦ οὔρεος τούτου τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε. Πολλάκις δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες ποιέεσκον μὲν κακὸν οὐδέν, ἔπασχον δὲ πρὸς αὐτοῦ». Περὶ τοῦ ἀσχέδωρος ἴδε Κασαύβωνα ἐν ταῖς εἰς τοὺς Δειπνοσοφιστὰς τοῦ Ἀθηναίου Παρατηρήσεσι σελ. 686 καὶ Γ. Δινδόρφιον ἐν τῷ Αἰσχυλείῳ Λεξικῷ σελ. 47.

Παρατιθέμεθα καὶ τὰ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις γεγραμμένα σελ. 307, 22 Διδ. «Οἰνεὺς δέ, τῆς αὐτοῦ γῆς εὐφορησάσης,

ἀπαρχὰς πᾶσι θεοῖς θύσας Ἀρτέμιδι οὐκ ἔθυσεν· ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν, ἵνα ταύτην λυμήνηται. Ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε, καὶ τῷ κρατύναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ὑπέσχετο. Συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. Ἐπεὶ δὲ τὸ δέρας τῇ Ἀταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ Μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι ἀγανακτοῦντες εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν Ἀταλάντης ἀφείλοντο, ὑπὸ δὲ Μελεάγρου ἐφονεύθησαν, ὀλίγον ὕστερον καὶ αὐτοῦ, τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης καὶ ἀναψάσης τὸν Μοιρῶν δαλόν, ἀποθανόντος». Πιθανώτατον ἡμῖν φαίνεται ὅτι τὸ «κρατύναντι τὸν θῆρα» εἶνε ἡμαρτημένη ἀνάγνωσις τοῦ «τῷ κτείναντι τὸν θῆρα», ὃ βλέπει τις ἐν οἷς παρεθέμεθα ἐκ τοῦ Ἀπολλοδώρου. Ἀναγνωστέον δὲ καὶ «ὁ Μελέαγρος χαριζόμενος ἔδωκεν, οἱ πρὸς μητρὸς θεῖοι κτέ.». Τὸ «συνελθούσης μετὰ τῶν ἀριστέων» κεῖται καὶ ἐν τοῖς τοῦ Ζηνοβίου Ε΄, 33 (Παροιμ. Ἑλλ. Τόμ. Α΄, 133, 21 Γοττ.)· ἀλλ' ἴσως ἡ γνησία γραφὴ εἶνε «συνΕΞελθούσης μετὰ τῶν ἀριστέων».

Ἄξια ἀναγνώσεως εἶνε καὶ τὰ ὑπὸ Φιλοστράτου τοῦ νεωτέρου εἰρημένα ἐν Εἰκόσι ΙΕ΄ (Τόμ. Β΄, σελ. 417 Καυσ.) «Πολὺ διαφέρουσι τῶν ὑπὸ τοῦ Ἀπολλοδώρου καὶ ἄλλων παραδεδομένων ἃ ἱστορεῖ Ἰωάννης ὁ Μαλάλας σελ. 165,8 Βόνν. «Μελέαγρος δὲ ὁ τοῦ Οἰνέως υἱός, ἀδελφὸς δὲ τοῦ Τυδέως καὶ Δηιανείρας, ἐποίησεν ἆθλον μέγαν ἐν τῇ Καλυδωνίᾳ χώρᾳ, φονεύσας κάπρον φοβερόν, τῆς Ἀταλάντης τῆς θυγατρὸς τοῦ Σχοινέως οὔσης μετ' αὐτοῦ· ἥτις προποιήσασα (γρ. ἴσως προπηδήσασα) τοξεύει τὸν σύαγρον· ἐλυμαίνετο γὰρ οὗτος ὁ θὴρ πᾶσαν τὴν χώραν ἐκείνην. Καὶ μετὰ τὴν ἀναίρεσιν τοῦ θηρὸς τὸ δέρμα αὐτοῦ ἐχαρίσατο ὁ Μελέαγρος τῇ Ἀταλάντῃ εἰς ἔρωτα αὐτῆς βληθείς. Ἀπελθὼν δὲ ὁ Μελέαγρος πρὸς τὸν ἑαυτοῦ πατέρα Οἰνέα ἀπητήθη παρ' αὐτοῦ τὰ νικητήρια τοῦ θηρός· καὶ μαθὼν ὅτι τῇ Ἀταλάντῃ τὸ δέρμα ἐχαρίσατο, ὀργισθεὶς κατὰ τοῦ ἰδίου υἱοῦ ὃν εἶχε θαλλὸν ἐλαίας φυλαττόμενον παρὰ τῇ Ἀλθαίᾳ τῇ ἑαυτοῦ μὲν γυναικί, μητρὶ δὲ τοῦ Μελεάγρου, ὅντινα θαλλὸν τῆς ἐλαίας ἡ Ἀλθαία ἔγκυος οὖσα ἐπιθυμήσασα ἔφαγε, καὶ καταπιοῦσα τὸ φύλλον

τῆς ἐλαίας εὐθέως τεκοῦσα συνεγέννησε τὸ τῆς ἐλαίας φύλλον σὺν τῷ Μελεάγρῳ· περὶ οὗ χρησμὸς ἐδόθη τῷ πατρὶ αὐτοῦ τῷ Οἰνεῖ τοσοῦτον ζῆν τὸν Μελέαγρον ὅσον χρόνον φυλάττεται τὸ φύλλον τῆς ἐλαίας τὸ μετ' αὐτοῦ γεννηθέν· ὅπερ φύλλον ὀργισθεὶς ὁ Οἰνεὺς εἰς πῦρ ἔβαλε, καὶ ἐκαύθη, ἀγανακτήσας κατὰ τοῦ ἰδίου υἱοῦ· καὶ παραχρῆμα ὁ Μελέαγρος ἐτελεύτησεν, ὡς ὁ σοφὸς Εὐριπίδης δρᾶμα περὶ τοῦ αὐτοῦ Μελεάγρου ἐξέθετο». Πρβ. καὶ Γεώργ. Κεδρην. Τόμ. Α΄, σελ. 247, 18 κέ. Εἶνε δὲ παρὰ τούτῳ γεγραμμένον «περὶ οὗ χρησμὸς ἐδόθη τῷ πατρὶ αὐτοῦ Οἰνεῖ τοσοῦτον χρόνον ζῆσΑΙ τὸν Μελέαγρον κτέ.». Ἐν τοῖς εἰς Λουκιανὸν Σχολίοις σελ. 255 Ἰακ. λέγεται «ὁ Μελέαγρος: Σβεσθείσης γὰρ τῆς λαμπάδος παρὰ τῆς μητρός, κατὰ μικρὸν αὐτὸς ἐμαραίνετο· τῷ Μελεάγρῳ γὰρ συνεγεννήθη λαμπάς, περὶ ἧς ἐλέχθη ὅτι ἐφ' ὅσον ἅπτεται ζῇ ὁ Μελέαγρος. Ὅτε οὖν σχὼν τὴν Ἀταλάντην σύμμαχον καὶ τοὺς ἀδελφοὺς τῆς ἰδίας μητρὸς ἐφόνευσε τὸν Καλυδώνιον κάπρον, ἐρῶν δὲ τῆς Ἀταλάντης ἔδωκεν αὐτῇ τὰ πρωτεῖα, ὠργίσθησαν ἐπὶ τούτῳ οἱ θεῖοι, καὶ γενομένης μάχης, ἀνεῖλεν αὐτούς· ἐπὶ τούτῳ ἐλυπήθη ἡ Μελεάγρου μήτηρ Ἀλθαία κατ' αὐτοῦ, ὡς ὑπὲρ ἀδελφούς· καὶ ἀπελθοῦσα ἔσβεσε τὴν λαμπάδα. Ἦν δὲ ὁ Μελέαγρος υἱὸς τοῦ Οἰνέως». Πρβ. καὶ Βαχμ. Ἑλλ. Ἀνέκδ. Τόμ. Β΄, σελ. 363.10, ἔνθα ὀρθῶς ἀναγινώσκεται «ὡς ὑπὲρ ἀδελφῶν» ἀντὶ τοῦ πλημμελῶς γεγραμμένου ἐν τοῖς εἰς Λουκιανὸν Σχολίοις «ὡς ὑπὲρ ἀδελφούς».

Παρὰ τῷ Λουκιανῷ Συμποσ. ἢ Λαπ. 25 φέρεται ἀπόσπασμα τοῦ Σοφοκλέους ἔχον ὧδε «Συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γυίαις ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά». Ὁ Κόβητος ἀποφαίνεται ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 243 «legendum ἐπ Οἰνέως γύΑϹ *in Oenei arva immisit*. Nulla potest esse dubitatio quin haec ad Sophoclis Μελέαγρον sint referenda». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου κεῖται σελ. 753,12 «Καινὸν δὲ οὐδὲν τοιαύτας ἐν σχεδιασμῷ ἀμφιβολίας παρεισπίπτειν, ὅπου γε καὶ ἄλλως τοιαῦτα συγκυροῦσιν. Τὸ γοῦν ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σῦν ἐμὲ παράγεταί τισιν εἰς τοιοῦτον παράδειγμα, ὡς δῆθέν τινος εὐξαμένου ἢ τὸν σῦν καταβλητικὸν αὐτοῦ γενέσθαι ἢ ἀνάπαλιν αὐτὸν τοῦ συός». Προφανέστατον ὑπάρχει ὅτι τὸ ἐμέ εἶνε ὑποκείμενον τοῦ καταβαλεῖν, τὸ δὲ τὸν σῦν ἀντικείμενον αὐτοῦ. Ὁ Ναύκιος γράφει ἐν τῇ συναγωγῇ

τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Τραγικῶν σελ. 878 ἐκδ. β' «ex Euripidis Meleagro petitum esse versiculum coni. Valckenaer. Diatr. p. 145».

Λέγεται δ' ἄλλοτε μὲν Καλυδώνιος κάπρος, ἄλλοτε δὲ Καλυδώνιος σῦς ἢ ὗς. Πολλὰ δ' ἑκατέρας χρήσεως ἔχομεν νὰ καταλέξωμεν μαρτύρια.

## § 1. **Καλυδώνιος κάπρος.**

Καλλίμ. Ὕμν. εἰς Ἄρτ. 218 «οὔ μιν ἔτι κλητοὶ Καλυδωνίου ἀγρευτῆρες μέμφονται κάπροιο».

Ἀπολλόδ. σελ. 68,31 Ἑρχ. «λέγεται τὸν ἐπὶ Κόλχους πλοῦν γενέσθαι καὶ τὴν τοῦ Καλυδωνίου κάπρου θήραν» καὶ σελ. 103.5 «παρεγένετο δὲ μετὰ τῶν ἄλλων ἀριστέων καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον» καὶ σελ. 114,25 «ἐντεῦθεν δὲ ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθὼν κτέ».

Στράβ. σελ. 539,2 Μειν. «ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν Κρομμυωνίαν ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασί». Πρβ. καὶ Στέφ. Βυζ. σελ. 383,1 Μειν.

Σχολ. Ἰλ. Τόμ. Γ', σελ. 105,13 Δινδ. «Φερεκύδης δὲ καὶ τοῦτον ἕνα τῶν ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατευσάντων φησίν».

Σχολ. Ἀριστοφ. σελ. 124,4 Διδ. «ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθών».

Τζέτζ Σχολ. εἰς Λυκόφ. σελ. 641 Μυλλ. «οὗτος ἐπὶ τὸν Καλυδώνιον κάπρον ἐξελθὼν ἀνῃρέθη ὑπ' αὐτοῦ». Πρβ. καὶ Ἐπιστολ. σελ. 14 Πρεσσ. «ὡς εἴπερ ὑπὲρ τοῦ Νεμεαίου ἔγραφεν ἢ τοῦ κάπρου Καλυδῶνος» καὶ Ἱστορ. Χιλ. Ζ', 52 (σελ. 239 Κισλ.) «ἢ τοῦ Ἐρυμανθίου τε κάπρου καὶ Καλυδῶνος». Ὑπὸ τοῦ Σωζομενοῦ Ἐκκλησ. Ἱστορ. σελ. 16 Οὔσσ. ἐλέχθη «τὸν μὲν ἐν Καλυδῶνι κάπρον καὶ τὸν ἐν Μαραθῶνι ταῦρον».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 204,8 «λέγοντες καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατεῦσαι αὐτόν».

## § 2. **Καλυδώνιος σῦς ἢ ὗς.**

Ἀθήν. σελ. 401, Β' «συὸς δὲ ἀγρίου ἐπεισενεχθέντος, ὅς κατ' οὐ-

δὲν ἦν ἐλάττων τοῦ καλοῦ γραφομένου Καλυδωνίου, προβάλλω, τὶς ἔφη, σοὶ ζητεῖν, φροντιστὰ καὶ λογιστὰ Οὐλπιανέ, τίς ἱστόρηκε τὸν Καλυδώνιον σῦν θήλειάν τε (γρ. ἴσ. θλαδίαν) γεγονέναι καὶ λευκὸν τὴν χρόαν» καὶ σελ. 402, Α΄ «ἐπειδὲ σὺ τὸ προβληθέν σοι ἀποπροσπεποίησαι περὶ τῆς χρόας τοῦ Καλυδωνίου συός, εἴ τις αὐτὸν ἱστορεῖ λευκὸν τὴν χρόαν γεγονότα». Τὸ «τοῦ καλοῦ γραφομένου» παρέσχε πράγματα τοῖς κριτικοῖς. Ἔγραψε δ᾽ ὁ μὲν Μεινέκιος ἐν τοῖς Κριτικοῖς Ἀναλέκτοις εἰς τοὺς Ἀθηναίου Δειπνοσοφιστὰς σελ. 173 «Fortasse τοῦ καλλιγραφουμένου, nisi καλοῦ utpote e Καλυδωνίου natum expungere praestat», ὁ δὲ Καιβέλιος ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου Τόμ. Β΄, σελ. 374 «καλοῦ del. Wilam., fort. μεγάλου», ὁ δὲ Ναύκιος ἐν *Mél. Gréco-Rom.* Τόμ. Ε΄, σελ. 211 «Hierher möchte ich ziehen auch Ath. IX p. 401 B: συὸς δὲ ἀγρίου ἐπεισενεχθέντος, ὃς κατ᾽ οὐδὲν ἦν ἐλάττων τοῦ καλοῦ γραφομένου Καλυδωνίου, wo die ursprüngliche Lesart τοῦ καλοῦ
γραφομένου (d. h. καλουμένου) Καλυδωνίου gewesen sein dürfte».

Πολυδ. Ε΄, 45 «ἔνδοξος δὲ καὶ ἡ Ἀταλάντης κύων, Αὔρα τοὔνομα, ἣν ὁ Καλυδώνιος σῦς ἀπέκτεινεν».

Προκοπ. Τόμ. Β΄, σελ. 77, 23 Βόνν. «καὶ γνώρισμα τῇ πόλει τοὺς ὀδόντας συὸς τοῦ Καλυδωνίου ἐλίπετο, οὓς ὁ θεῖος Μελέαγρος ἆθλα τοῦ κυνηγεσίου λαβὼν ἔτυχεν».

Ἐφραίμ. 6985 (σελ. 284 Βόνν.) «καὶ σῦν Καλυδώνιον, ἔργον τι ξένον».

Τζέτζ. Σχολ. εἰς Λυκόφρ. σελ. 642 Μυλλ. «ὁ δὲ Καλυδώνιος σῦς πρότερον περὶ τὴν Οἴτην διατρίβων κτέ.».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 311, 43 «μνήμη δὲ αὐτῆς ἔσται καὶ προϊόντι τῷ ποιητῇ ἐν τοῖς κατὰ τὸν Καλυδώνιον σῦν». Πρβ. καὶ σελ. 1062,61 «καθά που καὶ ὁ Καλυδώνιος καὶ ὁ παρὰ τῷ Ἡροδότῳ σῦς».

Νικήτ. Χωνιάτ. σελ. 687, 19 «ὥστε καὶ τοῦ Καλυδωνίου συὸς τὸ ῥύγχος ἀπέτεμεν» καὶ σελ. 738, 7 «καὶ δὴ καὶ τὸν Καλυδώνιον σῦν», οὗ καὶ γίνεται ἐξήγησις διὰ τοῦ «τὸν ἀγριόχοιρον τὸν Καλυδώνιον λεγόμενον».

Σχολ. Ἰλ. Τόμ. Β΄, σελ. 91, 15 Δινδ. «Τελαμὼν δὲ ἐν τῷ

λόχῳ τοῦ Καλυδωνίου συὸς ἀνελὼν ἀκουσίως καὶ αὐτὸς ἕνα τῶν κυνηγούντων ἔφυγεν εἰς Σαλαμῖνα» καὶ σελ. 102, 14 «ὡς που καὶ ἐν τῇ θήρᾳ τοῦ Καλυδωνίου συός».

Σχολ. Ἡσιόδ. σελ. 225. 14 Λιψ. «διὰ τὴν τοῦ Καλυδωνίου συὸς κεφαλήν».

Σχολ. Εὐριπ. Τόμ. Γ', σελ. 139, 5 Δινδ. «ὁ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν. ὁ δὲ τὴν λεοντοπρόσωπον Σφίγγα».

Σχολ. Ἀπολλων. Ῥοδ. σελ. 315 Κειλ. «Φερεκύδης ἐν τῇ Η' φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν».

Εὐδοκ. Ἰων. σελ. 355, 18 Φλαχ. «Λεκτέον δὲ πρὸς τούτοις καὶ περὶ τῶν τὴν εὔφημον συστησάντων θήραν τοῦ Καλυδωνίου συός» καὶ «ἡ καὶ πρώτη τῷ βέλει τοῦ πεφρυαγμένου συὸς τὴν κεφαλὴν τρώσασα».

Παυσαν. Λακων ΙΗ', 9 «ὑὸς ἐστὶ θήρα τοῦ Καλυδωνίου» καὶ Ἀρκαδ. ΜΕ', 6 «τὰ δὲ ἐν τοῖς ἀετοῖς ἐστὶν ἔμπροσθεν ἡ θήρα τοῦ ὑὸς τοῦ Καλυδωνίου» καὶ ΜϚ', 1 «σὺν δὲ αὐτῇ καὶ ὑὸς τοῦ Καλυδωνίου τοὺς ὀδόντας ἔλαβεν» καὶ ΜΖ', 2 «ἔστι μὲν τὸ δέρμα ὑὸς τοῦ Καλυδωνίου». Πρβ. καὶ ΜΕ', 2 «τὸν γὰρ ἐν Καλυδῶνι ὗν Ἀγκαῖος ὑπέμεινεν ὁ Λυκούργου τρωθείς, καὶ Ἀταλάντη τοξεύει τὸν ὗν καὶ ἔτυχε πρώτη τοῦ θηρίου· τούτων εἵνεκα αὐτῇ ἡ κεφαλή τε τοῦ ὑὸς καὶ τὸ δέρμα ἀριστεῖα ἐδόθη». Νομίζομεν δ' ὅτι ἐρρήθη ὑπὸ τοῦ Παυσανίου «τὸν γὰρ ἐν Καλυδῶνι ὗν Ἀγκαῖος ὑπέμεινεν ὁ ΛυκούργΟΥ, (ἀπέθανε δ' ὑπ' αὐτΟΥ) τρωθείς· καὶ Ἀταλάντη κτέ.».

Παρὰ τῷ Λουκιανῷ πρὸς τὸν Ἀπαίδ. 14 φέρεται «καὶ ἔχει μὲν τὸ κειμήλιον τοῦτο καὶ δείκνυσιν ὡς Τεγεᾶται τοῦ Καλυδωνίου ὑὸς τὸ δέρμα καὶ Θηβαῖοι τὰ ὀστᾶ τοῦ Γηρυόνου κτέ.». Γράφει δ' ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 193 «Supplendum τοῦ Καλυδωνίου ὑὸς τὸ δέρμα. Non aliter enim dicebant quam ὁ ἐν Καλυδῶνι ὗς, vel ὁ Καλυδώνιος ὗς. De multis testibus produco oculatum unum, PAUSANIAM, qui se Tegeae vidisse scribit (VIII. 47,2.) τὸ δέρμα ὑὸς τοῦ Καλυδωνίου. διεσήπετο δὲ ὑπὸ τοῦ χρόνου, inquit, καὶ ἐς ἅπαν ἦν τριχῶν ἤδη ψιλόν. facile credimus».

Ἀντὶ τοῦ ὀνόματος σῦς ἢ ὗς ἐποιήσατο ὁ Τζέτζης χρῆσιν τοῦ

χοῖρος ἐν Ἱστορ. Χιλ. Η', 893 (σελ. 274 Κισλ.) «τῷ κυνηγίῳ διωχθεὶς χοίρῳ τῷ Καλυδῶνος». Ὁ Θεμίστιος εἶπεν ἁπλῶς τὸν σῦν ἄνευ τοῦ ἐπιθέτου Καλυδώνιον Λόγ. σελ. 310,15 Δινδ. «ἧ πάλαι ἐπὶ τὸν σῦν συνελέγησαν οἱ τότε ἄριστοι τῶν Ἑλλήνων, ὃς τὰ ἔργα τοῦ Αἰτωλῶν βασιλέως ἔφθειρέ τε καὶ ἐλωβᾶτο». Πρβ. καὶ Σχολ. Εὐριπ. Τόμ. Γ', σελ. 73,23. Δινδ. «Ἄρη δ' Αἰτωλόν: ὡς ἔχοντος αὐτοῦ ἐπὶ τῆς ἀσπίδος τὸν περὶ τοῦ συὸς πόλεμον».

Τὸν Καλυδώνιον κάπρον ὠνόμασε κάπρον Αἰτωλόν ὁ Εὐριπίδης Φοινίσσ. 1108 «ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος, ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει, ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον χειρουμένην Αἰτωλόν». Σχολ. «Κάπρον: ὃν ἐπήγαγεν Αἰτωλοῖς ποτε Ἄρτεμις λυμαίνεσθαι τὴν σφῶν χώραν ὀργιζομένη Οἰνεῖ θύσαντι τοῖς ἄλλοις θεοῖς καὶ οὐ τῇ Ἀρτέμιδι. Ἀπέκτεινε δὲ τὸν κάπρον τοῦτον ὁ Μελέαγρος. Οὗτος ὁ κάπρος ἐλέγετο Καλυδώνιος».

Ἔν τισι τῶν ἐν τοῖς ἄνω παρατεθεισῶν ῥήσεων ἀντὶ τοῦ κάπρος ἢ σῦς-ὗς εἶνε τεθειμένον τὸ θήρ ἢ θηρίον. Κεῖται δὲ τὸ θήρ καὶ ἐν Ἀποσπάσματι ἐκ τοῦ Μελεάγρου τοῦ τραγικοῦ Ἀντιφῶντος παρ' Ἀριστοτ. Ῥητορ. Β', 23 «οὐκ ἵνα κτάνωσι θῆρ', ὅπως δὲ μάρτυρες ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα». Πρβ. Ἀνών. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΚΑ', β', σελ. 141, 25 «περὶ οὗ Μελεάγρου ὁ Ἀντιφῶν γράφει ὅτι συνῆλθον τῷ Οἰνεῖ τῷ πατρὶ τοῦ Μελεάγρου οἱ ἔκκριτοι τῶν Αἰτωλῶν οὐχ ἵνα κτάνωσι τὸν σῦν τὸν ἐξελθόντα (συνεξελθόντα) τὸν Ἐρυμάνθιον, ἀλλ' ἵνα ἴδωσι τὸν Μελέαγρον ὅπως τὸν θῆρα ἀπέκτεινε καὶ μαρτυρῶσι τοῦτο». Ὁ Ναύκιος ἀνέγνω «ἵνα κτάνωσι τὸν σῦν ἐξελθόντες» ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἑλλήνων Τραγικῶν σελ. 792 ἐκδ. β'. Πλημμελῶς δ' ἔχον τὸ «οὐχ ἵνα κτάνωσι» μετεβλήθη εἰς τὸ «οὐχ ἵνα κάνωσι»· πρῶτος δ' ἀποκατέστησε τὴν γνησίαν ταύτην γραφὴν ὁ Μεινέκιος.

Φέρεται δὲ καὶ παρὰ τῷ Παυσανίᾳ Ἀττ. ΜΒ', 6 «ὃν ἀπέστειλεν ὁ πατὴρ Μελεάγρῳ τὸ ἐν Αἰτωλίᾳ θηρίον συνεξαιρήσοντα» καὶ Ἀρκαδ. Δ', 10 «καὶ ὕστερον ὁμοῦ Μελεάγρῳ τὸ ἐν Καλυδῶνι κατεργαζόμενος θηρίον ἀπέθανεν».

Ἐν τέλει μνημονεύομεν τὰ ὑπὸ τοῦ Βακχυλίδου εἰρημένα Ἐπιν. Ε', 104 (σελ. 51 Βλασσ.)

Ἀλλ' ἀνίκατον θεὰ
ἔσχεν χόλον· εὐρυβίαν δ' ἔσσευε κούρα
κάπρον ἀναιδομάχαν
ἐς Καλλίχορον Καλυδῶ-
ν', ἔνθα πλημμύρων σθένει
ὄρχους ἐπέκειρεν ὀδόντι,
σφάζε τε μῆλα, βροτῶν
θ' ὅστις εἰσάνταν μόλοι.
Τῷ δὲ στυγερὰν δῆριν Ἑλλάνων ἄριστοι
στασάμεθ' ἐνδυκέως
ἓξ ἄματα συνεχέως· ἐπεὶ δὲ δαίμων
κάρτος Αἰτωλοῖς ὄρεξεν,
θάπτομεν οὓς κατέπε-
φνεν σῦς ἐριβρύχας ἐπαίσσων βίᾳ,
Ἀγκαῖον ἐμῶν τ' Ἀγέλαον
φέρτατον κεδνῶν ἀδελφεῶν,
οὓς τέκεν ἐν μεγάροις
πατρὸς Ἀλθαία περικλειτοῖσιν Οἰνέος·
τῶν δ' ὤλεσε μοῖρα ὀλοὰ
πλεῦνας· οὐ γάρ πω δαΐφρων
παῦσεν χόλον ἀγροτέρα
Λατοῦς θυγάτηρ· περὶ δ' αἴθωνος δορᾶς
μαρνάμεθ' ἐνδυκέως
Κουρῆσι μενεπτολέμοις·
ἔνθ' ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικλον κατέκτανον
ἐσθλόν τ' Ἀφάρητα, θοοὺς μάτρωας· οὐ γὰρ
καρτερόθυμος Ἄρης
κρίνει φίλον ἐν πολέμῳ·
τυφλὰ δ' ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων φοι-
τᾷ θάνατόν τε φέρει,
τοῖσιν ἂν δαίμων θέλῃ·
ταῦτ' οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφρων

μάτηρ κακόποτμος ἐμοὶ
βούλευσεν ὄλεθρον ἀτάρβακτος γυνά·
καῖέ τε δαιδαλέας
ἐκ λάρνακος ὠκύμορον
φιτρὸν ἀγκλαύσασα, τὸν δὴ
μοῖρ' ἐπέκλωσεν τότε
ζωᾶς ὅρον ἀμετέρας ἔμμεν. τύχον μὲν
Δαϊπύλου Κλύμενον
παῖδ' ἄλκιμον ἐξεναρί-
ζων ἀμώμητον δέμας,
πύργων προπάροιθε κιχήσας·
τοὶ δὲ πρὸς εὐκτιμέναν
φεῦγον ἀρχαίαν πόλιν
Πλευρῶνα· μίνυνθα δέ μοι ψυχὰ γλυκεῖα·
γνῶν δ' ὀλιγοσθενέων,
αἰαῖ· πύματον δὲ πνέων δάκρυσα τλάμων,
ἀγλαὰν ἥβαν προλείπων.
φασὶν ἀδεισιβόαν
Ἀμφιτρύωνος παῖδα μοῦνον δὴ τότε
τέγξαι βλέφαρον, ταλαπενθέος
πότμον οἰκτίροντα φωτός».

## Ἐπίμετρον εἰς τὸ ΝΖ΄ κεφάλαιον (σελ. 232).

Ὁ Βερναρδάκης ἐκφέρει τὸ μὲν Καλυδών κατὰ θηλυκὸν γένος, τὸ δὲ Πλευρών κατ' ἀρσενικόν· «ὁ Πλευρὼν καὶ ἡ Καλυδὼν παρὰ τὸν Εὔηνον ποταμόν». Ἀλλ' ἀμφότερα τὰ ὀνόματα ταῦτα ἦσαν θηλυκά.

Ὁ Ὅμηρος λέγει Ἰλ. Ν, 217 «ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι Αἰτωλοῖσιν ἄνασσε (Αἰτωλοῖσι Ϝάνασσε)». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 928,24 «ἴσχει δὲ κατά τινας παῖδα Πλευρῶνα, οὗ παῖδες Κουρὴς καὶ Καλυδὼν καὶ ἐκ τούτων τῶν τριῶν ἔθνος μὲν οἱ Κουρῆτες, πόλεις δὲ ἡ Πλευρὼν καὶ ἡ Καλυδών». Πρβ. καὶ σελ. 311,30 «ἡ δὲ Πλευρὼν οἰκητήριον γέγονε, φασί, Κουρήτων».

Κεῖται δὲ καὶ ἐν τοῖς Γεωγραφικοῖς τοῦ Στράβωνος σελ. 635, 10 Μειν. «περὶ ὃν τὴν νεωτέραν Πλευρῶνα συνῴκησαν ἀφέντες τὴν παλαιὰν ἐγγὺς κειμένην Καλυδῶνος οἱ οἰκήτορες» καὶ 24 «εἶτ' ἀνακάμψας ἐπὶ τὰ τῆς Πλευρῶνος πεδία τῆς παλαιᾶς καὶ παραλλάξας εἰς δύσιν ἐπιστρέφει» καὶ σελ. 636, 2 «πλησίον οὖσαν τῆς νεωτέρας Πλευρῶνος» καὶ σελ. 646, 27 «εἶθ' ἡ Πλευρών, εἶθ' ἡ Ἁλίκυρνα κώμη» καὶ σελ. 647, 6 «μεταξὺ τοῦ Ἀχελῴου καὶ τῆς Πλευρῶνος ἱδρύων αὐτὴν» καὶ σελ. 651, 12 «ἐπεὶ τὴν Πλευρῶνα οἰκοῦντες φαίνονται καὶ κατ' αὐτὸν οἱ Κουρῆτες» καὶ σελ. 655, 5 «οἱ δ' ἀπὸ τοῦ ὄρους τοῦ Κουρίου τοὺς Κουρῆτας ὀνομασθῆναι τοῦ ὑπερκειμένου τῆς Πλευρῶνος».

## ΚΕΦ. ΝΗ'.

### Συμβαλεῖ - συμβάλλει.

Παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 492, 11 Βεκκ. φέρεται «εἴτε γὰρ ἀπὸ τοῦ μέσου νοοῖτο κινούμενα τὰ στοιχειώδη σώματα ὡς ἐπὶ τὰ πέρατα, λυθήσεται τὸ πᾶν—εἴτ' ἀπὸ τῶν περάτων ὑποκέοιτο ὡς ἐπὶ τὸ μέσον συνωθούμενα, πάντως ἢ κατὰ τὴν αὐτὴν κάθετον ἐνεχθήσεται ἢ οὐ κατὰ τὴν αὐτήν. Καὶ εἰ μὲν κατὰ τὴν αὐτὴν φέροιτο, ἐξ ἀνάγκης καὶ ἀντιπεσεῖται ἀλλήλοις — εἰ δὲ μὴ κατὰ τὴν αὐτὴν κάθετον φέροιτο, οὐ συμβάλλει ἀλλήλοις, μὴ συμβάλλοντα δὲ οὐδὲ συγκρίματος ἔσται τινὸς ἀποτελεστικά».

Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι οὐχὶ τοῦ ἐνεστῶτος συμβάλλει χρῆσιν ὁ Σέξτος ἐποιήσατο ἀλλὰ τοῦ μέλλοντος συμβαλεῖ· ἴσως δὲ μεταβλητέον καὶ τὸν ἐνεστῶτα συμβάλλοντα εἰς τὸν ἀόριστον συμβαλόντα. Τὸν μέλλοντα βλέπει τις καὶ ἐν τοῖς ἑξῆς (σελ. 492, 32) «εἴτε δὲ προωστικῶς κινοίη, ἔσται ἐξόπισθεν ἑαυτοῦ».

Ἀσμενίζει δ' ὁ Σέξτος τῇ συντάξει ταύτῃ τοῦ ὑποθετικοῦ λόγου, καθ' ἣν ἐν μὲν τῷ ἡγουμένῳ ἢ τῇ προτάσει αὐτοῦ κεῖται εὐκτική, ἐν δὲ τῷ λήγοντι ἢ τῇ ἀποδοσει μέλλων τῆς ὁριστικῆς, οἷον

σελ. 18, 4 «καὶ ἄλλως, εἰ καθ' ὑπόθεσιν εἴη ἄνθρωπος ἐνεός, οὐδεὶς φήσει αὐτὸν εἶναι ἄλογον».

σελ. 118, 17 «εἰ γοῦν τις ὁμωνύμους οἰκέτας ἔχων κελεύοι παιδίον κληθῆναι αὐτῷ τὸν Μάνην, εἰ τύχοι — πεύσεται ὁ παῖς ποῖον. Καὶ εἰ πλείονας καὶ διαφόρους τις οἴνους ἔχων λέγοι τῷ παιδίῳ ἔγχεόν μοι τοῦ οἴνου πιεῖν, ὁμοίως ὁ παῖς πεύσεται ποίου».

σελ. 127, 16 «εἰ δὲ ἀεὶ τὸ κριτήριον κριτηρίῳ κρίνειν καὶ τὴν ἀπόδειξιν δι' ἀποδείξεως ἀποδεικνύναι βούλοιτό τις, εἰς ἄπειρον ἐμβληθήσεται». Πρβ. καὶ 128, 27-32.

σελ. 129, 25 «εἰ δέ τις σώματα εἶναι τὰ πέρατα λέγοι, σύντομος ἔσται ἡ πρὸς αὐτὸν ἀπόκρισις».

σελ. 134, 11 «εἰ δὲ τὰς μὲν ποιότητας μίγνυσθαι λέγοι τις, τὰς δὲ οὐσίας μηδαμῶς, ἀδύνατα λέξει».

σελ. 140, 29 «εἴ γε ἑτέρῳ, προσθέσεως γενομένης, ἕτερον ηὐξηκέναι τις λέγοι, ψεύσεται». Πρβ. καὶ σελ. 141, 1.

σελ. 153, 12 «εἰ δοθείη ψεῦδος μὲν εἶναι τὸ σῶμα εἶναι τὸν χρόνον, ψεῦδος δὲ καὶ τὸ ὅτι ἀσώματός ἐστιν, αὐτόθεν δοθήσεται ἡ τοῦ χρόνου ἀνυπαρξία».

σελ. 154, 17 «καὶ ὁ μέλλων, εἰ καταμετροίη τοὺς ἄλλους, ἐνεστὼς ἔσται καὶ παρῳχηκώς».

σελ. 177, 19 «εἰ μέντοι καὶ μίαν εἶναι πάντες λέγοιεν καθ' ὑπόθεσιν τὴν περὶ τὸν βίον τέχνην—καὶ οὕτως οὐδὲν ἧττον ἀτοπίαι παρακολουθήσουσιν».

σελ. 185, 13 «εἰ γὰρ ἀντιλαμβάνοιτο αὐτῶν ἐν ἀφροσύνῃ καθεστώς, ἔσται καὶ ἡ ἀφροσύνη τῶν τε ἀγαθῶν καὶ κακῶν καὶ οὐθετέρων θεωρητική». Πρβ. καὶ σελ. 207, 3.

σελ. 208, 25 «εἰ γὰρ δύο λάβοιμεν χρώματα, μέλαν καὶ λευκόν, εἶτα ἐκ θατέρου εἰς θάτερον κατὰ σταγόνα παρεκχέοιμεν, οὐ δυνήσεται ἡ ὄψις διακρίνειν τὰς παρὰ μικρὸν μεταβολάς».

σελ. 248, 32 «εἰ δὲ καὶ δοίη, οὐ πᾶσιν ἀλλὰ τοῖς ἀκριβεστάτοις τῶν φιλοσόφων ἐπιτρέψει μόνον τοῦτον ἐπίστασθαι».

σελ. 249, 9 «καὶ εἰ μὲν ἐπ' ἀνδρὸς ἐκφέροιτο, ἡ γυνὴ οὐκ ἔσται ἄνθρωπος, εἰ δ' ἐπὶ γυναικός, περιγραφήσεται τὸ ἄρρεν, καὶ εἰ ἐπὶ νέου, αἱ λοιπαὶ τῶν ἡλικιῶν ἐκπεσοῦνται τῆς ἀνθρωπότητος».

σελ. 250, 14 «τὸ δὲ λογικὸν εἰ μὲν ἀντὶ τοῦ λογίζεσθαι τάττοιτο, καὶ οἱ θεοὶ λογιζόμενοι ἄνθρωποι γενήσονται, τάχα δὲ καὶ τινα τῶν ἄλλων ζῴων· εἰ δὲ ἀντὶ τοῦ σημαντικὰς προφέρεσθαι φωνάς, τοὺς

κόρακας καὶ ψιττακοὺς καὶ τὰ τοιαῦτα ἀνθρώπους εἶναι λέξομεν, ὅπερ ἄτοπον. Καὶ μὴν εἰ τὸ θνητὸν φαίη τις ἄνθρωπον εἶναι, ἀκολουθήσει τὸ καὶ τὰ ἄλογα τῶν ζῴων θνητὰ ὄντα ἀνθρώπους ὑπάρχειν».

σελ. 256, 5 «τὰ δὲ μέρη εἰ λέγοιεν αὐτὴν συντιθέναι κἀντεῦθεν τὸ ὅλον γνωρίζειν, μείζονι συνειληθήσονται ἀπορίᾳ».

σελ. 274, 2 «εἰ λέγοι τις ἐκ τῶν περὶ αὐτῷ πείσεων καὶ παθῶν τοῖς ἐκτὸς ἐπιβάλλειν αὐτόν, τὰς ἀνώτερον εἰρημένας μετοίσομεν ἀπορίας».

σελ. 286, 20 «εἰ μὲν τὸ πρῶτον λέγοιεν, ἄτοποι γενήσονται».

σελ. 303, 13 «εἰ μὲν αὐτόθεν λέγοιεν τὸ ἀσώματον τοῦτο λεκτὸν ὑπάρχειν, καὶ ἡμῖν ἐξέσται λέγειν αὐτόθεν ὅτι οὐκ ἔστιν».

σελ. 365, 14 «οἷον, εἰ τὴν περὶ ἀτόμων λαμβάνοι, ἀμυθητοι ἀντιφθέγξονται αὐτῷ· εἰ τὴν περὶ κενοῦ, παμπληθεῖς ἐνστήσονται».

σελ. 386, 15 «εἰ νοήσαιμέν τινα ἐξ ἄγγους ὕδωρ προχέοντα, ὁ τοιοῦτος, ὑποτεθέντος μέν τινος ἑτέρου ἄγγους, λεχθήσεται ἐγχέειν, μὴ ὑποτεθέντος δέ, ἐκχέειν».

σελ. 437, 24 «εἴ γέ τοι τὸ ἕτερον μὴ κινοῖτο, οὐδὲ τὸ λειπόμενον κινήσεται».

σελ. 444, 13 «εἰ μὲν ὑπό τινος μεσολαβοῖτο, οὐχ ἅψεται οὗ λέγεται ἅπτεσθαι». Πρβ. σελ. 445, 25 καὶ σελ. 456, 13.

σελ. 499, 30 «οὐκοῦν εἰ προσθείημεν τέταρτον ἀμερὲς ἀκινητίζον τούτῳ τῷ σώματι, πάλιν γενήσεται κίνησις».

σελ. 501, 27 «εἰ τέμοιμεν τὸ ἕτερον ἡμιστάδιον εἰς δύο τεταρτημόρια, πάντως πρῶτον διελεύσεται τὸ πρῶτον τεταρτημόριον». Πρβ. καὶ σελ. 502, 2.

σελ. 517, 12 «εἰ μὲν εἰς τοὺς μὴ ὄντας χρόνους μερίζοιτο, οὐκέτ' ἔσται χρόνος». Πρβ. καὶ σελ. 518, 26.

σελ. 533, 19 «εἰ οὖν τὸ δεικνύμενον καὶ τὸ μένον ζῷον ἓν εἴη, τὸ μὴ δεικνύμενον φυτὸν οὐκ ἔσται ἕν»

σελ. 552, 8 «εἰ γὰρ αὐτὸ τοῦτο συμβαίνοι, τὸ ὠφελεῖν, οὐκ ἔσται ὡρισμένως φρόνησις, γενικὴ δ' ἀρετή». Πρβ. καὶ σελ. 556, 26 καὶ σελ. 566, 27 καὶ σελ. 568, 30 καὶ σελ. 569, 10-15.

σελ. 573, 15 «οὐκοῦν εἰ ἕτερον ἀνθ' ἑτέρου ὁ φιλόσοφος παρασκευάζοι τὸν ὀχλούμενον διώκειν, οὐκ ἀπολύσει τῆς ὀχλήσεως».

σελ. 590, 19 «καὶ εἰ αἰσθητὸν δὲ ὑπάρχοι, πάλιν ἀδίδακτον γενήσεται». Πρβ. καὶ σελ. 593, 31.

σελ. 602, 12 «εἰ γὰρ τὸ οὔτι διδάσκοιτο, ἔσται ᾗ διδάσκεται τί». Πρβ. καὶ σελ. 618, 27.

σελ. 623, 9 «εἰ δὲ λέγοιεν κοινὰ φύσει ὑπάρχειν ταῦτα παρόσον ἐπιδεκτικά ἐστιν ἑκατέρου, μήκους τε καὶ συστολῆς, λήσονται σχεδὸν εἰς τὴν αὐτὴν ἐγκυλισθέντες ἀπορίαν».

σελ. 628, 26 «εἰ δὴ τοῦτο λέγοιεν, οὐδὲν ἄλλο ἢ ἀνυπόστατον ὁμολογήσουσιν εἶναι τὴν τοιαύτην συλλαβήν».

σελ, 632, 25 «πρὸς ὃν οὐδ' εἰ καταπέλτην ὑπομένοιεν, φασίν, οἱ γραμματικοὶ δυνήσονταί τι συνιδεῖν ἱκνούμενον».

σελ. 643, 12 «εἰ δ' οὐ δυσχεραίνουσιν ἀλλ' ὡς σαφέσι καὶ ὀρθῶς ἔχουσι συμπεριφέροιντο τοῖς λεγομένοις, καὶ ἡμεῖς αὐτοῖς ἐπιμενοῦμεν». Πρβ. καὶ σελ. 644, 20 καὶ σελ. 647, 26.

σελ. 700, 2 «ἄπιστον γενήσεται καὶ τὸ εἰς κατασκευὴν τούτου λαμβανόμενον, εἰ μὴ δι' ἀποδείξεως διδάσκοιτο».

σελ. 704, 11 «εἰ δὲ ψαύοντα ἀλλήλων νοοῖτο, ἤτοι ὅλα ὅλων ἅψεται ἢ μέρεσι μερῶν». Πρβ. καὶ 18.

Ὀρθῶς ὁ Βεκκῆρος ἐξέδωκε σελ. 118, 31 «εἰ δέ τις δογματικὸς πρός τι τούτων ἀντιλέγειν ἐπιχειροίη, κρατυνεῖ τὸν σκεπτικὸν λόγον» ἀντὶ τοῦ κρατύνει.

Παρατηρητέον δ' ὅτι κεῖται παρὰ τῷ Σέξτῳ σελ. 688,23 «ᾧ γὰρ λόγῳ ὁ διακριτικὸς τοῦ πιθανοῦ ἐξ ἀνάγκης καὶ τοῦ ἀπιθάνου διακριτικὸς ἔσται, τῷ αὐτῷ καὶ ὁ παντὸς ἀληθοῦς ἐπιγνώμων συνεπιβάλλει παντὶ τῷ ἀντικειμένῳ, τουτέστι τῷ ψεύδει» καὶ σελ. 749, 17 «εἴπερ τοίνυν, φασί, φιλοσοφίαν ἀποδεχόμεθα σωφρονίζουσαν τὸν ἀνθρώπινον βίον καὶ τὰ ψυχικὰ πάθη καταστέλλουσαν, πολλῷ μᾶλλον ἀποδεχόμεθα τὴν μουσικήν». Εἴκασε δ' ὁ Βεκκῆρος συνεπιβαλεῖ μὲν ἀντὶ τοῦ συνεπιβάλλει, ἀποδεξόμεθα δ' ἀντὶ τοῦ ἀποδεχόμεθα. Ἴσως δὲ καὶ σελ 695, 8 ἀναγνωστέον «οὐκ ἄρα δυνατὸν ἀπὸ ῥητορικῆς ὑγιῶς ἐγκωμιάζειν. Ἤτοι τε ἐπὶ τοῖς μὴ οὖσιν ἀγαθοῖς, δοκοῦσι δὲ εἶναι, ἢ ἐπὶ τοῖς κατ' ἀλήθειαν οὖσιν ἐγκωμιάσει ὁ ῥήτωρ· οὔτε ἐπὶ τοῖς μὴ οὖσι, προσδιαφθερεῖ γὰρ τοὺς ἐγκωμιαζομένους, οὔτε ἐπὶ τοῖς οὖσιν κτέ. ἀντὶ τοῦ προσδιαφθείρει.

---

## ΚΕΦ. ΝΘ΄.

### Τὸ ἀρσενικὸν ὄνομα **γυναικωνίτης** εἶνε ἀνελλήνιστον καὶ ἀπόβλητον.

Πολλοὶ τῶν νέων Ἑλλήνων ἐποιήσαντο χρῆσιν τοῦ ἀρσενικοῦ ὀνόματος γυναικωνίτης, ὁ Κωνστ. Οἰκονόμος, ὁ Α. Ῥαδινός, ὁ Σπυρ. Τρικούπης, Σκαρλᾶτος ὁ Βυζάντιος, ὁ Ἀλ. Ῥαγκαβῆς, ὁ Δημ. Βερναρδάκης, ὁ Ἰω. Πανταζίδης, ὁ Ἐμμ. Ῥοΐδης καὶ ἄλλοι.

Ὁ Οἰκονόμος ἐν τοῖς Σωζομένοις Φιλολογ. Συγγράμμασι Τόμ. Α΄, σελ. 139 «νομίζει ὅτι πρέπει νὰ χαρίσῃ παρανόμως εἰς τὸν γυναικωνίτην τοὺς προδότας καὶ τοὺς πολεμίους τῆς πατρίδος».

Ὁ Ῥαδινὸς ἐν τῇ μεταφράσει τῆς Ἱστορ. τοῦ Ἡροδότου Τόμ. Β΄, σελ. 15 «τὰς μὲν γυναῖκας — ἔστειλεν ὁ Ἀλέξανδρος εἰς τὸν γυναικωνίτην». Παρὰ τῷ Ἡροδότῳ βιβλ. Ε΄, 20 κεῖται «Εἴπας ταῦτα—γυναῖκας μὲν ἐξελθούσας ἀπέπεμπεν ἐς τὴν γυναικηίην». Σημειοῦται δ' ὁ Βαίριος ἐν τῇ Β΄ ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Γ΄, σελ. 35 « In seqq. ad ἐς τὴν γυναικηίην mente addere licet οἰκίαν, notante Fischer. ad Weller. III, 1 pag. 260. Plene dicit auctor libri de Esther. II, 11 τὴν αὐλὴν τὴν γυναικείαν, quod vulgo dici constat τὸ γυναικεῖον». Πρβ. καὶ Ε. Α. Σοφοκλ. ἐν *Greek Lex. of the Rom. and Byz. Per.* σελ. 341. Παρὰ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ Τόμ. Α΄, σελ. 186, 19 Βόνν. φέρεται «καὶ εἰσέρχονται διὰ τοῦ γυναικΙου μέρους τῆς αὐτῆς ἐκκλησίας καὶ τοῦ νάρθηκος».

Ὁ Τρικούπης ἐν τῇ Ἱστορίᾳ τῆς Ἑλλην. Ἐπαναστάσεως Τόμ. Α΄, σελ. 78 ἐκδ. β΄ «αἱ οἰκίαι καὶ οἱ γυναικωνῖταί των ἐπατήθησαν».

Ὁ Βυζάντιος ἐν τῇ Κωνσταντινουπόλει Τόμ. Α΄, σελ. 85 «εἰς τὸ ἑπόμενον ἄρθρον θέλομεν παρακολουθήσῃ τὸν Τοῦρκον καὶ εἰς τὴν τράπεζάν 'του καὶ εἰς τὸν γυναικωνίτην 'του» καὶ σελ. 89 «εἰς δὲ τὸν γυναικωνίτην αὐτῆς εἶνε καθ' ὅλην τῆς λέξεως τὴν δύναμιν οἰκοδέσποινα» καὶ σελ. 169 «περὶ δὲ τῶν λοιπῶν διαιτημάτων τοῦ ἀνακτόρου τούτου, καὶ ἰδίως τῶν τοῦ γυναικωνίτου» καὶ σελ.

210 «καὶ πιθανῶς πρὸς τοῦ Γυναικωνίτου τὸ μέρος» καὶ «πρὸς τὸ μέρος τοῦ Γυναικωνίτου ἦτον καὶ εὐκτήριον τῆς ἁγίας Χριστίνης» καὶ σελ. 217 «εἰς τὸν γυναικωνίτην» καὶ σελ. 301 «εἰς τὸν Αὐτοκρατορικὸν γυναικωνίτην» καὶ σελ. 364 «διὰ τοῦ γυναικωνίτου» καὶ σελ. 410 «διὰ τοὺς γυναικωνίτας» καὶ σελ. 473 «διὰ τῶν κιόνων τοῦ γυναικωνίτου» καὶ σελ. 474 «ὑποστηριζόμενον δὲ τοῖς ἓξ θετταλικοῖς κίοσι τοῦ γυναικωνίτου» καὶ σελ. 477 «ὁ γυναικωνίτης εἶχεν ὀκτὼ ἀνόδους» καὶ σελ. 484 «περὶ τὸν γυαικωνίτην» καὶ σελ. 519 «τὸ ἀριστερὸν μέρος τοῦ γυναικωνίτου». Τόμ. Β΄, σελ. 172 «ὅσοι διατηροῦσιν ἀκόμη' τὰ νόμιμα τοῦ γυναικωνίτου» καὶ σελ. 190 «προασπίζων δὲ πρὸ πάντων ζηλοτύπως τοῦ γυναικωνίτου 'του» καὶ σελ. 249 «ἐχρησίμευον δὲ ἀμφότεραι διὰ τὸν γυναικωνίτην». Τόμ. Γ΄, σελ. 49 «οὐχ ἧττον ὅμως τὰ καθέκαστα τοῦ Σουλτανικοῦ γυναικωνίτου μένουσι πάντοτε μυστήρια» καὶ σελ. 50 «εἰς τὸν τοῦ Σαραγίου γυναικωνίτην» καὶ σελ. 59 «εἶχον τὴν ἐπιτήρησιν τοῦ γυναικωνίτου» καὶ σελ. 162 «ἡ ἐπιρροὴ τοῦ γυναικωνίτου». καὶ σελ. 430 «ἐννοεῖται δὲ ὅτι εὐωχοῦνται οἱ μὲν ἄνδρες ἐν τῷ ἀνδρῶνι, αἱ δὲ γυναῖκες ἐν τῷ γυναικωνίτῃ». Ἀλλὰ Τόμ. Α΄, σελ. 85 «ὡς πρὸς τὰ οἰκιακὰ ἤθη καὶ τὴν γυναικωνῖτιν» καὶ σελ. 159 «τὰ τῶν θεραπαινίδων καὶ ἀμφιπόλων τῶν περὶ τὴν γυναικωνῖτιν» καὶ σελ. 275 «καθῆκον ἐνόμισε 'ν' ἀπαλλάξῃ τὴν Κυβέρνησιν ἀπὸ τῆς γυναικωνίτιδος καὶ τῶν εὐνούχων τὰς χεῖρας» καὶ σελ. 341 «περιελθοῦσαν εἰς τὴν γυναικωνῖτιν» καὶ σελ. 420 «προσδιωρίσθη τὸ οἰκοδόμημα τοῦτο εἰς γυναικωνῖτιν» καὶ σελ. 478 «ἐκαλοῦντο δὲ καὶ Ἔμβολοι τῆς γυναικωνίτιδος». Τόμ. Β΄, σελ. 399 «ἐπηρεαζόμενος ὑπὸ τῆς γυναικωνίτιδος». Τόμ. Γ΄, σελ. 92 «ὁποῖα δὲ ἦσαν τὰ καθήκοντα αὐτῶν ἐντὸς τῆς γυναικωνίτιδος, ἐκτίθησιν ὁ Κλαυδιανὸς» καὶ σελ. 356 «τὴν ἀνδρωνῖτιν καὶ τὴν γυναικωνῖτιν» καὶ σελ. 391 «ἐν τῇ γυναικωνίτιδι» καὶ σελ. 396 «ἐν ταῖς γυναικωνίτισιν» (Πρβ. καὶ σελ. 343 «τῆς ἀνδρωνίτιδος»). Ἐχρήσατο δὲ τῷ θηλυκῷ ὀνόματι καὶ ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ κατὰ Λεωκράτους Λόγου τοῦ Λυκούργου σελ. ιε΄ «καθὼς μανδρίζουν τῆς Ἀσίας οἱ δεσπόται εἰς τὰς γυναικωνίτιδας πάσης φυλῆς αἰχμαλώτους κόρας» καὶ ὁ Κοντογόνης ἐν τῇ Ἑβραϊκῇ Ἀρ-

χαιολογίᾳ σελ. 210 «ὅθεν καὶ γυναικὼν καὶ γυναικωνῖτις ἐκαλεῖτο» καὶ σελ. 246 «δὲν ὑπῆρχον ἀσφαλεῖς τινες φύλακες τῆς γυναικωνίτιδος» καὶ σελ. 247 «ἔτρεψαν ἐν μέρει πολυάριθμον γυναικωνῖτιν».

Ὁ Ῥαγκαβῆς ἐν Ἅπασι τοῖς Φιλολογικοῖς Τόμ. Γ', σελ. 131 «εἰς τὴν φυλακὴν ἢ τὸν γυναικωνίτην» καὶ σελ. 300 «εἰς τοῦ γυναικωνίτου μου σ' ὡδήγησε τὸν δρόμον» καὶ «οὐδ' ὁ γυναικωνίτης σου» καὶ σελ. 342 «κτῆμά της εἶν' ὁ γυναικωνίτης» καὶ σελ. 368 «γυναικωνίτης σ' ἔλειψεν;». Ἀλλὰ σελ. 236 «τῆς γυναικωνίτιδος» καὶ σελ. 259 «εἰς τὴν γυναικωνίτιν μου (γρ. γυναικωνῖτίν μου) δὲν κλείεται ἡ θύρα». Πρβ. καὶ Ἀρχαιολογ. Θησαυρ. σελ. 805 καὶ σελ. 806.

Ὁ Βερναρδάκης ἐν τῷ Ἐγχειριδίῳ τῆς Γεν. Ἱστορίας σελ. 30 «τὰς ἰδιοτροπίας καὶ τὰ πάθη τοῦ γυναικωνίτου» καὶ σελ. 64 «ἀδιακόπως κατάκλειστος ἐντὸς τοῦ γυναικωνίτου» καὶ σελ. 93 «κατήρτισε γυναικωνίτην ἐξ ἀπειραρίθμων γυναικῶν» καὶ σελ. 170 «μέγα δὲ μέρος τῶν δαπανῶν τούτων ἀπερρόφα ὁ γυναικωνίτης» καὶ σελ. 172 «ἡ μῆλον ἔριδος τῆς αὐλῆς καὶ τοῦ γυναικωνίτου» καὶ ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Α', σελ. κζ' «ὁ δὲ γυναικωνίτης ἐν Ἀθήναις ἦτο ἐν πολλοῖς ὁμοίως σχεδὸν ἀδιόρατος καὶ ἀπόκρυφος, ὅπως καὶ σήμερον παρὰ τοῖς Ὀθωμανοῖς. Εὐλόγως ἄρα ὁ Εὐριπίδης ἀποκαλύψας τὸν γυναικωνίτην καὶ ἀπογυμνώσας ἐπὶ τῆς σκηνῆς τὴν γυναῖκα κτέ.» καὶ σελ. κη' «ὅθεν ἀποκαλύψαντες τὸν γυναικωνίτην τοῦ ποιητοῦ μετὰ τῆς αὐτῆς ποιητικῆς ἐλευθερίας, μεθ' ἧς ἐκεῖνος ἀπεκάλυψε τὸν καθόλου γυναικωνίτην τοῦ ἑλληνικοῦ κόσμου» καὶ σελ. οθ' «κρούει τὴν πύλην τοῦ γυναικωνίτου» καὶ σελ. 36 «ὁ παρθενὼν καὶ ὁ γυναικωνίτης ἐν γένει ἔκειτο ἐν τῷ ὑπερῴῳ τῶν ἀρχαίων οἴκων». Ἐν τῷ Β' τόμῳ γίνεται χρῆσις ὑπὸ τοῦ Βερναρδάκη τοῦ τε θηλυκοῦ καὶ τοῦ ἀρσενικοῦ ὀνόματος, οἷον σελ. 322 «τὸ εἰς γυναῖκας = εἰς γυναικωνῖτιν» καὶ σελ. 455 «ἤτοι ἐν τῇ γυναικωνίτιδι» καὶ σελ. 456 «τὸ ὑπερῷον, ὡς γνωστόν, ἦτο τὸ ὑπεράνω τοῦ γυναικωνίτου οἴκημα» καὶ «ὅπως ἀντιληφθῶσιν εὐκρινέστερον ἢ ἐκ τοῦ γυναικωνίτου τῶν ἔξω πραγμάτων» καὶ σελ. 635 «ἡ ἀπρόθετος αἰτιατ. στέγας γυναικῶν (=γυναικωνῖτιν)».

Ὁ Πανταζίδης ἐν τῇ μεταφράσει τῆς Ἱστορίας τοῦ Μεγάλου Ἀλεξάνδρου σελ. 68 «ἡ αὐλὴ καὶ ὁ παρ' αὐτὴν γυναικωνίτης» καὶ «ἡ ἐπίδρασις τῆς αὐλῆς καὶ τοῦ γυναικωνίτου» καὶ σελ. 70 «ἡ ἀπαχθεῖσα εἰς τὸν γυναικωνίτην τοῦ μεγάλου βασιλέως» καὶ σελ. 211 «ἐν τῷ μέσῳ τῆς μεγίστης ἀκολασίας τῆς αὐλῆς καὶ τοῦ γυναικωνίτου» καὶ 293 «παρακολουθούμενος ὑπὸ τῆς αὐλῆς καὶ τοῦ γυναικωνίτου αὐτοῦ». Ἐχρήσατο δ' ὁ Πανταζίδης καὶ τῷ θηλυκῷ ὀνόματι ἐν τῇ μεταφράσει τῆς Ἱστορίας τῶν Διαδόχων σελ. 430 «τὰς θύρας τῆς γυναικωνίτιδος» καὶ ἐν τῇ ἐκδόσει τῆς Ξενοφῶντος Ἀναβάσεως σελ. 130 «ὡς φύλακες τῆς εὐνῆς ἤγουν τῆς γυναικωνίτιδος».

Ὁ Ῥοΐδης ἐν τῇ μεταφράσει τῆς Ἱστορίας τῆς Ἀγγλίας Τόμ. Α', σελ. 227 «νὰ συντηρῶσι πολυτελεῖς γυναικωνίτας» καὶ σελ. 336 «διετήρουν ἐπὶ τοῦ πλοίου γυναικωνίτας».

Ἐγένετο δὲ καὶ τοῦ ἀρσενικοῦ ὀνόματος ἀνδρωνίτης χρῆσις ὑπὸ τοῦ Ἐμμ. Ῥοΐδου ἐν τῷ βδελυρωτάτῳ βιβλίῳ, ὃ καλεῖται Ἡ Πάπισσα Ἰωάννα, σελ. 295 «συνιστάμενα ἐξ ἀνδρωνίτου καὶ γυναικῶνος».

Ὀρθῶς δ' ὑπὸ τοῦ Δημητρίου Βερναρδάκη ἐλέχθη ἐν τῇ ἐκδόσει τῶν Εὐριπίδου Δραμάτων Τόμ. Γ', σελ. 702 «τὸ κατ' ἀνδρῶν στέγην=κατὰ τὴν ἀνδρῶν ἤ: τὴν ἀνδρωνῖτιν».

Ἐν τῷ τοῦ Ἀνθίμου Γαζῆ Λεξικῷ τῆς Ἑλλην. Γλώσσης Τόμ. Α', σελ. 422 (1835) φέρεται «Γυναικών, ῶνος· καὶ Γυναικωνίτης, ου, ὁ (ὑπονοουμ, τοῦ, οἶκος) ἢ Γυναικωνῖτις, ιδος, ἡ».

Κεῖται δὲ καὶ ἐν τῷ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου συντεθέντι Λεξικῷ τῆς Ἑλλην. Γλώσσης σελ. 261 (1852) «Γυναικωνίτης, ου (ὁ) καὶ Γυναικωνῖτις, ιδος (ἡ). τὸ προσδιωρισμένον διὰ τὰς γυναῖκας μέρος τοῦ οἴκου, (Τουρκ.) χαρέμι· (εἰς τὰς ἐκκλησίας μας διεσώθη (ὁ) Γυναικίτης ἢ (τὸ) Γυναίκειον». Παρατιθέμεθα καὶ ἃ ἔγραψεν ὁ Βυζάντιος ἐν τῷ Λεξικῷ τῆς καθ' ἡμᾶς Ἑλλην. Διαλέκτου σελ. 79 (1859) «Γυναικίτης (κυρ. τὸ ἐν ταῖς ἐκκλησίαις, προφ. χυδ. Γυναιτίκι. ὅμοιόν τι ἀναφέρει ὁ Παυσανίας [Κορινθ. Β', 11] ὅτι ἦτον καὶ εἰς τὸν ἐν Σικυωνίᾳ ναὸν τῆς Δήμητρος Προστασίας· διότι λέγει: «Ἐνταῦθα ἐφ' ἑαυτῶν οἱ ἄνδρες ἑορτὴν ἄγουσι· τὸν δὲ Νυμφῶνα καλούμενον ταῖς γυναιξὶν ἑορτάζειν παρείκασι»). «Γυναικωνίτης (ὁ),

γυναικωνῖτις (ἡ), γυναικών, γυναικεῖον, θάλαμος. l'appartement des femmes».

Λέγει δὲ καὶ ὁ Κούμας ἐν τῷ Λεξικῷ τῆς Ἑλλην. Γλώσσης Τόμ. Α', σελ. 228 «Γυναικὼν, ῶνος, ὁ ἡ,—ναικωνίτης, ου, ὁ, νοητ. οἶκος· ἥ—κωνῖτις, ίτιδος, ἡ, οἰκία, οἴκημα γυναικῶν (τουρκ. χαρέμι» καὶ ἐν τῇ Γραμματικῇ τῆς Ἑλλην. Γλώσσης σελ. 193 «δ'. ιτης, ὁ, ἥ ιτις, ἡ· γυναικωνίτης καὶ γυναικωνῖτις, ἀνδρωνῖτις. Ταῦτα δὲ σχηματίζονται καὶ εἰς ων, οἷον γυναικών, ἀνδρών» καὶ ὁ Βάμβας ἐν τῷ Τεχνολογικῷ τῆς Ἀρχ. Ἑλλην. Γλώσσης σελ. 220 «β'. Τὰ εἰς ιτης, ἥ ιτις· γινόμενα ἀπὸ τῶν εἰς ων· γυναικωνίτης, καὶ γυναικωνῖτις· ἀνδρωνῖτις».

Οἱ μὴ ὀλιγωροῦντες τῆς περὶ τὴν λέξιν ὀρθότητος ὀφείλουσι νὰ λέγωσι κατὰ θηλυκὸν γένος γυναικωνῖτις -ιδος, κτλ. καὶ ἀνδρωνῖτις -ιδος, κτλ. ἐκκλίνοντες τὰ ἀρσενικὰ γυναικωνίτης καὶ ἀνδρωνίτης ἅτ' ἄχρηστα ὄντα ἐν τῇ Ἑλληνικῇ γλώσσῃ, ὡς ἀκριβῶς θὰ διδαχθῇ ἐν τῷ ΞΑ' κεφαλαίῳ.

Τὸ ὄνομα γυναικίτης ἀπαντᾷ πολλάκις παρὰ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ, οἷον Τόμ. Α', σελ. 31,5 Βόνν. «διέρχονται διὰ τοῦ γυναικίτου τῆς αὐτῆς ἐκκλησίας· ἐν δὲ τῷ γυναικίτῃ ἐναπομένει πᾶσα ἡ σύγκλητος» καὶ 25 «γίνεται δοχὴ ἐν αὐτῷ τῷ γυναικίτῃ τῆς ἐκκλησίας» καὶ σελ. 77,10 «διὰ τοῦ ἀριστεροῦ μέρους τοῦ ναοῦ, ἤγουν τοῦ γυναικίτου» καὶ 13 «διέρχεται διὰ τοῦ γυναικίτου» καὶ σελ. 103,12 καὶ σελ. 118,1 καὶ σελ. 121,3 καὶ σελ. 167,17 καὶ σελ. 182,21 καὶ σελ. 536,17 καὶ σελ. 563,15. Πρβ. καὶ Τόμ. Β', σελ. 135. Φέρεται δὲ καὶ παρὰ Γεωργίῳ τῷ Κωδίνῳ σελ. 134,7 «τὸ δὲ δεξιὸν μέρος τοῦ γυναικίτου ἕως τοῦ κίονος τοῦ ἁγίου Βασιλείου» καὶ 10 «τὸ δὲ εὐώνυμον μέρος τοῦ γυναικίτου μέχρι τοῦ κίονος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ὑπῆρχον οἰκήματα Ξενοφῶντός τινος ῥάπτου» καὶ σελ. 137,5 «ἀμφοτέρων τῶν μερῶν τῶν ἐμβόλων τῶν γυναικίτων (γρ. γυναικιτῶν)» (Ἴδε καὶ Ε. Α. Σοφοκλέα ἐν *Greek Lex. of the Rom. and Byz Per.* σελ. 341).

Παρατηρητέον δ' ὅτι Σκαρλᾶτος ὁ Βυζάντιος γράφει ἐν τῇ Κωνσταντινουπόλει Τόμ. Α', σελ. 479 «Κατὰ τὸν συγγραφέα δὲ τοῦτον, εἰς τὸν γυναικωνίτην νάρθηκα (εἰς τὸν ὁποῖον διήρχοντο

ἀπὸ τοῦ Σκευοφυλακίου), τὴν συνήθη στάσιν ἐκέκτηντο καὶ αἱ τῆς Μεγάλης Ἐκκλησίας διακόνισσαι», ἀλλὰ παρὰ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ Τόμ. Α', σελ. 182,20 κεῖται «εἶθ' οὕτως ἀνίσταται ὁ βασιλεύς, καὶ ἐξελθὼν ἀπὸ τοῦ σκευοφυλακίου διέρχεται διὰ τοῦ γυναικίτου νάρθηκος, ἐν ᾧ καὶ τὴν συνήθη στάσιν κέκτηνται αἱ τῆς αὐτῆς μεγάλης ἐκκλησίας διακόνισσαι».

---

## ΚΕΦ. Ξ'.

### Γυναικωνῖτιν - γυναικωνίτην.

Ἐδηλώθη ἐν κεφ. ΝΘ' ὅτι πολλάκις ὁ Δημ. Βερναρδάκης ἐποιήσατο χρῆσιν τοῦ ἀρσενικοῦ ὀνόματος γυναικωνίτης. Παρατηροῦμεν δ' ἐνθάδε ὅτι μνημονεύων οὗτος ῥῆσιν τοῦ Εὐσταθίου ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου ἔγραψε τὸν γυναικωνίτην Τόμ. Β', σελ. 85 «Ὅρα δὲ ὅτι παρὰ μὲν Ὁμήρῳ, θάλαμος καὶ ἀνδρεῖος οἶκος λέγεται· οἱ δὲ μεθ' Ὅμηρον τὸν γυναικωνίτην οὕτω καλοῦσιν». ΕΥΣΤΑΘ. Ἰλ. 1427,38». Ἡ παραδεδομένη γραφὴ ἐν τῷ χωρίῳ τοῦ Εὐσταθίου εἶνε «οἱ δὲ μεθ' Ὅμηρον **τὴν** γυναικωνίτην οὕτω καλοῦσιν», καθάπερ καὶ σελ. 1936,33 «ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε, ἤγουν εἰς **τὴν** γυναικωνίτην». Πολλάκις δ' ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς ποιεῖται χρῆσιν τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος κατὰ θηλυκὸν ἀεὶ γένος αὐτὸ ἐκφέρων, οἷον

σελ. 640,9 «θάλαμοι δὲ παρὰ τοῖς ὕστερον αἱ γυναικωνίτιδες».

σελ. 644,52 «Ἀλέξανδρον οὖν κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν εὗρεν ὁ Ἕκτωρ ἐν τῷ θαλάμῳ καὶ τῇ γυναικωνίτιδι κτέ.».

σελ. 745,51 «αὐτὸς ἐν τῷ τῶν ἡρωίδων καταλόγῳ τῆς γυναικωνίτιδος γέγονε».

σελ. 782,47 «τὴν μέντοι ἐν Σκύρῳ κρύψιν τοῦ Ἀχιλλέως καὶ τὴν θηλυστολίαν καὶ τὴν ἐν τῇ γυναικωνίτιδι διαθαλάμευσιν —παντελῶς ἀγνοεῖ».

σελ. 1843,35 «προσκαλέσασθαι ἔνδον ἐκ τῆς γυναικωνίτιδος ἀμφιπόλους».

σελ. 1912,21 «ὅτι προαγαγὼν πάνυ ἀναγκαίως ὁ ποιητὴς τὴν Πηνελόπην τῆς γυναικωνίτιδος».

σελ. 1913,16 «ἤγουν τῆς γυναικωνίτιδος» καὶ 21 «περὶ τῆς γυναικωνίτιδος».

σελ. 1932,39 «προκαλεῖται αὐτὴν καταλέξαι γυναῖκας τὰς ἐν μεγάροις, ἤτοι κατὰ τὴν γυναικωνῖτιν».

σελ. 1935,27 «καὶ ἴσως μέγαρον τὴν γυναικωνῖτίν φησι».

σελ. 1955,20 «τουτέστι μοχλοὺς τούς τε τῆς γυναικωνίτιδος καὶ τοὺς περὶ τὴν αὐλήν».

σελ. 1956,24 «ἀλλὰ καὶ τὸν Ἀχιλλέα τῇ γυναικωνίτιδι παραβύουσιν».

Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς Μικροῖς τοῦ Εὐσταθίου Συγγράμμασι σελ. 54,22 «καὶ οὔτε τὸν αὐτῆς ἀνδρῶνα εἰς πολυκλίνους τόπους εὐρύνουσα, οὐδὲ μήν, εἴ τις παρ' αὐτῇ σεμνὴ γυναικωνῖτις, εἰς θαλάμους οὐδ' αὐτὴν διϊστῶσα».

Πᾶς τις, νομίζομεν, εὐκολώτατα πείθεται ὅτι τὸ δὶς φερόμενον παρὰ τῷ Εὐσταθίῳ τὴν γυναικωνίτΗΝ οὐδὲν ἄλλο εἶνε ἢ γραφικὸν πταῖσμα τοῦ τὴν γυναικωνῖτΙΝ. Ἀνεγνώσθη δὲ πλημμελῶς ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου καὶ ΔασκυλίτΗΣ ἀντὶ τοῦ ΔασκυλῖτΙΣ καὶ κωβίτΗΝ ἀντὶ τοῦ κωβῖτΙΝ καὶ χαμίτΗΣ ἀντὶ τοῦ χαμῖτΙΣ καὶ τοξότΗΣ ἀντὶ τοῦ τοξότΙΣ καὶ ὀφειλέτΗΣ ἀντὶ τοῦ ὀφειλέτΙΣ καὶ ΧαλκιδίτΗΝ ἀντὶ τοῦ ΧαλκιδῖτΙΝ καὶ ὠκεανίτΗΝ ἀντὶ τοῦ ὠκεανῖτΙΝ καὶ ψαμμίτΗΝ ἀντὶ τοῦ ψαμμῖτΙΝ.

σελ. 354,20 «Ἀφνειοὺς δὲ λέγει οὐχ οὕτω τοὺς πλουσίους ὅσον τοὺς περὶ τὴν ἈφνῖτΙΝ λίμνην κατὰ τοὺς παλαιούς· καὶ γὰρ οὕτω, φασί, καλεῖται ἡ ΔασκυλίτΗΣ».

σελ. 1150,37 «ἡ δὲ ἱστορία ἀφύων παραδιδοῦσα διάφορα εἴδη, τὴν κωβίτΗΝ, τὰς ἐγκρασιχόλους—τὴν τριγλῖτΙΝ, κρείττω λέγει τῶν ἄλλων ἰχθυδίων τούτων τὴν ἀφρῖτΙΝ».

σελ. 1163,19 «διὸ καὶ πρὸς διαφορὰν ἄμπελος χαμίτΗΣ ἐλέγετο ἡ χαμαὶ κειμένη». Πρβ. Σουίδ. σελ. 1117 Βεκκ. «Χαμῖτις: ὄνομα ἀμπέλου». Ἐν τοῖς κώδιξι τοῦ Σουίδα φέρεται καὶ πλημμελὴς γραφὴ χαμΑΙτις.

σελ. 1194,27 «Ἄρτεμις δὲ τοῖς Τρωσὶν ἐπικουρεῖ ἢ ὡς ἔφορος τῶν χορῶν—ἢ ὡς τοξότΗΣ».

σελ. 1295,66 «διὸ καὶ ὠκεῖα καὶ θέουσα ἦλθεν ἡ ὀφειλέτΗΣ ἣν μυθικῶς ἀγγέλλειν τὰ τοιαῦτα τοῖς ἀνέμοις».

σελ. 1329,36 «καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς ἀλλὰ περιεσκεμμένως πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον· ἄλλος δέ τις ΧαλκιδίτΗΝ δι' εὐτέλειαν, φασί, τοῦ διδομένου νομίσματος». Πρβ. σελ. 1921,60 «διὸ ἡ αὐτὴ καὶ χαμαιτύπη λέγεται ὁμωνύμως τῷ κατ' αὐτὴν στρώματι· ἔτι δὲ λεωφόρος· ἀκολούθως δὲ καὶ πανδοσία καὶ ΧαλκιδῖτΙΣ δὲ διὰ τὸ εὐτελές, φασί, τοῦ διδομένου νομίσματος».

σελ. 1386,3 «τοὺς παρ' ὅλην τὴν μεσημβρινὴν ὠκεανίτΗΝ γῆν διατείνοντας». Ἐγράφη δὲ πλημμελῶς καὶ ἐν τοῖς Ἐπιμερισμοῖς τοῦ Ψευδηρῳδιανοῦ σελ. 99,1 Βοισσ. «ὠκεανίτΗΣ ῥοή» ἀντὶ τοῦ ὠκεανῖτΙΣ.

σελ. 1872,12 «τὴν ὑν ἀγόραζε, ἣν καλοῦσί τινες θνητῶν ψαμμίτΗΝ ὀρυκτήν». Πρβ. Ἀθήναιον σελ. 326, ϛ' «ψαμμῖτΙΝ ὀρυκτήν».

Σημειωτέον δ' ὅτι εὑρίσκεται παρὰ τῷ Εὐσταθίῳ γεγραμμένον καὶ ΤαναΐτΗΣ, ἀντὶ τοῦ ΤαναῖτΙΣ, ὃ ἡμαρτημένη ἀνάγνωσις τοῦ ἈναῖτΙΣ, σελ. 987,11 «ἡ δὲ παρὰ τῷ γεωγράφῳ ΤαναΐτΗΣ δαίμων λίαν ἀπεναντίας πίπτει τῇ Ἥρᾳ». Ἄξια παραθέσεως εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῷ Λογίῳ Ἑρμῇ 1866, σελ. 248 «Ἀρταξέρξης ὁ Δαρείου τοῦ Ὤχου, ὡς γράφει ὁ Κλήμης σελ. 57: «πρῶτος τῆς Ἀφροδίτης Ταναΐδος τὸ ἄγαλμα ἀναστήσας—Πέρσαις καὶ Βάκτροις—ὑπέδειξε σέβειν». Τῆς Ἀφροδίτης «τῆς Ἀναΐτιδος» μὲν οὖν, ἣν πάντες ἴσμεν τούς τε Πέρσας καὶ τοὺς Ἀρμενίους διαφερόντως σέβοντας. Ἱκανὸς ἔστω μαρτυρῶν εἷς ἐκ πάντων ὁ Στράβων ΙΑ σελ. 532: «ἅπαντα τὰ τῶν Περσῶν ἱερὰ καὶ Μῆδοι καὶ Ἀρμένιοι τετιμήκασι, τὰ δὲ τῆς Ταναΐδος διαφερόντως Ἀρμένιοι». Τὸ αὐτὸ σφάλμα ὁρᾷς, ἀλλ' ἐνθάδε μὲν ἐπιμελῶς διώρθωται πάλαι «τῆς Ἀναΐτιδος», ἔκ τε σελ. 512: «τὸ τῆς Ἀναΐτιδος ἱερὸν ἱδρύσαντο», καὶ σελ. 559 «τὸ ἱερὸν τῆς Ἀναΐτιδος», παρὰ δὲ τῷ Κλήμεντι τίς ἀντερεῖ μὴ τὸ αὐτὸ ὡσαύτως θεραπευτέον;».

Οὐκ ὀλίγα παραδείγματα ἐμνημονεύσαμεν ἐκ τῶν εἰς Ὅμηρον

Παρεκβολῶν τοῦ Εὐσταθίου τῆς ἐσφαλμένης ἀναγνώσεως, καθ' ἣν θηλυκὰ εἰς ΙΣ-ΙΝ ὀνόματα ἐκφέρονται διὰ τῆς καταλήξεως ΗΣ-ΗΝ. Ἐγράφη δὲ πλημμελῶς καὶ πολίτΗΝ ἀντὶ τοῦ πολῖτΙΝ καὶ προστάτΗΝ ἀντὶ τοῦ προστατΙΝ.

πολίτΗΝ - πολῖτΙΝ. Λιβάν. Ἐπιστ. σελ. 476 Οὐολφ. «ἔγημε πολίτΗΝ ἡμετέραν λαμπροῦ γένους». Θεοδώρητ. Ἑλλ. Παθ. Θεραπευτ. σελ. 475 Γαισφ. «Δύο δὲ ἔχειν γυναῖκας ἅμα· Ξανθίππην μὲν πολίτΗΝ καὶ κοινοτέραν πως, Μυρτὼ δὲ Ἀριστείδου θυγατριδῆν τοῦ Λυσιμάχου» (Πρβ. καὶ Πίν. σελ. 97). Παρὰ Πρόκλῳ τῷ Διαδόχῳ εἰς τὸν Τίμ. Πλάτ. σελ. 757 Σνειδ. πρὸς τῇ ὀρθῶς ἐχούσῃ γραφῇ «ἐμβιβάζει γὰρ αὐτὴν μικρὸν ὕστερον ὡς εἰς ὄχημα, ποιῶν ἐγκόσμιον καὶ πολῖτιν τοῦ παντός» φέρεται καὶ ἡ ἡμαρτημένη πολίτΗΝ. Πρβ. καὶ σελ. 802, ἔνθα, περὶ θηλυκοῦ ὄντος τοῦ λόγου, εἶνε γεγραμμένον «ὅταν ζῇ μετὰ τοῦ μέσου ὀχήματος ὡς γενέσεως πολίτΗΣ». Ἀδιάφθορος ἔμεινεν ἡ γραφὴ σελ. 803 «τὸ μὲν οὖν συμφυὲς ὄχημα ποιεῖ αὐτὴν ἐγκόσμιον, τὸ δὲ δεύτερον γενέσεως πολῖτΙΝ». Ἐν τοῖς Βασιλικοῖς Τόμ. Δ', σελ. 755 Εἰμβ. ἀπαντᾷ «ἡ δούλη μὴ Λατίνη ἀλλὰ πολῖτΙΣ γινέσθω Ῥωμαία· εἰ γὰρ τοῦτο, ὅπερ συνεχῶς εἰς τὰς πολίτιδας Ῥωμαίας καὶ μάλιστα εἰς τὰ ἐπίσημα πρόσωπα γίνεσθαι εἴωθε κτέ.»· σημειοῦται δ' ὁ ἐκδότης «Sic lego. Fabr. πολίτης» (Πρβ. σελ. 743). Ὀρθῶς εἶνε γεγραμμένον σελ. 747 «πολῖτις Ῥωμαία γενομένη εὐγενεῖς ἔτεκεν». Πρβ. Τόμ. Γ', σελ. 499 «ἣ ἐπαρχιῶτις γυνὴ τῷ διοικοῦντι τὴν ἐπαρχίαν» καὶ σελ. 500 «ἢ τῷ ἄρχοντι τῆς ἐπαρχίας ἢ τῷ στρατευομένῳ ἐν τῇ ἐπαρχίᾳ ἡ ἐπαρχιῶτις γυνὴ συναφθείη».

προστάτΙΝ - προστάτΗΝ. Ὁ Στούρζιος ἐξέδωκε παρὰ Δίωνι τῷ Κασσίῳ Τόμ. Β', σελ. 60 «καὶ ταύτην ἐκεῖνοι βασιλίδα ἀποδείξαντες, προθυμότερον τοῦ πολέμου, ὡς καὶ προστάτιν τινὰ ἐκ τοῦ τῶν Πτολεμαίων γένους ἔχοντες, ἀντελάβοντο» καὶ ἐσημειώσατο «Mox forte προστάτιν Re. et sane sic legitur in Med. a. quare id pro προστάτην reposui, quamquam Lobeckius ad Sophocl. Aiacem p. 273. negat necessarium esse προστάτιν scribere, quod nec ipse affirmo». Ὁ Λοβέκκιος γράφει ἐν τοῖς Παραλειπομένοις σελ. 271 «Itaque in Dionis Cass. XLVII. 39,328. quo loco olim nitebar, ταύτην ἐκεῖνοι βασιλίδα ἀποδείξαντες προθυμότερον

τοῦ πολέμου, ὡς καὶ προστάτην τινὰ ἐκ τοῦ τῶν Πτολεμαίων γένους ἔχοντες, ἀντελάβοντο. Sturzius e Med. recepit προστάτιν probante eodem Dindorfio Praef. Corp. Scenn. p. XIV. qui in Dionysii iambis Athen. IX. 405. C. αὐτὴ δ' ἑαυτῆς ἐστι δεσπότης, non ausus est praeferre quod in Pal. et Ald. legitur δεσπότις. In Appian. Civ. I. 1. ὁ δῆμος ἀρχὴν ἑαυτοῦ προστάτην ἀπέφηνε, duo codd. femininum offerunt, quod hoc loco aptius videtur, idemque genus in Stob Serm LXVII. 24,215 γυνὴ (ἀρίστη ἐστὶν) ἐν νόσοις παραστάτις, eadem auctoritate repositum est». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 231 «Appian. I. 1. 10: ἀρχὴν ἑαυτοῦ προστάτΗΝ ἀπέφηνε, unice vera est lectio προστάτΙΝ. Omnibus nominibus in -ατης, -ιτης et -ύτης cett. respondet forma feminina in -TIC exiens προδότης προδότις, πρεσβύτης, πρεσβῦτις, ἱκέτης ἱκέτις, στρατιώτης στρατιῶτις, ἰδιώτης ἰδιῶτις, Καρυάτης Καρυᾶτις et alia euisdemmodi sexcenta Itaque προστάτης habet προστάτις, ubi ut hoc loco feminina forma requiritur». Σημειωτέον δ' ὅτι παρὰ Πρόκλῳ τῷ Διαδόχῳ εἰς τὸν Τίμ. Πλάτ. σελ. 120 Σνειδ. ἀπαντᾷ «ἐργάνη δὲ ὡς τῶν δημιουργικῶν ἔργων προστάτΗΣ». Γίνεται δ' ὑπὸ τοῦ ἐκδότου ἡ παρατήρησις ἥδε· «προστάτης: Potius προστάτις, ut 45, 47». Οὐδεμία ἀμφιβολία δύναται νὰ ὑπάρχῃ ὅτι ἡ γνησία γραφὴ εἶνε προστάτΙΣ. Πρβ. σελ. 457 «ἅτε σωμάτων ἐσομένη προστάτις» καὶ σελ. 485 «προστάτιν αὐτὴν ἀποφαίνουσι τῶν δευτέρων».

δεσπότΙΝ - δεσπότΗΝ. Παρὰ Πρόκλῳ τῷ Διαδόχῳ εἰς τὸν Τίμ. Πλάτ. σελ. 415 Σνειδ. ἀντὶ τοῦ ὀρθοῦ «τί δὲ τὸ ὡς δεσπότΙΝ καὶ ὡς ἄρξουσαν;» ἓν τῶν ἀντιγράφων ἔχει τὸ πλημμελὲς δεσπότΗΝ. Πρβ. σελ. 593 «ἵνα ᾖ δεσπότις αὐτοῦ καὶ ἄρχουσα ἡ ψυχή».

ἰδιῶτΗΣ - ἰδιώτΙΣ. Ὁ Κοβητος γράφει ἐν τῇ Μνημοσυνῃ 1885, σελ. 12 «Galen. Vol. XIV. p. 235: (Cleopatra) ἑλομένη μᾶλλον ἔτι βασίλισσα οὖσα ἐξ ἀνθρώπων γενέσθαι ἤπερ ἰδιώτΗC Ῥωμαίοις φανῆναι. Scrib. ἰδιῶτιC».

λιπερνῆτΙΣ - λιπερνήτΗΣ. Ἴδε Ὀθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τομ. Β', σελ. 211 καὶ Ναύκιον ἐν *Mél. Gréco-Rom.* Τομ. Γ'. σελ. 121.

μετανάστΙΝ - μετανάστΗΝ. Ἴδε Κόβητον ἐν *Miscell. Crit.* σελ. 436.

ΚερυνῖτΙΝ - ΚερυνήτΗΝ. Ἴδε Οὐαγνῆρον ἐν τῇ ἐκδόσει τοῦ Ἀπολλοδώρου σελ. 75.

ἐπαινέτΙΣ - ἐπαινέτΗΣ. Θεμίστ. Λόγ. σελ. 267.29 Δινδ. «ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτΙΣ παμβασιλείας» Ἐν ἑνὶ τῶν κωδίκων φέρεται ἡ ἡμαρτημένη γραφὴ ἐπαινέτΗΣ.

ΣπαρτιᾶτΙΝ - ΣπαρτιάτΗΝ. Εὐριπ. Ἑλ. 115 «ἢ καὶ γυναῖκα ΣπαρτιάτΗΝ εἵλετε;». Τὸ ὑγιῶς ἔχον ΣπαρτιᾶτΙΝ ἀποκατέστησεν ὁ Μουσοῦρος.

προδότΙΝ - προδότΗΝ. Εὐριπ. Ἠλ. 1028 «ἄλοχον κολάζειν προδότΗΝ οὐκ ἠπίστατο». Ὀρθῶς ὑπὸ τοῦ Καντήρου ἀνεγνώσθη προδότΙΝ. Μετεβλήθη δ' εὐλόγως καὶ τὸ ἐν Ἑλ. στ. 834 «προδότΗΣ ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις» εἰς τὸ προδότΙΣ. Πρβ. καὶ Λόγ. Ἑρμ. 1867, σελ. 392.

ἐργάτΙΝ - ἐργάτΗΝ. Παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχαιολ. σελ. 400 πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ «ἐπιμελῆ τε αὐτὴν ἀπέδωκε τῶν ἀναγκαίων καὶ τῶν ἀγαθῶν ἐργάτΙΝ» φέρεται καὶ ἡ ἐσφαλμένη ἐργάτΗΝ.

ἱκέτΙΣ ἱκέτΗΣ. Παρὰ τῷ Παυσανίᾳ Κορινθ. Κ', 2 ἄλλοι μὲν τῶν κωδίκων ἔχουσι τὸ ὀρθὸν «φωραθεῖσα δέ, ὡς ἐπέσχεν ἡμέρα, κατέφυγεν ἱκέτΙΣ ἐς τὸν δῆμον», ἄλλοι δὲ τὸ πλημμελὲς ἱκέτΗΣ. Παρατηρητέον δ' ὅτι ἐγράφη πλημμελῶς καὶ οἰκείΗΣ ἀντὶ τοῦ οἰκέτΙΣ, ὡς διδάσκει ὁ Κοβητος ἐν τῇ Μνημοσύνῃ 1881, σελ. 447 λέγων «Legitur apud Hippocratem *de natura pueri* Tom. II. pag. 492 Ermer. qui edidit: γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος. Recte apud Galenum pag. 654 scriptum est οἰκέτις pro οἰκείης. Vertunt Latine: *mulieri nobis familiari perelegans erat fidicina*, sed neque οἰκεῖος est *nobis familiaris* et πολύτιμος ea est quae *magno pretio conducta* veniat, ἑταίρα πολυτελής».

παρωκεανῖτΙΝ - παρωκεανίτΗΝ. Παρὰ τῷ Πτολεμαίῳ Γεωγρ. Ὑφηγ. Τόμ. Α', σελ. 426,3 Μυλλ. πάντα σχεδὸν τἀντίγραφα ἔχουσι τὸ ἡμαρτημένον «πάλιν δὲ τὴν μὲν ἐφεξῆς τῷ Οὐενεδικῷ

κόλπῳ παρωκεανίτΗΝ κατέχουσιν Οὐέλται» ἀντὶ τοῦ ὀρθοῦ παρωκεανῖτΙΝ.

ἈμφιπολῖτΙΝ - ἈμφιπολίτΗΝ. Ὁ Μουλλάχιος ἐκδοὺς ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Φιλοσόφων Τόμ. Γ', σελ. 83 «τὴν δὲ ἈμφιπολῖτΙΝ Ἡρακλειδῶν οὖσαν Ἀθηναίους καὶ Χαλκιδεῖς λαβεῖν» ἐσημειώσατο σελ. 87 «Ἀμφιπολῖτιν: emendavit Schaefer.; codd. Ἀμφιπολίτην».

τριτοστάτΙΣ - τριτοστάτΗΣ. Πλημμελῶς μὲν ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «ΤριτοστάτΗΣ: Ἀριστοφάνης ἐν Σκηναῖς», ὀρθῶς δ' ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους Δ', 106 «καὶ τὴν γυναῖκα δὲ τριτοστάτΙΝ Ἀριστοφάνης καλεῖ». Ἴδε Γ. Δινδόρφιον ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους Τόμ. Α'. σελ. 645.

σιδηρῖτΙΝ - σιδηρίτΗΝ. Ἡσύχ. λ. κουλυβάτειαν «τὴν σιδηρίτΗΝ πόαν». Ὀρθῶς ὑπὸ τοῦ Σμιδιτίου εἶνε γεγραμμένον ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Β', σελ. 525 σιδηρῖτιν. Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Ζ', σελ. 226. Παρατηρητέον δ' ὅτι κεῖται ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου «Αἱματίτης: ἡ φλέψ, ἰδιαίτερον δὲ αἱμορροῒς καὶ ὁ λίθος». Σημειοῦται δ' ὁ Σμιδίτιος ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τούτου Τόμ. Α', σελ. 79 «Confundit vocabula αἱματῖτις et αἱματίτης, quamquam fuerunt etiam qui lapidem αἱματῖτιν dicerent, ut Theophr. de lapid. 37». Πρβ. καὶ λ. ἀργυρίτης (Τόμ. Α', σελ. 274. Ἴδε καὶ Κόβητον ἐν *Mnemos*. 1881, σελ. 368).

λιμνῆστΙν - λιμνήστΗΝ. Ὀρειβάσ. Τόμ. Α', σελ. 446 «ἢ λιμνῆστΙΝ ἢ κάχρυ ἢ κάρδαμον». Ἀντὶ τοῦ λιμνῆστιν εἶνε ἐν τοῖς κώδιξι γεγραμμένον λιμνήστΗΝ.

συμμερῖτΙΝ - συμμερίτΗΝ. Μιχ. Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Δ', σελ. 129 «κατεφίλησε γοῦν πολλάκις πρυσφῦσα τὴν συμμερῖτΙΝ τοῦ κράτους». Ἐν τῷ ἀντιγράφῳ φέρεται ἡ ἡμαρτημένη γραφὴ συμμερίτΗΝ.

χρυσῖτΙΝ - χρυσίτΗΝ. Ἴδε Ἀριστοφ. Ἀριστοτ. τῶν περὶ Ζῴ. Ἐπιτ. Β', 467 (Συμπλ. Ἀριστ. Τόμ. Α', α', σελ. 124,3). Πρβ. καὶ Ἐτυμολ. Μέγ. σελ. 580,53.

εὐεργέτΙΝ - εὐεργέτΗΝ. Ὁ Βοισσονάδης γράφει ἐν τῇ ἐκδόσει Νικήτα τοῦ Εὐγενιανοῦ καὶ Κωνσταντίνου τοῦ Μανασσῆ Τόμ. Β', σελ. 60 «(τὴν σφαγὴν εὐεργέτην): Forte, εὐεργέτιν. Perpetua vo-

calium harum synchycis mutationi favebit. Theodos. Diac Exp. Cret I 142. Καὶ ναῦς ἀνάψας γῇ χαρίζεται φέρων, Ἄπιστον εἰδὼς τὴν ὑγρὰν εὐεργέτην: scr. εὐεργέτιν».

ἱππότΙΣ - ἱππότΗΣ. Νικήτ. Χων. σελ. 202,18 Βεκκ. «πᾶσα οὖσα ἱππότΗΣ καὶ λογχηφόρος». Πρβ. καὶ Μιχαὴλ Γλυκᾶν σελ. 14,21 Βεκκ. «γίνεται ἑλιξίτΗΣ συστροφὴ τοῦ ἀνέμου». Γραπτέον ἱππότΙΣ ἀντὶ τοῦ ἱππότΗΣ καὶ ἑλιξῖτΙΣ ἀντὶ τοῦ ἑλιξίτΗΣ, ὡς εἴκασε καὶ ὁ Βεκκῆρος.

ΤρωγλοδύτΙΝ - ΤρωγλωδύτΗΝ. Ὠριγέν. Τόμ. Η', σελ. 76 «ἃ κατῴκησαν τὴν ΤρωγλοδύτΗΝ ἔρημον καὶ τὴν εὐδαίμονα Ἀραβίαν». Παντὶ φανερὸν ἀποβαίνει ὅτι τὸ ΤρωγλοδύτΗΝ εἶνε γραφικὸν πταῖσμα ἀντὶ τοῦ ΤρωγλοδύτΙΝ.

ἐπόπτΙΣ - ἐπόπτΗΣ. Σχολ. Ἰλ. Τόμ. Α', σελ. 411,21 Δινδ. «ἡ γὰρ Θέμις ἐπόπτΗΣ. τῶν ἐκκλησιῶν». Ποιεῖται δ' ὁ Δινδόρφιος τὴν παρατήρησιν τήνδε Τόμ. Β', σελ. 388 «ἐπόπτης: Corrige ἐπόπτις». Πρβ. Τόμ, Δ', σελ. 301,28 «ψυχῆς γὰρ φιλάνδρου καὶ ταρασσομένης ἔργον τὸ αὐτόπτιν ἐθέλειν γενέσθαι τῶν τοιούτων» (Ἴδε καὶ Γλωσσ. Παρατ. σελ. 196). Ἐσχηματίσθη δὲ καὶ τοῦ ὀνόματος ὑπερόπτης θηλυκὸν ὑπερόπτις.

ὁμευνέτΙΝ - ὁμευνέτΗΝ. Τζέτζ. Ἱστορ. χιλ. Ε', 922 (σελ. 192) «καὶ τὸν φαρμάκοις κτείναντα αὑτοῦ τὴν ὁμευνέτΗΝ». Πρβ. Σοφ. Αἴ. 501 «Ἴδετε τὴν ὁμευνέτιν Αἴαντος». Ὅμοιον τούτῳ εἶνε τὸ συνευνέτιν.

ἈσφαλτῖτΙΝ - ἈσφαλτίτΗΝ. Ἰώσηπ. Τόμ. Ϛ', σελ. 150, 6 Νισ. «ταῦτα δ' ἔξεισι μὲν εἰς τὴν ἈσφαλτῖτΙΝ λίμνην». Ὑπάρχει δὲ καὶ ἡμαρτημένη γραφὴ ἈσφαλτίτΗΝ.

φρενῖτΙΝ - φρενίτΗΝ. Ἀλέξανδρ. Ἀφροδ. Προβλ. Α', 96 (Φυσικ. καὶ Ἰατρ. Ἑλλ. Μικρ. Τόμ. Α', σελ. 33,16 Ἰδ.) «διὰ τί καὶ οἶνος καὶ ὕδωρ ἐπὶ τῶν πυρεττόντων παρὰ καιρὸν διδόμενος (γρ. διδόμενα) φρενίτΗΝ κατασκευάζει». Ἀναγνωστέον φρενῖτΙΝ, τουτέστι φρενῖτιν νόσον. Πρβ. νεφρῖτις, κτλ.

ΤοξότΙΣ - τοξότΗΣ. Ἴδε Γ. Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν εἰς Εὐριπίδην Σχολίων Τόμ. Γ', σελ. 66.

ἈρεοπαγῖτΙν - ἈρεοπαγίτΗΝ. Ὁ Γ. Δινδόρφιος ἐν τῇ ἐκδόσει τῶν εἰς Δημοσθένη Σχολίων σελ. 616 26 ἔγραψε «διὰ τὸν χορὸν καὶ

τὴν βουλὴν τὴν Ἀρεοπαγιτικὴν» καὶ ἐσημειώσατο «Ἀρεοπαγιτικήν: ἀρεοπαγίτην T. D. V. ἀρεωπαγίτην C. G. Correxit W., qui Ἀρειοπαγιτικὴν scripsit». Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι ἀποκαθίσταται ἡ γνησία γραφή, ἂν τὸ Ἀρεο(ω)παγίτΗΝ μεταβληθῇ εἰς τὸ ἈρεοπαγῖτΙΝ. Πρβ. Ἀλκίφρονα Ἐπιστ. Β', γ', 6 «ἀλλὰ σύ μοι, Γλυκέρα, καὶ γνώμη καὶ Ἀρεοπαγῖτις βουλὴ καὶ Ἡλιαία». Ἐν τοῖς Βεκκήρου Ἑλλ. Ἀνεκδότοις σελ. 222,6 κεῖται «βουλαὶ ἦσαν δύο, ἡ μὲν Ἀρεοπαγῖτις, εἰς ἣν ἀνέβαινον οἱ ἐννέα ἄρχοντες κτέ.».

βούπρηστΙΣ - βουπρήστΗΣ. Ὁ Γ. Δινδόρφιος γράφει ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 373 «In Galeni Gloss. p. 450 codex Mosquensis βουπρήστης praebet: reliqui libri vel βούπρηστις, quod verum, vel βουπρίστης». Ἀπαντᾷ δὲ καὶ ἡ ἡμαρτημένη αἰτιατικὴ βουπρήστΗΝ παρὰ τῷ Γαληνῷ (Ψευδογαληνῷ) Τόμ. ΙΔ', σελ. 141 «τοῖς δὲ τὴν βουπρήστΗΝ πεπωκόσι βοηθεῖ διδόναι γλυκὺ πλεῖστον πίνειν».

μύστΙΣ - μύστΗΣ. Παρὰ τῷ Συνεσίῳ σελ. 146, Α' ἔχουσι τἀντίγραφα οὐ μόνον τὸ ὀρθὸν «αὕτη μυσταγωγός τε καὶ μύστΙΣ» ἀλλὰ καὶ τὸ ἐσφαλμένον μύστΗΣ. Πρβ. καὶ Γρηγ. Παλαμᾶν σελ. 170 Οἰκ.

τριοττίς - τριόττης. Ἴδε Θησ. Στεφ. Τόμ. Ζ', σελ. 2449. Πρβ. καὶ *Leipz. Stud.* 1885, σελ. 260.

Ἐν τοῖς Ἐθνικοῖς Στεφάνου τοῦ Βυζαντίου κεῖται σελ. 206,6 Μειν. «ἔστι καὶ θηλυκῶς Γέτις» καὶ σελ. 296,1 «καὶ Ἀρσινοη Ζεφυρῖτις» καὶ σελ. 360,1 «Καρκινῖτις: πόλις Σκυθική» καὶ σελ. 368,10 «σμύρναν δὲ ἡ Χατραμωτῖτις (φέρει)» καὶ σελ. 583,9 «Πορφυρῖτις: πόλις Ἀραβίας» καὶ σελ. 543.3 «Ῥακῶτις: Οὕτως ἡ Ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο» καὶ σελ. 595,1 «ἔστι δὲ καὶ Σφαγῖτις ἄκρα Σκυθική» καὶ σελ. 685,6 «Χαλκῖτις: νῆσος ἀντικρὺ Χαλκηδόνος». Σημειοῦται δ' ὁ Μεινέκιος «Γέτις Salmasius. Γέτης libri» καὶ «Ζεφυρῖτις Xyl. ζεφυρίτης libri» καὶ «Καρκινῖτις Π, Καρκινῆτις RV, Καρκινίτης A» καὶ «Χατραμωτίτης libri, quod e Strabone correctum» καὶ «Πορφυρῖτις G Dindorfius, Πορφυρίτης R, Πορφυρίτη AV» καὶ «Ῥακώτης ante Holst» καὶ «Σφαγίτης libri» καὶ «Χαλκίτης ante Holst.». Πρβ. καὶ σελ. 145,4 καὶ σελ. 210,8 καὶ σελ. 262,9 καὶ σελ. 469,11 (καὶ σελ. 401,3).

Ἐν τῷ περὶ Συντάξεως Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως σελ. 156,

23 ἀπαντᾷ «χερνᾶτΙΣ γυνά», ἐν δὲ τῷ περὶ Ἀντωνυμίας σελ. 61, Β΄ ἔχει ὁ κῶδιξ χερνίτΗΣ γυνά», καθὰ λέγει ὁ Βεκκῆρος, ἐν τῇ ἐκδόσει τοῦ συγγράμματος τούτου σελ. 178.

Ἐν τῷ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου συντεθέντι Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 32 (1852) φέρεται «ΑἱμολάπτΗΣ (ἡ), Π.= Αἱματοπότις». Βδέλλα —, «Γργ. « Ὀρθῶς μὲν εἶνε γεγραμμένον αἱματοπότις, πλημμελῶς δὲ αἱμολάπτΗΣ ἀντὶ τοῦ αἱμολάπτΙΣ. Ὑπὸ Γρηγορίου τοῦ Ναζιανζηνοῦ Τόμ. Β΄, σελ. 221, Β΄ ἐλέχθη «τὴν αἱμολάπτιν βδέλλαν».

---

## ΚΕΦ. ΞΑ΄.

### Μόνου τοῦ θηλυκοῦ **γυναικωνῖτις** γίνεται χρῆσις ἐν τῇ Ἑλληνικῇ γλώσσῃ.

Ἄχρηστον ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἦτο τὸ ἀρσενικὸν ὄνομα γυναικωνίτης, μόνου δὲ τοῦ θηλυκοῦ γυναικωνῖτις-γυναικωνίτιδος, κτλ. ἐγίνετο ἐν αὐτῇ χρῆσις. Παρέχουσι δ' αὐτοῦ ἡμῖν μαρτύρια καὶ παλαιοὶ ὁ Λυσίας καὶ ὁ Ξενοφῶν καὶ μεταγενέστεροι ὁ Πλούταρχος καὶ ὁ Λουκιανὸς καὶ ἄλλοι πολλοί.

Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. 9 «πρῶτον μὲν οὖν, ὦ ἄνδρες — οἰκίδιον ἐστί μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν ἀνδρωνῖτιν» καὶ πρὸς Σίμ. 6 «ἐκκόψας τὰς θύρας εἰσῆλθεν εἰς τὴν γυναικωνῖτιν. Πρβ. καὶ Πολυδ. Θ΄, 39 «ἐν δὲ τῷ Λυσίου πρὸς Φίλωνα ὑπὲρ Θεοκλείδου φόνου ἔστιν εὑρεῖν οἰκάριον· ἀλλ' εἰς τὸ οἰκάριον τὸ ὄπισθε(ν) τῆς γυναικωνίτιδος». Πρβ. Ἡσύχ. «Οἰκάριον : τὸ ὄπισθεν τῆς γυναικωνίτιδος. Ἴδε καὶ Σμιδίτιον ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Γ΄, σελ. 183.

Ξενοφ. Οἰκον. Θ΄, 5 «ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ θύρᾳ βαλανωτῇ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος» καὶ 6 «μετὰ ταῦτα κόσμον γυναικὸς τῶν εἰς ἑορτὰς διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον καὶ στρώματα ἐν γυναικωνίτιδι, στρώματα ἐν ἀνδρωνίτιδι».

Πλούταρ. Θεμιστ. ΛΑ΄ «φοβηθεὶς ὁ Θεμιστοκλῆς εἰς τὴν γυναι-

κωνῖτιν κατέφυγεν» καὶ Πελοπ. Θ', 8 «παραλαβὼν ἐκ τῆς γυναικωνίτιδος τὸν υἱὸν -- ἐνεχείριζε τοῖς περὶ Πελοπίδαν». Πολλὰ ἄλλα παραδείγματα τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος ἐκ τῶν συγγραμμάτων τοῦ Πλουτάρχου μνημονεύονται ὑπὸ τοῦ Βυττεμβαχίου ἐν τῷ Πλουταρχείῳ Λεξικῷ σελ. 368. Ἄξια παραθέσεως νομίζομεν ἃ ὁ Κόβητος ἔγραψεν ἐν *Collect. Crit.* σελ. 485 «Pag. 190*a*'. Θεόπομπος ὁ βασιλεὺς πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι; Οὐδ' εἰ γυναικῶν, εἶπεν. Haec quidem verba nihil significant et sententia dicti ex similibus locis, quos Wyttenbachius adscripsit, est eliciendα. Simplicissimum est rescribere: —εἶναι; ΚΑΛΗ γυναικωνΙΤΙϹ, εἶπεν. ex pag. 230 *c*. Πανθοίδας πρεσβεύων εἰς τὴν Ἀσίαν ἐπιδεικνύντων αὐτῷ τεῖχος ἰσχυρόν, εἶπε· Νὴ τοὺς θεούς, ὦ ξένοι, καλὴ γυναικωνῖτις». Ὁ Ναβῆρος μνημονεύσας ἐν τῇ Μνημοσύνῃ 1900, σελ. 109 τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐπήνεγκεν· «Novi tamen rationem aliquanto simpliciorem: nempe γυναικῶν mutato accentu scribendum est γυναικών. Ipsum illud vocabulum Platoni quoque reddidi in Timaeo p. 70A in *Mnem.* 1893 p. 27, ubi pluribus egi περὶ τῶν περιεκτικῶν in -ων. Similiter pro μελιττῶν apud Xenophontem in Hellenicis restitui μελιττών in *Mnem.* 1896 p. 357».

Λουκιαν. Ὀνείρ. ἢ Ἀλεκτρ. 11 «τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιᾶσθαι» καὶ Ῥητ. Διδασκ. 23 «ὡς διὰ τοῦτό σου καὶ ἄχρι τῆς γυναικωνίτιδος εὐδοκιμοῦντος» καὶ Ψευδολογ. 28 «ἀλλὰ μέχρι καὶ τῆς γυναικωνίτιδος περιβόητος εἶ» καὶ Ψευδολουκ. Ἔρωσ. 28 «πᾶσα δ' ἡμῶν ἡ γυναικωνῖτις ἔστω Φιλαινὶς ἀνδρογύνους ἔρωτας ἀσχημονοῦσα».

Διογ. Λαέρτ. ϛ', 59 «ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον ποῖ καὶ πόθεν; ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν». Πρβ. καὶ Θέωνα Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 215,4 «Ἀντισθένην Ἀττικόν γε ὄντα παραγενόμενον Ἀθήνηθεν εἰς Λακεδαίμονα, ἐκ τῆς γυναικωνίτιδος λέγειν εἰς τὴν ἀνδρωνῖτιν ἐπιέναι». Ἴδε Σημειώσεις εἰς Διογ. Λαέρτιον Τόμ. Β', σελ. 49 Ὑβν. καὶ Θησ. Στεφ. Τόμ. Β', σελ. 827.

Φιλόστρ. Τόμ. Β', σελ. 97,2 Καυσ. «ἐν γυναικωνίτιδι δὲ κάθημαι καὶ τὰς βασιλέως θεραπεύω παλλακάς».

Πολύαιν. Στρατηγ. Η', 48 «αἱ δὲ πεισθεῖσαι συνέκλεισαν μὲν ἀσφαλῶς τῆς γυναικωνίτιδος τὰς θύρας, κτέ.».

Γαλην. Τόμ. Θ', σελ. 657 «ἐν τῇ γυναικωνίτιδι τρεφόμενος ὁ ληρώδης Θέσσαλος κτέ.» καὶ Τόμ. Ι', σελ. 22 «ὁ δ' ἐκ τῆς γυναικωνίτιδος ἐκπηδήσας Θέσσαλος ἐπιτιμᾷ τηλικούτοις ἀνδράσιν».

Ἀρτεμίδ. Ὀνειροκρ. σελ. 97,5 Ἑρχ. «ὁ δὲ ἀνδρὼν τοὺς κατὰ τὸν οἶκον ἀνθρώπους συγγενεῖς τε καὶ θεράποντας, ἡ δὲ γυναικωνῖτις τὰς θεραπαίνας».

Ἰώσηπ. Τόμ. Δ', σελ. 75,21 Νισ. «πάνυ τοῦ Ἀντιπάτρου περιστοιχίσαντος αὐτὸν καὶ τὴν γυναικωνῖτιν συνισταμένου τὰ πρὸς αὐτόν» καὶ σελ. 77,6 «οἷς ὑπῆκτο ἡ γυναικωνῖτις» καὶ σελ. 232, 23 «ἡ δὲ αὖ γυναικωνῖτις καὶ τὸ νεώτερον, ὅπερ ὄχλος φιλεῖ, θεωρίαις τε κτέ.».

Φίλ. Ἰουδ. Τόμ. Α', σελ. 153 «προπυλαίοις, στοαῖς, ἀνδρῶσι, γυναικωνίτισι, τοῖς ἄλλοις οἰκοδομήμασιν» καὶ σελ. 257 «τούτων δὲ τὴν μὲν ἀνδρωνῖτιν ἅπασαν ἀνιερωτέον θεῷ, τὴν δὲ γυναικωνῖτιν ἀπονεμητέον ἑαυτοῖς» καὶ Τόμ. Γ', σελ. 278 «τί δὲ χρυσορόφους ἀνδρῶνας καὶ γυναικωνίτιδας κατασκευάζομεν;». Πρβ. καὶ Τόμ. Β', σελ. 121 «δύο δὲ χοροί, ὁ μὲν τῆς ἀνδρωνίτιδος, ὁ δὲ τῆς γυναικωνίτιδος ἑστίας» καὶ σελ. 313 «καὶ σπουδάζειν μὴ μόνον παρὰ τῇ ἀνδρωνίτιδι εὐδοκιμεῖν, ἀλλὰ καὶ πρὸς τῆς γυναικωνίτιδος ἑστίας ἐπαινεῖσθαι», οἷς ὅμοιον τὸ ὑπὸ Διοδώρου τοῦ Σικελιώτου εἰρημένον βιβλ. ΙΖ', ν', 3 «ὁ μὲν πρῶτος περίβολος ἔχει τῶν ἀρχαίων δυναστῶν βασίλεια, ὁ δ' ἕτερος τὴν γυναικωνῖτιν αὐλήν». Πρβ. καὶ Ἐπιφάν. Τόμ. Γ', σελ. 531,31 Διντ. «πόθεν γυναικῶν τῦφος καὶ μανία γυναικωνῖτις;».

Ὠριγέν. Τόμ. ΙΗ', σελ. 330 «ἰέναι σὺν τοῖς γυναίοις καὶ τοῖς συμπαίζουσι παιδαρίοις εἰς τὴν γυναικωνῖτιν».

Κλήμ. Ἀλεξ. σελ. 85 Ποττ. «καὶ σεμνὴ μὲν ἡ γυναικωνῖτις αὕτη, σώφρων δ' ἡ γερουσία» καὶ σελ. 241 «ὁ δὲ πολυτίμητος μαργαρίτης ὑπερφυῶς τῇ γυναικωνίτιδι εἰσεκώμασεν» καὶ σελ. 255 «ἐγὼ δὲ αἰσχύνομαι, κωμῳδουμένης εἰς τοσοῦτον τῆς γυναικωνίτιδος» καὶ σελ. 262 «σόφισμα τοῦτο κατεαγότων ἀνθρώπων εἰς τὴν

γυναικωνῖτιν κατασυρομένων ἀμφιβίων καὶ λάγνων θηρίων» καὶ σελ. 536 «δι' ὧν καὶ εἰς τὴν γυναικωνῖτιν ἀδιαβλήτως παρεισεδύετο ἡ τοῦ κυρίου διδασκαλία». Πρβ. σελ. 269 «ἔριθοι δὲ καὶ ταλασίαι καὶ ἱστοπονίαι καὶ ἡ γυναικωνῖτις ἐργάνη καὶ ἡ οἰκουρία οὐδαμοῦ». Παρατηρητέον δ' ὅτι ἐν σελ. 349 κεῖται «ὅσαι μὴ τέλεον ἐκκεκώφηνται μηδὲ ἐξετμήθησαν τὴν φυσικὴν ἀκολουθίαν, καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες». Γράφει δ' ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ 1867, σ. 500 «Ἀναγνωστέον οὖν «καθάπερ τὸν ἄνδρα οἱ γύννιδες». Τίνας δὲ τούτους ἀποκαλεῖ γύννιδας διδασκέτω αὐτὸς ὁ Κλήμης σελ. 266 τάδε λέγων: «ἐνοπτριζόμεναι τοῖς ἀνδράσι, μᾶλλον δὲ οὐκ ἄνδρας, βατάλους δὲ καὶ γύννιδας καλεῖν τούτους χρή, ὧν καὶ αἱ φωναὶ τεθρυμμέναι καὶ ἡ ἐσθὴς τεθηλυμμένη ὑφῇ καὶ βαφῇ». Νῦν δὴ φανερὸν τὸ λεγόμενον. Ἦσαν γὰρ αἱρέσεις τινές, ὡς δοκεῖ, τελέως τὸν Χριστὸν ἀπαρνησάμεναι. Πικρῶς οὖν ὁ Κλήμης: «ὥσπερ τὸν ἄνδρα οἱ γύννιδες οὕτω τῶν αἱρέσεών τινες τὸν Χριστὸν ἀπεκόψαντο». Βδελυρώτερα μὲν ταῦτα ἀλλὰ σαφῆ καὶ γνώριμα καὶ τοῦ Κλήμεντος ἄξια».

Μάξ. Τύρ. Λόγ. Δ', 2 (σελ. 10,48 Διδ.) «καὶ μετατίθησι τὴν ἀρχὴν ἀπὸ τῆς ἀνδρωνίτιδος ἐπὶ τὴν γυναικωνῖτιν».

Λογγῖν. περὶ Ὕψ. ΛΒ', 5 (σελ. 110 Οὐεισκ.) «τὴν μὲν τῶν ἐπιθυμιῶν οἴκησιν προσεῖπεν ὡς γυναικωνῖτιν, τὴν τοῦ θυμοῦ δὲ ὥσπερ ἀνδρωνῖτιν».

Σιμπλίκ. Ἐξηγ. εἰς τὸ Ἐπικτήτ. Ἐγχειρ. σελ. 116,8 Διδ. «ἀνδρῶνα μὲν ἔχων εἰς χρείαν καὶ γυναικωνῖτιν» καὶ Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 262,4 «καὶ γὰρ τοῦ ἀνδριάντος ἡ κεφαλὴ καὶ οἱ πόδες τεχνητά ἐστι καὶ τοῦ οἴκου τὰ μέρη ἀνδρῶνες καὶ γυναικωνίτιδες καὶ στοαί».

Χαρίτ. Ἀφροδισ. Ε', δ', 2 (Ἐρωτ. Συγγρ. Τόμ. Β', σελ. 91,9 Ἑρχ.) «οὐ μὴν οὐδ' ἡ γυναικωνῖτις ἡ Περσῶν ἀμέριμνος ἦν».

Συνέσ. σελ. 105, Δ' «Ὀσίριδι δὲ καὶ ὅτι γυναικωνῖτις ἦν τὸ παιδάριον ἀνέμνησε τοῖς ἀνθρώποις ὁρώμενον» καὶ σελ. 108, Β' «τυρεύεται δὴ τὸ κακὸν ἐν δύο γυναικωνίτισιν» καὶ σελ. 112, Δ' «ἄλλως τε γὰρ τιθασὸς ἦν καὶ χειροήθης τῇ γυναικωνίτιδι». Σημειωτέον δ' ὅτι φέρεται ἐν τῷ πρώτῳ χωρίῳ καὶ ἡμαρτημένη γραφὴ γυναικωνίτΗΣ.

Θεοδώρητ. Τόμ. Γ', σελ 1192 «εἰς γυναικωνῖτιν κατέφυγε συμμορίαν ἔχουσαν ἀθλητῶν».

Ἡλιόδ. Αἰθιοπ. Ε'. 35 «καὶ ἡ μὲν εἰς τὴν γυναικωνῖτιν χωρισθεῖσα, σὺν τῷ θυγατρίῳ τε τοῦ Ναυσικλέους κατακλινεῖσα, τὰς παρούσας ἀγρυπνίᾳ διετίθετο φροντίδας, ὁ δὲ Καλάσιρις καὶ ὁ Κνήμων κατά τι τοῦ ἀνδρῶνος ἑαυτοὺς ἀναπαύσαντες κτέ.» καὶ Ζ', 22 «καὶ ἄρτι τῆς γυναικωτίτιδος ἐκτὸς γεγονυῖαν τὴν Κυβέλην ἰδὼν ὁ υἱὸς Ἀχαιμένης».

Ἀγαθί. Α', 7 (Ἱστορ. Ἑλλ. Μικρ. Τόμ. Β', σελ. 152, 7 Δινδ.) «οὐ πολλῷ εἶναι ἀμείνους τῶν ἐν γυναικωνίτιδι παρὰ τὴν ταλασίαν ᾀδομένων μυθολογημάτων».

Προκόπ. Τόμ. Α'. σελ. 328,20 Βόνν «εἰσάγουσιν εἴς τι δωμάτιον τῆς γυναικωνίτιδος μακρὰν ἄποθεν» καὶ Τόμ. Γ', σελ. 30,17 «τὸν Βούζην μετεπέμψατο εἰς τὴν γυναικωνῖτιν ἐξαπιναίως» καὶ σελ. 94,20 «ἐπεὶ δὲ ὁ πατρίκιος εἰς τὴν γυναικωνῖτιν εἰσῆλθε» καὶ σελ. 178,21 «τίς ἂν τῶν ὑπερῴων τῆς γυναικωνίτιδος ἑρμηνεὺς γένοιτο;». Παρατηρητέον δ' ὅτι ἀδόκιμος εἶνε ἡ διὰ τοῦ Ο ἐκφορὰ ἄπΟθεν.

Φώτ. Ἐπιστ. σελ. 520 Βαλ. «τῇ γυναικωνίτιδι δέ σε κατακλείουσιν, ἀνδρόγυνον καὶ εἰδότες καὶ ὀνομάζοντες οἱ ἡμέτεροι σοφοί».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ', σελ. 55 «καὶ τὴν γυναικωνῖτιν αὐτῇ περιέφραξεν» καὶ σελ. 86 «καὶ τὴν γυναικωνῖτιν διερευνώμενος» καὶ σελ. 91 «ἃς οὐδεὶς ἄχρι τότε τῆς γυναικωνίτιδος ἔξω τεθέαται» καὶ σ. 104 «καὶ τότε πρῶτον ὁ καθ' ἡμᾶς χρόνος τεθέαται γυναικωνῖτιν μετασχηματισθεῖσαν εἰς βασιλικὸν βουλευτήριον» καὶ σ. 106 «τὰ πλεῖστα δὲ τὰ τῆς γυναικωνίτιδος παίγνια τοῖς βασιλικοῖς κατεκίρνων σπουδάσμασι» καὶ σελ. 108 «καὶ ἡ τοῦ πλείονος ἔφεσις τὸν βασιλικὸν ἀνδρῶνα γυναικωνῖτιν πεποίηκεν» καὶ σελ. 172 «ἀλλὰ καὶ εἰς τὴν βασίλειον γυναικωνῖτιν παρεισφθαρεὶς ἄμφω τὰς βασιλίδας ὑποποιεῖται» καὶ σελ. 173 «ἀπό τε τοῦ ἀνδρῶνος ἀπό τε τῆς γυναικωνίτιδος».

Γεώργ. Παχυμ. Τόμ. Α', σελ. 347,3 «παρὰ τῶν τῆς γυναικωνίτιδος» καὶ σελ. 443,15 «τῆς γυναικωνίτιδος ἐραστής». Πρβ. καὶ σελ. 132,10.

Θεόδ. Μετοχ. σελ. 432 (1821) «φυγὰς εἰς τὴν γυναικωνῖ-

τιν- - ἐκλείετο». Φέρεται δὲ καὶ πλημμελὴς γραφὴ γυναικωνίτην.

Νικήτ. Χωνιάτ. σελ. 44,12 «μετ' οὐ πολὺ δὲ καὶ τῆς γυναικωνίτιδος ἐξιούσης, τὴν πόλιν τὰς Ὀχυρὰς ἐδείματο» καὶ σελ. 101,12 «μηδὲν ἐπισταμένης πλέον τῆς ταλασιουργοῦ γυναικωνίτιδος» καὶ σελ. 387,7 «μηδὲν εἰδυίας πλέον γυναικωνίτιδος» καὶ σελ. 569, 12 «τὴν γυναικωνῖτιν συνεπαγόμενος» καὶ σελ. 639,14 «ὅθεν ὑπὸ τῆς γυναικωνίτιδος—διεπεττεύετο τὰ κοινά».

Λέων Διάκον. σελ. 31,4 «ὡς δὲ ἡ τῶν πλειόνων ὑπόνοια ἔχει, κώνειον αὐτὸν πεπωκέναι πρὸς τῆς γυναικωνίτιδος» καὶ σελ. 39.6 «πλείω τῶν ἐν τῇ γυναικωνίτιδι δρωμένων εἰδότος μηδέν» καὶ σελ. 86,5 «ὅτι δὲ ἀληθῆ ταῦτα, ἡ γυναικωνῖτις ἐρευνηθήτω» καὶ σελ. 87,19 «ἀλλ' ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος ἰταμόν».

Οἱ μετὰ Θεοφάν. σελ 145, 19 «τῶν τὴν γυναικωνῖτιν πεπιστευμένων» καὶ σελ. 570,14 «ὁ τῆς γυναικωνίτιδος».

Μιχ. Γλυκ σελ. 110,21 «ἀποπέμπομαι ὡς δημῶδες καὶ τῇ γυναικωνίτιδι παρεισαχθὲν ὑπὸ γραΐδων».

Γεώργ. Ἀκροπ. σελ. 35,11 «θεραπεύων τὴν γυναικωνίτιδα καὶ ὑπὸ ταύτης ἀντιθεραπευόμενος».

Νικήτ. Εὐγενιαν. ἐν τοῖς κατὰ Δρόσιλλ. καὶ Χαρικλ. Α΄, 221 «ἡ τῆς Χρυσίλλης εἶχε γυναικωνῖτις».

Θεοφύλ. Σιμόκ. σελ. 95.22 Βόνν. «τί τὴν ἐκκλησίαν γυναικωνῖτιν ὑπείληφας;».

Μιχ. Δούκ. σελ. 101,5 «σὺν ταῖς γυναικωνίτισι ταῖς ὁμογλώσσοις καὶ σὺν ὀλίγοις νέοις».

Ἰω. Κίνν. σελ. 256,22 «λόγος ἐκ τῆς γυναικωνίτιδος ἦλθεν».

Νικηφ Γρηγ. Τόμ Α΄, σελ. 260,10 «ἐδίδου γὰρ καὶ τῇ γυναικωνίτιδι καιρὸν ἀσχολίας» καὶ σελ. 711,7 «χρήμασι παμπληθέσι περιελθεῖν τὴν γυναικωνῖτιν» καὶ σελ. 785.16 «ὅσον τὴν βασίλειον ἐπλήρου γυναικωνῖτιν πλῆθος».

Ἄνν. Κομν. Τόμ. Α΄, σελ. 84,16 Βόνν. «τοὺς περὶ τὴν γυναικωνῖτιν ὑποποιήσασθαι» καὶ σελ. 85,15 «οἱ περὶ τὴν γυναικωνῖτιν ταῖς τοῦ Ἰσαακίου ὑποθημοσύναις παραπείθουσι τὴν βασιλίδα υἱοθετήσασθαι τὸν Ἀλέξιον» καὶ σελ. 160,17 «ὡς γυναικωνίτιδι καταπιστεύσαντος τοὐμοῦ πατρὸς τὴν τῆς βασιλείας διοίκησιν» καὶ σελ. 163,14 «τὴν δὲ περὶ τὰ βασίλεια γυναικωνῖτιν παντάπασι διεφθορυῖαν» καὶ

Τόμ. Β' σελ. 291.2 «λεγέτωσαν δὲ ταῦτα οἱ περὶ τὴν γυναικωνῖτιν καὶ καταλεγέτωσαν» καὶ σελ. 353,22 «παραπέτασμα γὰρ μεταξὺ τήν τε γυναικωνῖτιν ἀπετείχιζε καὶ τοὺς βασιλεῖς».

Ἰω. Καντακουζ. Τόμ. Α'. σελ. 24.25 «ὡς οὐ ῥᾳδίως ἔχων ἐπισύρεσθαι τὴν γυναικωνῖτιν» καὶ Τόμ. Β', σελ. 202,20 «τῆς γυναικωνίτιδος συνούσης μόνης».

Γεώργ. Κεδρην. Τόμ. Β', σελ. 376.3 «εἰ μή που ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος εὑρηκότες ὑπ' αὐτοῦ ὁδηγοῦνται» καὶ σελ. 665,16 «κοινοῦται γοῦν τὸ πρᾶγμά τινι τῶν ἐκ τῆς γυναικωνίτιδος ὡς ἐπιτηδείῳ πρὸς τοῦτο».

Λαόν. Χαλκοκονδ. σελ. 158,9 «καὶ τὰς γυναικωνίτιδας ἀφείλοντο» καὶ σελ. 244,13 «τήν τε θυγατέρα αὐτοῦ ἔσχεν ἐς τὴν γυναικωνῖτιν καὶ τὸν παῖδα αὐτοῦ κατέλιπεν ἄρχειν τῆς χώρας» καὶ σελ. 527.7 «τὴν μὲν οὖν ἀδελφὴν τοῦ ἡγεμόνος — ἐσηγάγετο μέχρι τινὸς ἐς τὴν γυναικωνῖτιν».

Σχολ. Ἰλ. Τόμ. Β', σελ. 129,26 Δινδ. «οἱ δὲ Ἀττικοὶ τὴν μέσην θύραν τῆς αὐλῆς, τὴν διορίζουσαν τήν τε γυναικωνῖτιν καὶ τὸν ἀνδρῶνα» καὶ Σχολ. Ἡσιόδ. σελ. 123,3 Λιψ. «ἡ πολὺν χρόνον ἐν τῇ γυναικωνίτιδι γενομένη» καὶ «εἰκὸς δὲ καὶ τοὺς ἐν τῇ γυναικωνίτιδι τεθραμμένους — οὕτω τελευτᾶν». Πρβ. καὶ Σχολ. Ἀπολλ. Ῥοδ. σελ. 458,28 Κειλ. «μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν» καὶ Μοῖριν σελ. 264 «Μέταυλος: ἡ μέση τῆς ἀνδρωνίτιδος καὶ τῆς γυναικωνίτιδος θύρα Ἀττικῶς μέσαυλος Ἑλληνικῶς» καὶ Ἐτυμ. Μέγ. σελ. 581,6 «Μεσαύλιος (μέσαυλος): ἡ κατὰ τὸν ἀγρὸν ἔπαυλις· Ἀττικῶς καὶ τὴν μέσην τοῦ πυλῶνος καὶ τῆς αὐλῆς, ἢ τῆς ἀνδρωνίτιδος καὶ γυναικωνίτιδος».

Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς κατακεχωρισμένοις ἐν τῷ Περιοδικῷ συγγράμματι Ἑρμῇ 1893, σελ. 172 «ἡ γὰρ παρθένος ἐντὸς τῆς γυναικωνίτιδος ζῶσα οὐκ εὐπρεπεῖς ἐποίει τοὺς λόγους αὐτῆς».

Ἡ γενικὴ πτῶσις τῆς γυναικωνίτιδος ἀπαντᾷ καὶ ἐν ἐπιγραφαῖς κατακεχωρισμέναις ἐν τῷ Δελτίῳ τῆς Ἑλλην. Ἀλληλογραφίας 1905, σελ. 489,25 καὶ σελ. 498,22.

Παρὰ τῷ Σουίδᾳ φέρεται σελ. 641 Βεκκ. «ὁ δὲ Μᾶρκος ὁ Ῥωμαίων στρατηγὸς ἐβούλετο ἀπολυθεὶς τοῦ πολέμου πρὸς Λυσιτανοὺς

μεταβαλεῖν τὸν πόλεμον καὶ τὸ λεγόμενον ἐκνεύσας τὴν ἀνδρωνῖτιν εἰς τὴν γυναικωνῖτιν κωμάσαι» (Πρβ. καὶ σελ. 102 λ. ἀνδρωνῖτις). Κεῖται δὲ παρ' αὐτῷ καὶ «Γυναικωνῖτις: οἰκία τῶν γυναικῶν» (σελ. 253) καὶ «ὑποβάλλει τοίνυν ὁ θλαδίας τοὺς Οὐάλεντος μυστικούς, τὴν γυναικωνῖτιν λέγω φάλαγγα» (σ. 506 λ. θλαδίας).

Ἐν τῷ Οὐϊνδοβονησίῳ Λεξικῷ σελ. 40,12 Ναυκ. λέγεται «Γυναικωνῖτις: ἡ συνάθροισις τῶν γυναικῶν. Ὁ μέγας Βασίλειος· ἄλλως τε καὶ εἰ τύχοι ἔξω τῆς γυναικωνίτιδος ἑστὼς ὁ τὴν ὥραν ἀποτιθέμενος. Γυναικὼν δὲ ὁ τόπος ὁ περιεκτικὸς γυναικῶν, ὡς παρθενών. Χρυσόστομος· καὶ γυναῖκες γυναικῶνας καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες». Γελοία εἶνε ἡ γνώμη αὕτη, καθ' ἣν τὸ ὄνομα γυναικωνῖτις δηλοῖ τὴν συνάθροισιν τῶν γυναικῶν, οὐχὶ δὲ τὸν τόπον τὸν περιεκτικὸν γυναικῶν.

Παρατηρητέον δ' ὅτι κακῶς ἐν ταῖς ἐπιστολαῖς τοῦ Ἀρισταινέτου ἀνεγνώσθη «ἅπαντα γοῦν ἐν ταῖς γυναικῶν τισι καὶ ταῖς ταλασίαις πρὸς ἀλλήλας ὁμιλοῦσι γυναῖκες» ἀντὶ τοῦ γυναικωνίτισι (Ἴδε Βοισσονάδην εἰς Ἀρισταίν. σελ. 510).

Παρὰ τῷ Χορικίῳ σελ. 117 Βοισσ. ἀπαντᾷ «τοῦ δὲ μὴ τοῖς ἀνδράσι γυναικῶν ὅμιλον ἀναμίγνυσθαι, καίτοι τῆς κάτω θέσεως πλῆθος χωρούσης ἑκάτερον, οὐδενὸς πιέζοντος, διπλῆν εἰργάσω γυναικωνῖτιν»· σημειοῦται δ' ὁ ἐκδότης «Hic sensus vocabuli γυναικωνῖτις nondum est receptus in Lexica veteris linguae, etsi jam notum adsit exemplum Procopii, quaerendum in Cangii S. Sophiae Descriptione, § 38, ubi de porticu mulieribus in ecclesiis addicto agit, vel in ejus Constantinopoli christiana, 3. c 38».

Ἐν πολλοῖς τῶν ἐν τοῖς ἄνω παρατεθέντων χωρίων κεῖται καὶ τὸ θηλυκὸν ὄνομα ἀνδρωνῖτις. Ἔχομεν δὲ καὶ ἄλλα μαρτύρια αὐτοῦ νὰ μνημονεύσωμεν. Δί. Χρυσόστ. Τόμ. Α', σελ. 143,11 Δινδ. «ἐπὶ τὴν ἀνδρωνῖτιν μεταβήσεται». Κλήμ. Ἀλεξ. σελ. 208 Ποττ. «ὅτι τὴν ἀνδρωνῖτιν ἐκθηλύνουσιν». Προκόπ. Τόμ. Β', σελ. 13,9 «καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε» (Πρβ. καὶ Τόμ. Γ', σελ. 33,7 «τήν τε αὔλειον ὑπερβὰς ἐξαπιναίως παρὰ τὴν ἀνδρωνίτιδα ἔστη θύραν»). Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 1775,51 «Θεόφραστος δὲ ὕστερον γράψας αὐτός τε (γρ. αὐτό τε) παραδέδωκε καὶ ὡς οὐδὲ γυναιξὶν ἀνδρὸς δίχα χρὴ μετεῖναι τῆς ἀνδρωνίτιδος».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 827 εἶνε γεγραμμένον· «Γυναικωνίτης, ὁ, Polluci [*I. 79. ubi recte libri*, ὁ δὲ γυναικωνίτης, θάλαμος, ἱστεών] θάλαμος ἱστῶν. Hecychio vero etiam οἶκος γυναικῶν [*it. Herodiano Epim. p. 18: sed ap. Hes. nunc est* γυναικωνῖτις], et Schol. Hom. i. q. ὑπερῷον. [An. De templo Soph. ap. Band Imp. Or. vol. I, p. 68, A: τὸ δεξιὸν μέρος τοῦ γυναικωνίτου . . . τὸ ἀριστερὸν μέρος τοῦ γυναικωνίτου. Quod dicitur ea signif. qua alias γυναικίτης, quod v». Οὐδαμῶς θαυμαστὸν ἡμῖν φαίνεται ἂν ἐν τῷ ἐσχάτως παρεφθαρμένῳ ἑλληνισμῷ ἐγίνετο χρῆσις τοῦ ἀρσενικοῦ ὀνόματος γυναικωνίτης, ἀλλ' ἀδυνατοῦμεν νὰ πεισθῶμεν ὅτι ἔκειτο τὸ ὄνομα τοῦτο καὶ παρὰ τῷ Πολυδεύκει· ὀρθῶς δ' ἐν τῇ Βεκκηρείῳ ἐκδόσει τοῦ Πολυδεύκους σελ. 19 φέρεται «θάλαμος, γυναικωνῖτις, ἱστεών, ταλασιουργικὸς οἶκος». Παρατιθέμεθα καὶ ἃ ὁ Βοισσονάδης ἔγραψεν ἐν τῇ ἐκδόσει τῶν Ἐπιμερισμῶν τοῦ Ψευδηρῳδιανοῦ σελ. 18 «γυναικωνίτης, ὁ οἶκος τῶν γυναικῶν: Et A, γυναικονίτης. Scribendum γυναικωνῖτις. Illa varietas in hac voce frequens est: cf. not. ad Hesychii Γυναικωνῖτις».

---

## ΚΕΦ. ΞΒ'.

### Εὐοδεῖ-εὐοδοῖ καὶ εὐοδήσει-εὐοδώσει.

Παρὰ Φίλωνι τῷ Ἰουδαίῳ κεῖται Τόμ. Δ', σελ. 283 «λέγεται γὰρ ὡς εὐοδοῖ τὸ σπέρμα μήτε σκιδνάμενον μήτε περιρρέον εἰς τοὺς τῆς ποσθίας ὡς ἦλθε κόλπους» καὶ Τόμ. Ε', σελ. 250 «πόρος οὐδεὶς εὐοδώσει, τέχναι πᾶσαι, πραγματεῖαι πολύτροποι, βίων ἰδέαι μυρίων τοῖς χρωμένοις οὐδὲν ὄφελος».

Ἐπειδὴ ἐπ' ἀμεταβάτου διαθέσεως ἐλέγετο ὑπὸ τῶν Ἑλλήνων εὐοδεῖν, οὐχὶ εὐοδοῦν, ἀποφαινόμεθα ὅτι ἐγράφη ὑπὸ τοῦ Φίλωνος «εὐοδεῖ τὸ σπέρμα» καὶ «πόρος οὐδεὶς εὐοδήσει», γραφικὰ δὲ πταίσματα εἶνε τὸ εὐοδοῖ καὶ εὐοδώσει.

Πολλάκις δ' ὁ Φίλων ποιεῖται χρῆσιν τοῦ κατὰ τὴν πρώτην συζυγίαν τῶν περισπωμένων ἐκφερομένου ῥήματος, οἷον Τόμ. Α', σελ. 107 «τί οὖν νῦν ἡμᾶς αἰτιᾷ πρότερον, ὅτε εὐώδει σοι τὰ πράγματα,

οὐχὶ μεμψάμενος;». Τόμ. Β', σελ. 22 «οὐκ ἐν ἅπασιν ἀλλ' ἐν οἷς ὁ θεὸς τὸ εὐοδεῖν ἐχαρίζετο» καὶ «ὄντως γὰρ ἀνήκεστός ἐστι συμφορὰ ψυχῇ εὐοδεῖν οἷς ἂν ἐπιθῆται» καὶ σελ. 283 «ἵνα μὴ τῷ κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἢ ἱεροσυλεῖν ἤ τινι τῶν ὁμοιοτρόπων ἐπιτιθέμενος εὐοδῇ, μυρία δ' εὑρίσκῃ τὰ κωλυσιεργήσοντα». Τόμ. Γ', σελ. 63 «ὅταν εὐοδῇ μοι τὰ ἐκτὸς πρὸς εὐπορίαν καὶ εὐδοξίαν» καὶ σελ. 305 οὐ γὰρ ἄνευ γε τῶν ἐμῶν ἐπινοιῶν εὐοδήσει τὸ πάθος ἐξ ἑαυτοῦ» καὶ σελ. 307 «ἕως μὲν γὰρ μηδὲν λυμαίνεται τῶν ἐξαπιναίως εἰωθότων ἀπροοράτως ἐπιφοιτᾶν, εὐοδεῖν δοκοῦσιν αἱ πρὸς ἀπόλαυσιν ἡδονῆς τέχναι». Τόμ. Δ', σελ. 243 «σπεύδουσα μὴ εὐοδεῖν ἀνοσίους ἀλλ' ἀεὶ τῆς προθέσεως διαμαρτάνειν» καὶ σελ. 330 «ὅπως ὁ τῆς φύσεως σπόρος εὐοδῇ, μηδενὸς τῶν πλησίων ἐμποδίζοντος». Τόμ. Ϛ', σελ. 49 «ἐπειδὴ τοίνυν ἡ κατὰ τοῦ νόμου πεῖρα εὐοδεῖν ἔδοξεν αὐτῷ» καὶ σελ. 101 «ἣν ὅταν μὲν αἱ θύραθεν αὖραι μετρίως ψυχραὶ καταπνέωσιν, εὐοδεῖ τὰ τῆς ἀναπνοῆς ὄργανα ταῖς εὐκρασίαις· ὅταν δὲ μεταβάλωσι πρὸς τὸ θερμότερον, ἀνάγκη **δυσοδεῖν,** πυρὸς ἐπεισρέοντος πυρί».

Πολλὰ μαρτύρια τοῦ περὶ οὗ ὁ λόγος ῥήματος μνημονεύονται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 2368, τὰ μὲν ἐκ παλαιοτέρων, τοῦ κωμικοῦ ποιητοῦ Θεοπόμπου καὶ τοῦ Δημοσθένους καὶ τοῦ Ἀριστοτέλους καὶ τοῦ Θεοφράστου, τὰ δ' ἐκ νεωτέρων (Ἴδε καὶ Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τόμ. Α', σελ. 752 καὶ Σνειδῆρον ἐν τῇ ἐκδόσει τοῦ Θεοφράστου Τόμ. Ε', σελ. 582). Ὁ Μαδβίγιος γράφει ἐν *Adversar. Crit.* Τόμ. Α', σελ. 590 «Nomen (εὐοδία) apud veteres de felici itinere positum Hesychius εὐπραξίαν interpretatur, et sic dicitur εὐοδεῖν inde ab Aristotele de felici proventu et successu».

Φέρεται δὲ καὶ παρὰ τῷ Ἰωσήπῳ Τόμ. Β', σελ. 329,16 Ναβ. «τοῖς γὰρ νόμοις κατακολουθῶν, οὕτω περὶ τὴν τάξιν τῆς πολιτείας καὶ τῆς περὶ τὸ θεῖον εὐσεβείας εὐοδεῖν τε συνέβαινε, διὰ τὸ τὴν τούτων παρανομίαν μὴ τυγχάνειν ἀλλ' ἐξηφανίσθαι» καὶ παρὰ τῷ Διοσκορίδῃ Τόμ. Α', σελ. 705 Σπρεγγ. «ἔτι δὲ ἀλύπως εὐοδοῦν καὶ μὴ πνευματοῦν μηδὲ διαφθειρόμενον» καὶ παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 301,16 «καὶ μὴν οὐδὲ τοῖς στωικοῖς εὐοδεῖ ὁ λόγος» καὶ σελ. 721,11 «οὐ δυνήσονται οὐδ' οὕτως εὐοδῆσαι» καὶ παρὰ τῷ Θε-

μιστίῳ Παραφρ. Τόμ. Α', σελ. 238.12 Σπεγγ. «ὅταν δὲ μήτε εἶναι μήτε μὴ εἶναι τιθεμένοις αὐτὸ ὁ λόγος εὐοδῇ» καὶ παρὰ τῷ Δαμασκίῳ Ἀπορ. καὶ Λύσ. Τόμ. Β', σελ. 225, 19 Ῥυελλ. «αἰτία δὲ τῆς τοιαύτης τάξεως πάντως μὲν καὶ ἡ ἀπόδειξις οὕτως εὐοδοῦσα πρὸς τὰ συμπεράσματα» καὶ παρ' Ἀλεξάνδρῳ τῷ Ἀφροδισιεῖ περὶ Εἱμαρμ. (Συμπληρ. Ἀριστοτ. Τόμ. Β', β', σελ. 171, 9) «μὴ πάντα τὴν φύσιν ἑκάστου καὶ τὴν εἱμαρμένην εὐοδεῖν» καὶ παρ' Ἰωάννῃ τῷ Φιλοπόνῳ Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 84, 7 «καὶ δεῖξαι ὅτι κατ' οὐδὲν τῶν σημαινομένων τοῦ ἑνὸς εὐοδεῖ αὐτοῖς ὁ λόγος» καὶ σελ. 219, 11 «οὐχ εὑρήσομεν εὐοδοῦντα ἡμῖν τὸν λόγον» καὶ Τόμ. ΙΖ', σελ. 565. 12 «οὐκ ἐπὶ πάντων αὐτῷ εὐοδεῖ τῶν σωμάτων ὁ λόγος» (ἀνθ' οὗ ἐν ἑνὶ τῶν ἀντιγράφων εἶνε πλημμελῶς γεγραμμένον εὐοδοῖ) καὶ παρὰ Γεωργίῳ τῷ Παχυμέρῃ (Παχυμέρει) Τομ. Α', σελ. 169, 12 Βόνν. «θατέρου δ' εὐοδήσαντος» καὶ σελ. 325, 6 «οὕτω γὰρ μᾶλλον εὐοδεῖν τὸν κατὰ γῆν πόλεμον ᾤετο» καὶ σελ. 445, 13 «διὰ ταῦτα γοῦν τὰ κατ' ἐκείνου εὐώδει παραβολώτερον συμπλεκόμενα» καὶ σελ. 511, 1 «ταύτας ἤδη διὰ ξηρᾶς εὐοδεῖν» καὶ Τόμ. Β', σελ. 244, 16 «διὰ τοῦτο καὶ οὐκ ἦν ὅλως μόνον τὰς τομὰς εὐοδεῖν» καὶ σελ. 272. 1 «οὐκ ἦν ὅλως ταῖς τῶν Ῥωμαίων δυνάμεσιν εὐοδεῖν» καὶ σελ. 554, 15 «κἂν εὐοδοῖεν κἂν μὴ» καὶ ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τομ. Δ', σελ. 103, 17 Δινδ. «ὁ δαίμων οὐδέποτέ μοι εὐοδεῖ, ἀλλὰ πρὸς τὸ ἄναντες καὶ δύσκολον ὁδοιπορεῖ».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 2368 λέγεται «χαῖρε καὶ σὺ κεὐόδει in cippo apud Boeckh. C. I vol 2. p. 50, n. 1956, 4». Ἀπαντᾷ δὲ καὶ ἐν ἑτέρᾳ ἐπιγραφῇ (3706, Τομ. Β', σελ. 945) «χαῖρε παροδεῖτα· ἔγνωκας· ἔρρωσο, ὑγίαινε, εὐόδει». Ἴδε καὶ Καιβέλιον ἐν *Epigr. Graec. ex Lap. Conl.* σελ. 70, 193.

Πρὸς τῷ ἀμεταβάτῳ ῥήματι εὐοδεῖν φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ τὸ μεταβατικὸν εὐοδοῦν. Πολλάκις δ' ἀπαντᾷ ἐν τῇ Παλαιᾷ Διαθήκῃ τό τε εὐοδοῦν καὶ τὸ εὐοδοῦσθαι, οἷον

Γεν. ΚΔ', 12 «εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον» καὶ 21 «εἰ εὐώδωκε κύριος τὴν ὁδὸν αὐτοῦ» καὶ 27 «ἐμέ τ' εὐώδωκε κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου» καὶ 40 «καὶ εὐοδώσει τὴν ὁδόν σου» καὶ 42 «εἰ σὺ εὐοδοῖς τὴν ὁδόν μου» καὶ 48 «ὃς εὐώ-

δωσέ με ἐν ὁδῷ ἀληθείας» καὶ 56 «καὶ κύριος εὐώδωσε τὴν ὁδόν μου ἐν ἐμοὶ» καὶ ΛΘ', 23 «ὁ κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ». Δευτερονομ. ΚΗ', 29 «καὶ οὐκ εὐοδώσει τὰς ὁδούς σου». Κριτ. Δ', 8 «οὐκ οἶδα τὴν ἡμέραν ἐν ᾗ εὐοδοῖ κύριος τὸν ἄγγελον μετ' ἐμοῦ». Παραλειπομ. Β', ιδ', 7 «κατέπαυσεν ἡμᾶς κυκλόθεν καὶ εὐώδωσεν ἡμῖν» καὶ ιη', 14 «ἀνάβαινε καὶ εὐοδώσεις» καὶ κς', 5 «εὐόδωσεν αὐτῷ κύριος». Νεεμ. Α', 11 «εὐόδωσον δὴ τῷ παιδί σου σημερον» καὶ Β', 20 «ὁ θεὸς τοῦ οὐρανοῦ αὐτὸς εὐοδώσει ἡμῖν». Τωβ. Ζ', 12 «ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα» καὶ ΙΑ', 1 «ὅτι εὐώδωσε τὴν ὁδὸν αὐτοῦ». Σοφ. Σαλ. ΙΑ', 1 «εὐώδωσε τὰ ἔργα αὐτῶν». Σοφ. Σειρ. ΙΕ', 10 «καὶ ὁ κύριος εὐοδώσει αὐτόν». Ἡσαΐ. ΝΔ', 17 «πᾶν σκεῦος σκευαστὸν ἐπὶ σὲ οὐκ εὐοδώσω». Ἱερεμ. ΙΔ', 10 «καὶ ὁ θεὸς οὐκ εὐώδωσεν ἐν αὐτοῖς». Μακκαβ Β', ι', 7 «ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον».

Ἰησ. Ναυ. Α', 8 «τότε εὐοδωθήσῃ καὶ εὐοδώσεις τὰς ὁδούς σου». Κριτ. ΙΗ', 5 «εἰ εὐοδωθήσεται ἡ ὁδὸς ἡμῶν, ἐν ᾗ ἡμεῖς πορευόμεθα ἐν αὐτῇ». Παραλειπ. Β', ζ', 11 «καὶ πάντα ὅσα ἠθέλησεν ἐν τῇ ψυχῇ Σαλωμὼν τοῦ ποιῆσαι ἐν οἴκῳ κυρίου καὶ ἐν οἴκῳ αὐτοῦ εὐωδώθη» καὶ ιγ', 12 «μὴ πολεμήσητε πρὸς κύριον θεὸν τῶν πατέρων ἡμῶν ὅτι οὐκ εὐοδώσεται ὑμῖν» καὶ ιη', 11 «καὶ εὐοδωθήσῃ καὶ δώσει κύριος εἰς χεῖρας τοῦ βασιλέως» καὶ Κ', 20 «ἐμπιστεύσατε ἐν κυρίῳ θεῷ ἡμῶν καὶ ἐμπιστευθήσεσθε· ἐμπιστεύσατε ἐν προφήτῃ αὐτοῦ καὶ εὐοδωθήσεσθε» καὶ κδ', 20 «καὶ οὐκ εὐοδωθήσεσθε ὅτι ἐγκατελίπετε τὸν κύριον» καὶ λα', 21 «καὶ ἐποίησε καὶ εὐωδώθη» καὶ λβ', 30 «καὶ εὐωδώθη Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ» καὶ λε', 13 «καὶ τὰ ἅγια ἥψησαν ἐν τοῖς χαλκίοις καὶ ἐν τοῖς λέβησι καὶ εὐωδώθη». Ἔσδρ. Ε', 8 «καὶ εὐοδοῦται ἐν ταῖς χερσὶν αὐτῶν». Τωβ. Ε', 16 «ἕτοιμος γίνου πρὸς τὴν ὁδὸν καὶ εὐοδωθείητε» καὶ 21 «καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ». Παροιμ. ΙΖ', 8 «οὗ δ' ἂν ἐπιστρέψῃ εὐοδωθήσεται» καὶ ΚΗ', 13 «ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ οὐκ εὐοδωθήσεται». Σοφ. Σειρ. ΙΑ', 17 «καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωθήσεται». Δαν. Η', 12 «καὶ ἐποίησε καὶ εὐωδώθη». Μακκαβ. Α', γ', 6 «καὶ

εὐωδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ» καὶ Β', ι', 23 «τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος».

Κεῖται δὲ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ πρὸς Ῥωμ. Α', 10 «εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς» καὶ πρὸς Κορινθ. Α', ις', 2 «κατὰ μίαν σαββάτου ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ,τι ἂν εὐοδῶται» (Ἴδε Γρίμιον ἐν τῷ Λεξικῷ τῆς Καινῆς Διαθήκης σελ. 181 ἐκδ. 6').

Οὐκ ὀλίγα μαρτύρια τοῦ περὶ οὗ ὁ λόγος ῥήματος παρέχουσιν ἡμῖν συγγραφεῖς τοῦ μεταγενεστέρου ἑλληνισμοῦ, Φίλων ὁ Ἰουδαῖος καὶ ὁ Ὠριγένης καὶ ἄλλοι.

Φίλ. Ἰουδ. Τόμ. Δ', σελ. 89 «ἕως μὲν γὰρ τὰ κατὰ τὴν πολιτείαν εὐοδοῦται πράγματα αὐτῷ, γαῦρός ἐστι καὶ σεμνὸς ὑπὸ τῶν ὄχλων τιμώμενος».

Ὠριγέν. Τόμ. Β', σελ. 377 «ἀπὸ θεοῦ διὰ Ἰησοῦ Χριστοῦ εὐοδούμενοι ἐρχώμεθα τὴν μεγάλην τοῦ εὐαγγελίου ὁδόν».

Θεοδώρητ. Τόμ. Α', σελ. 104 «αὐτὸς γὰρ εὐώδου τὰ παρ' αὐτοῦ γιγνόμενα».

Σοφον. Ὑπομν. Ἀριστοτ. Τόμ. ΚΓ', α', σελ. 57, 19 «πῶς ἐπὶ τῶν ἀψύχων ὁ λόγος εὐοδωθήσεται;» καὶ σελ. 65, 26 «ἀλλ' ἐπὶ μὲν ἁφῆς οὕτως ὁ λόγος εὐώδωται».

Ψευδοκαλλισθ. ΜΓ' (σελ. 93 Διδ.) «καὶ ὅσα περὶ ἡμῶν ἡ θεία εὐοδώσειεν πρόνοια, ταῦτα γενέσθω».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 61, 20 «καὶ οὐδὲ εὐοδοῦται ὁ τοιοῦτος νοῦς διὰ τὸν ἐπαγόμενον πολὺν τῆς Χρυσηίδος ἔπαινον» καὶ Μικρ. Συγγρ. σελ. 39, 76 «εἴ τις ἐκ τῶν Ἑλληνικῶν τὸ πιστὸν κἀνταῦθα εὐοδοῖ».

Τζέτζ. Ἐπιστ. σελ. 5 Πρεσσ. «σὺ δέ μοι ὑγίαινε καὶ εὐοδοῦ ἐν τοῖς πράγμασιν» καὶ σελ. 15 «ἔρρωσο ὑγιαίνων καὶ εὐοδούμενος» καὶ σελ. 30 «ὁ δὲ πατὴρ τῆς εἰρήνης θεὸς μέχρι παντὸς ἀπαραπόδιστον καὶ πᾶσιν εὐοδούμενον συντηροίη σε».

Μιχ. Ἀκομιν. Τόμ. Β', σελ. 248, 1 Λάμπρ. «σώζοιο εὐοδούμενος παρὰ θεοῦ πρὸς τὴν τοῦ ἐπαγγέλματος ἐκπλήρωσιν» καὶ σελ. 275, 18 «θᾶττον ἀναλῦσαί σε, τοῦ θεοῦ εὐοδοῦντος».

Γεώργ. Παχυμ. Τόμ. Α', σελ. 385, 19 «εἰ δὲ προβαίη καὶ εὐοδοῖτο εἰς τέλος τὸ προτεθὲν» καὶ σελ. 398, 14 «ὡς ὑπισχνουμένου

δῆθεν τοῦ πατριάρχου τὴν ἑκουσίαν ἐκχώρησιν, εἰ εὐοδοῖτο τὸ ἔργον» καὶ σελ. 434, 14 «καὶ οὕτως ὁσημέραι πλέον ἐμεγαλύνετο καὶ εὐοδούμενος ἐπεδίδου» καὶ σελ. 440, 5 «καὶ συνθεσίαι ἦσαν, εἰ μὲν εὐοδοῖντο, ἐπιβαίνειν κτέ.» καὶ Τόμ. Β΄, σελ. 46, 5 «ὡς εὐοδοῖντο τὰ τῆς τελετῆς ἀμηγέπῃ» καὶ σελ. 147, 4 «οὐκ εὐώδουν συγκαλύπτειν» καὶ σελ. 472, 4 « πρὸς τῷ μηδ' εὐοδωθῆναι τὸ πρᾶγμα κατὰ σκοπόν, ὃν ἐτρέχομεν».

Ἰωὴλ σελ. 16,9 «καὶ εὐοδούμενος ἐπήρθη».

Νικηφ. Γρηγ. Τόμ. Α΄, σελ. 316, 10 « καὶ λοιμῶν ὁδὸς εὐοδοῦται» καὶ Τόμ. Γ΄, σελ. 127, 20.

Ἰω. Κίνν. σελ. 196, 9 « καὶ ἐπὶ τὴν προκειμένην τὸ στράτευμα εὐώδωσεν».

Λέων Διάκ. σελ. 204, 10 «εἰ οὖν θεοῦ συνεργίᾳ εὐοδωθῇ ὁ στρατηγός».

Γεώργ. Σύγκελλ. Τόμ. Α΄, σελ. 263, 5 « τῇ φωνῇ τῆς ὄνου μὴ εὐοδοῦσθαι ἐσήμανε».

Κεδρην. Τόμ. Β΄, σελ. 528, 21 « οὔτε μία χώρα εὐοδωθήσεται ὑπὸ δύο κυβερνωμένη ἀρχηγῶν».

Νικήτ. Χων. σελ. 378, 13 «φεῦ, φεῦ ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται».

Χρον. Πασχ. σελ. 539, 17 «εὐοδῶν αὐτοῦ τὴν βασιλείαν».

Σχολ. Σοφοκλ. Τόμ. Β΄, σελ. 163, 35 Δινδ. « ἐν πόνοις ἀμηχανοῦσαν εὐώδωσας» καὶ σελ. 180, 18 « ὁδωτά : ἀνυστά, εὐωδωμένα » καὶ σελ. 223, 19 « οὐρίῳ : εὐωδωμένῳ μὴ πλησιάσαι δρόμῳ».

Σχολ. Θουκυδ. σελ. 87, 6 Διδ. «Εὐτύχει : ἤγουν τὰ κατὰ τὸν πόλεμον εὐωδοῦτο».

Κεῖται δὲ καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 42, 28 (Κτησ. καὶ Ἄλλ. Ἀποσπ. σελ. 55 Μυλλ.) « καὶ γέγονεν οὕτως, εὐοδωθείσης τῆς συμβουλῆς» (Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Γ΄, σελ. 2370).

Ὁ Βλαϋδέσιος σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Βατράχων σελ. 504 «Εὐοδίαν : Faustum iter. Cf. Theopomp com. II 818. ἀλλ' εἰ δοκεῖ σοι ταῦτα δρᾶν, πορεύσομ'· εὐοδεῖν χρή. Dem. p. 1274. ᾗ μὲν ἂν εὐοδῇ, φέρεται (τὸ καταρρέον ὕδωρ). Soph. Oed. C. 1435, σφῷν δ' εὐοδοίη Ζεύς. Herod VI. 73. ὡς Κλεομένεϊ εὐοδώθη τὸ πρᾶγμα. IV. 139. τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦ-

ται» (Πρβ. καὶ Βαίριον ἐν τῇ β' ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Γ', σελ. 324).

Παρατηρητέον δ' ὅτι παρὰ μὲν τῷ Ἡροδότῳ φέρεται καὶ γραφὴ «ὡς τῷ Κλεομένεϊ ὠδώθη τὸ ἐς τὸν Δημάρητον πρῆγμα», ἣν καὶ προέκρινάν τινες (Ἴδε καὶ Καλλεμβέργιον ἐν τῇ ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Β', σελ. ιε'), τὸ δὲ ἐν τῇ ῥήσει τοῦ Σοφοκλέους φερόμενον μετεβλήθη ὑπὸ τοῦ Βουργεσίου εἰς τὸ εὖ διδοίη, ὃ ἐνεκρίθη καὶ ὑφ' ἑτέρων. Ὁ Γ. Δινδόρφιος γράφει ἐν τῷ Σοφοκλείῳ Λεξικῷ σελ. 119 «OC 642 ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ. unde ib. 1435 restitui σφῷν δ' εὖ διδοίη Ζεύς, τάδ' εἰ τελεῖτέ μοι, ubi in L est εὐοδοίη ut ap. Polybium 4, 21, 11 εὖ δῷ in εὐοδῶ in libris duobus corruptum est. Eiusdem generis haec sunt, ubi dandi vel largiendi significationem habet de diis pariter atque hominibus dictum, sequente vel accusativo vel infinitivo» καὶ σελ. 199 «εὐοδοίη vitiose pro εὖ διδοίη, quod Burgesius restituit OC. 1435».

Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Ἀντζίου γεγραμμένα ἐν *Dissert. Phil. Hal.* 1894, σελ. 290 «εὐοδοῦν: Soph. Oed. C. 1435 σφῷν δ' εὐοδοίη Ζεὺς τάδ' εἰ τελεῖτέ μοι, ita ante Burgesium legebatur, qui primus emendavit εὖ διδοίη, ita etiam Schneidew. Nauck legi voluerunt; at bene Campbell ad h. l. docuit hoc εὐοδοίη spectare illud, quod paulo ante scriptum est: ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς | ἔσται μέλλουσα. fortasse cum Hermanno σφῷ δ' εὐοδοίη legendum est. In prosa oratione ap. Her. 6, 73 ὡς Κλεομένεϊ εὐωδώθη τὸ πρῆγμα. Saepius in Genesi hoc verbum invenitur: Gen. 24, 27 ἐμὲ δ' εὐόδωκεν κύριος εἰς τὸν οἶκον.—Gen. 24, 21 τοῦ γνῶναι ἢ εὐόδωκεν κύριος τὴν ὁδὸν αὐτοῦ ἢ οὔ. 40. 56.—deinde: bonum eventum dare, facere ut res alicuius bene eveniant Gen. 39, 3 καὶ ὅσα ἂν ποιῇ κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. — ita fortasse Gen. 24, 48 ὅς εὐόδωσέν μοι ἐν ὁδῷ ἀληθείας [sed potius cum Lag. legendum με, ita ut hic locus ad notionem supra allatam spectet]. Gen. 42, 12 εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον, fac ut res meae hodie bene eveniant». Πλημμελῶς δ' ἔχει ἡ ἄνευ αὐξήσεως ἐκφορὰ εὐόδωκεν καὶ εὐόδωσεν.

Τὸ ῥῆμα εὐοδοῦν-εὐοδοῦσθαι, ἐξ οὗ εἶνε παρηγμένον διὰ τῆς καταλήξεως ΣΙΣ τὸ ὄνομα εὐόδωσις, εὑρίσκεται καὶ τῇ κατὰ προθέσει συγκείμενον, κατευοδοῦν-κατευοδοῦσθαι, ὅθεν καὶ τὸ ὄνομα κατευόδωσις. Παραδείγματα τοῦ συνθέτου τούτου ῥήματος βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 1337. Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Ὠριγένει Τόμ. ΙΑ', σελ. 342 «καὶ πᾶσαι αἱ ὁδοί σου κατευοδωθήσονται» καὶ παρὰ τῷ Θεοφάνει Χρονογρ. σελ. 490, 18 Λιψ. «ἐπὶ δὲ τρισὶν ἡμέραις μετὰ τὰς πρώτας συμβολὰς δόξας κατευοδοῦσθαι οὐ τῷ κατευοδοῦντι θεῷ τὰ τῆς νίκης ἐπέγραφεν» καὶ παρὰ τῷ Γενεσίῳ σελ. 115, 17 «στρατηγετῶν ἐμπειρίᾳ κατευοδούμενος». Ὁ Σουΐδας γράφει σελ. 450 Βεκκ. «Εὐωδοῦτο : κατευωδοῦτο· καὶ εὐωδώθη : κατευωδώθη».

Ἐν τῇ Παλαιᾷ Διαθήκῃ Ψαλμ. ΜΔ', 5 (Τόμ. Β', σελ. 126 Διδ.) εἶνε εἰρημένον «Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου». Ἀναγινώσκεται δὲ ἔντεινον καὶ κατευοδοῦ καὶ παρὰ τῷ Θεοδωρήτῳ Τόμ. Α', σελ. 889 (δὶς) καὶ Τόμ. Β', σελ. 22 καὶ σελ. 1553, ἀλλὰ Τόμ. Β', σελ. 24 φέρεται «ἔντεινΕ καὶ καθευοδοῦ» καὶ σελ. 251 «ἔντεινΑΙ καὶ κατευοδοῦ».

Τὸ ἔντεινε καὶ κατευοδοῦ κεῖται καὶ παρὰ τῷ Φωτίῳ Ἐπιστολ. σελ. 423 καὶ σελ. 439 Βαλ. καὶ Λόγ. καὶ Ὁμιλ. Τόμ. Β', σελ. 200 καὶ σελ. 326 καὶ σελ. 400 καὶ σελ. 437 Ἀριστ. καὶ παρὰ Λέοντι τῷ Γραμματικῷ σελ. 217, 12 καὶ παρὰ Μιχαὴλ τῷ Δούκᾳ σελ. 24, 22 καὶ παρὰ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ Τόμ. Α', σελ. 438, 20 Βόνν. (Ἴδε καὶ Ῥείσκιον εἰς Κωνσταντ. Πορφυρόγ. Τόμ. Β', σελ. 464).

Παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ ἀπαντᾷ οὐ μόνον «ἔντεινΕ καὶ κατευοδοῦ» (Τόμ. Β', σελ. 119, 4) ἀλλὰ καὶ «ἔντεινΑΙ καὶ κατευοδοῦ» σελ. 19, 17 καὶ σελ 139, 7 καὶ σελ. 198, 2 καὶ σελ. 247, 10 καὶ σελ. 329, 19). Ἥκιστα εὔλογος ἡμῖν φαίνεται ἡ διὰ τῆς ΑΙ διφθόγγου ἐκφορὰ ἔντεινΑΙ.

Ἀπεφηνάμεθα ἐν τοῖς ἄνω ὅτι πλημμελῶς ἔχει ἡ ἄνευ αὐξήσεως ἐκφορὰ εὐόδωκεν καὶ εὐόδωσεν. Ὁ Χοιροβοσκὸς λέγει σελ. 527, 24 «Ἰστέον δὲ ὅτι τὸ δυσαρεστῶ καὶ δυσαπιστῶ καὶ εὐορκῶ καὶ εὐ-

αρεστῶ σημειούμεθα ὅτι μὴ ἀρχόμενα ἀπὸ προθέσεως ἀλλ' ἀπὸ ἐπιρρήματος τοῦ ΔΥΣ καὶ τοῦ ΕΥ ἔσωθεν ποιοῦνται τὴν κλίσιν, οἷον δυσηρέστουν καὶ δυσηπίστουν καὶ εὐηρέστουν καὶ εὐώρκουν. Ἔστι δὲ καὶ τὸ εὐαγγελίζομαι εὐηγγελιζόμην ἔσωθεν κλινομενον καὶ εὐαρχίζω εὐήρχισα ἐν τῇ συνηθείᾳ» (Πρβ. καὶ σελ. 513, 32) καὶ ἐν τοῖς εἰς τὸ Ψαλτήριον Ἐπιμερισμοῖς σελ. 53, 30 «Κατευοδῶ καὶ ὁ παρατατικὸς κατευώδουν· καὶ ὤφειλεν εἶναι κατηυόδουν, ἀλλ' ἡ ΕΥ δίφθογγος οὐ τρέπεται, πλὴν τοῦ εὔχομαι ηὐχόμην· καὶ τοῦτο δὲ οἱ Ἀττικοὶ τρέπουσι καὶ ὤφειλεν εἶναι ἐκατευόδουν (κατηυόδουν)· ἀλλὰ τὰ ἀπὸ τοῦ ΕΥ μορίου καὶ τοῦ ΔΥΣ ἀρχόμενα ῥήματα οὐκ αὔξει τὴν ἄρχουσαν τοῦ παρατατικοῦ ἔξωθεν ἀλλ' ἔσωθεν ἔχει τὴν κλίσιν οἷον εὐορκῶ εὐώρκουν, εὐαγγελίζομαι εὐηγγελιζόμην, δυσαπιστῶ δυσηπίστουν» καὶ σελ. 54, 19 «Ὁ παρακείμενος κατευώδωκα, ὁ παθητικὸς κατευώδωμαι, ὁ ἀόριστος πρῶτος κατευωδώθην, τὸ δεύτερον κατευωδώθης, τὸ τρίτον κατευωδώθη» (Πρβ. καὶ Κραμ. Ἀνέκδ. Ὀξ. Τόμ. Δ', σελ. 176, 20 καὶ Παρ. Τόμ. Δ', σελ. 219, 31 καὶ Ἐτυμολ. Μέγ. σελ. 399, 45). Ὁ Ψευδηρῳδιανὸς Ἐπιμερ. σελ. 281 Βοισσ. μνημονεύει καὶ παρατατικὸν δυσηνησχέτουν· «Τὰ δὲ ἀπὸ τοῦ ΔΥΣ ἀρχόμενα ἔσω αὔξει, ἐὰν φωνῆεν κεῖται ἔμπροσθεν τοῦ ΔΥΣ· δυσανασχετῶ δυσηνησχέτουν, δυσαρεστῶ δυσηρέστουν». Τοῦ ῥήματος δυσαπιστεῖν ποιεῖται μνείαν ὁ Κουμανούδης ἐν τῇ Συναγωγῇ Ἀθησαυ. Λέξεων σελ. 86 λέγων: δυσαπιστεῖν· «δυσαπιστῶ δυσηπίστουν, δυσαρεστῶ δυσηρέστουν» Κ. Λάσκ. ἐν τῇ Γραμματικῇ παρὰ τῷ Μl. ἐν Pa. gr. s. 161, σελ. 936.—Ἀμάρτυρον ἐτέθη τὸ ῥῆμα τοῦτο ἐν τῷ ΘΣ».

Ὁ Φρασικλῆς γράφει ἐν τῇ Γραμματικῇ τῆς Ἑλλην. Γλώσσης σελ. 85 «Τὰ ἐκ τοῦ εὖ καὶ δυσ σύνθετα λαμβάνουσιν εἰς τὸ μέσον τὴν χρονικὴν αὔξησιν, οἷον εὐεργετέω, εὐηργέτουν, εὐηργέτηκα. Ὅταν δὲ εἰς τὰ μόρια ταῦτα ἀκολουθῇ φωνῆεν ἄτρεπτον ἢ σύμφωνον, τότε ἢ λαμβάνουσιν ἔμπροσθεν τὴν αὔξησιν, οἷον δυσωπέω, ἐδυσώπουν, δυστυχέω, ἐδυστύχησα, δεδυστύχηκα, εὐδοκιμέω, ηὐδοκίμουν ἢ μένουσιν ἀναύξητα, μάλιστα τὰ ἀπὸ τοῦ ΕΥ συγκείμενα, οἷον εὐωχοῦμαι, εὐωχούμην». Πρβ. καὶ δυσωνῶ: ἐδυσώνουν καὶ εὐημερῶ: εὐημέρουν - εὐημέρησα - εὐημέρηκα. Ἄξια ἀναγνώσεως εἶνε τὰ ὑπὸ τοῦ Βλασσίου διειλημμένα ἐν τῇ ἐκ-

δόσει τῆς τοῦ Κυνηρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Τόμ. Α', 6', σελ. 33. Περὶ τῆς ἐκφορᾶς τῶν παρῳχημένων χρόνων τοῦ ῥήματος εὐεργετῶ - εὐεργετοῦμαι ἴδε Δινδόρφιον ἐν Θησαυ. Στεφ. Τόμ. Γ', σελ. 2248 καὶ Μειστεράνσιον ἐν *Gramm. der. Attisch. Inschr.* σελ. 172 ἐκδ. γ'. Σημειωτέον δ' ὅτι ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται « Ἐϐρύαζεν: ηὐωχεῖτο ». Εἶνε δὲ καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ γεγραμμένον Τόμ. Α', σελ. 224, 7 Δινδ. «οἷς κατηυώχησε τοὺς μαθητάς». Ὁ Σχάνζιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Η', σελ. 107, 14 (Γοργ. σελ. 522, Α') ἀναγνοὺς «οὐχ ὥσπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ ηὐώχουν ὑμᾶς» ἐσημειώσατο σελ. 163 « εὐώχουν ΒΤ ». Ἴδε Λ. Δινδόρφιον εἰς Ξενοφ. Κύρ. Παιδ. Δ', 5, 7 (σελ. 191 Ὀξ.)· ἀλλ' ἐν τῇ Τευϐνηρείῳ ἐκδόσει ἐτήρησεν οὗτος τὴν παραδεδομένην γραφὴν «οἱ δὲ Μῆδοι καὶ ἔπινον καὶ εὐωχοῦντο καὶ ηὐλοῦντο».

Ἀναγκαῖον δ' ἡμῖν φαίνεται νὰ δηλωθῇ ὅτι ἐκ τῶν ῥημάτων εὐανδρῶ καὶ εὐεκτῶ ἐσχηματίσθησαν ἀόριστοι εὐάνδρησα καὶ εὐέκτησα», ὧν ὁ μὲν κεῖται παρὰ Δίωνι τῷ Χρυσοσοστόμῳ Τόμ. Β', σελ. 25, 8 Δινδ. « ταχὺ δ' ἀνασφήλαντες — πολλάκις μᾶλλον εὐέκτησαν », ὁ δὲ παρὰ τῷ Στράϐωνι σελ. 386, 11 Μειν. « εὐάνδρησε δέ ποτε καὶ τοῦτο σφόδρα τὸ χωρίον σύμπαν» καὶ σελ. 1058, 27 « καὶ δὴ καὶ εὐάνδρησεν οὗτος ὁ τόπος». Ἐγένετο δ' ὑπὸ τοῦ γεωγράφου χρῆσις καὶ τοῦ παρατατικοῦ εὐάνδρουν σελ. 460, 29 «ὅμως εὐάνδρει ἥ τε Ἤπειρος πᾶσα καὶ ἡ Ἰλλυρίς».

Μακρὸν ἐποιησάμεθα λόγον περὶ τῶν κατά τε τὸν τύπον καὶ τὴν διάθεσιν διαφερόντων εὐοδεῖν καὶ εὐοδοῦν. Παρατηροῦμεν δὲ νῦν ὅτι κατὰ τὸν αὐτὸν τρόπον λέγεται ἀμεταϐάτως μὲν ἀσθενεῖν καὶ ἀτεκνεῖν καὶ ἐξαρθρεῖν, μεταϐατικῶς δὲ ἀσθενοῦν καὶ ἀτεκνοῦν καὶ ἐξαρθροῦν (Ἴδε Γλωσσ. Παρατηρ. σελ. 82). Πρϐ. καὶ ἀοριστεῖν - ἀοριστοῦσθαι. Ὑπὸ τοῦ Κουμανούδη γίνεται μνεία καὶ ῥήματος εὐκαρποῦν ἐν τῇ Συναγωγῇ Ἀθησαυ. Λέξεων σελ. 135 «εὐκαρπόω, ῶ· ποιῶ εὔκαρπον. Θ. Στουδ. σελ. 729. ἔ. ΜΙ.». Ὡς δ' ἔχει πρὸς τὸ εὐκαρπεῖν τὸ εὐκαρποῦν, οὕτω πρὸς τὸ ἀτονεῖν τὸ ἀτονοῦν. Ὁ Ἀκύλας ἔγραψεν ἐν τῇ Παλαιᾷ Διαθήκῃ Ψαλμ. ΞΗ', 24 ἀτόνωσον.

ΣΗΜ. Μέρος τοῦδε τοῦ κεφαλαίου ἦτο ἐκτετυπωμένον ὅτε κατέστη

ἡμῖν γνωστὸν ὅτι ὀρθῶς εἶνε γεγραμμένον ἐν τῇ νέᾳ ἐκδόσει Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Ε', σελ. 2, 15 καὶ σελ. 369, 13 (1896) «λέγεται γὰρ ὡς εὐοδεῖ τὸ σπέρμα μήτε σκιδνάμενον μήτε ἐπιρρέον εἰς τοὺς τῆς ποσθίας κόλπους» καὶ «πόρος οὐδεὶς εὐοδήσει». Σημειοῦται δ' ὁ ἐκδότης «εὐοδεῖ PM : A(v), εὐοδοῖ H» καὶ «εὐοδήσει scripsi : εὐοδώσει codd.».

---

## ΚΕΦ. ΞΓ'

### Ἄκλιτον-ἄκλιτα καὶ μονόπτωτον - μονόπτωτα καὶ ἑτερόκλιτον ἑτερόκλιτα.

Περὶ τῶν ἐπιθέτων ἄκλιτον-ἄκλιτα καὶ μονόπτωτον-μονόπτωτα γράφει ὁ Χοιροβοσκὸς σελ. 370, 23 « Ἰστέον δὲ ὅτι κακῶς εἶπεν ὁ τεχνικὸς τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτα· ὤφειλε γὰρ εἰπεῖν μᾶλλον ὅτι μονόπτωτά εἰσιν· ἄλλο γάρ ἐστιν ἄκλιτον καὶ ἄλλο μονόπτωτον· τὰ γὰρ μονόπτωτα θεωροῦνται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ καὶ ἐν τῇ αἰτιατικῇ καὶ μετὰ διαφόρου ἄρθρου, οἷον οἱ πέντε τῶν πέντε τοῖς πέντε τοὺς πέντε, τὰ δ' ἄκλιτα ἐν τῇ εὐθείᾳ μόνῃ θεωροῦνται καὶ οὐδέποτε οὔτε ἐν τῇ γενικῇ οὔτε ἐν τῇ δοτικῇ οὔτε ἐν τῇ αἰτιατικῇ, οἷον ὡς ἐπὶ τοῦ ὄφελος· τοῦτο γὰρ ἐν τῇ εὐθείᾳ μόνῃ θεωρεῖται, ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ οὐδέποτε θεωρεῖται· καὶ ὡς ἐπὶ τοῦ δώς, οἷον δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα (σημαίνει δὲ τὴν δόσιν)· καὶ τοῦτο γὰρ ἐν τῇ εὐθείᾳ μόνῃ θεωρεῖται. Εἰ ἄρα οὖν τὰ ὀνόματα τῶν στοιχείων θεωροῦνται καὶ ἐν ταῖς ἑξῆς πτώσεσι μετὰ διαφόρου ἄρθρου, οἷον τὸ ἄλφα τοῦ ἄλφα, τῷ ἄλφα, τὸ βῆτα, τοῦ βῆτα, τῷ βῆτα, δῆλον ὅτι μονόπτωτά εἰσι καὶ οὐκ ἄκλιτα». Τὸ ἐπίθετον ἄκλιτον - ἄκλιτα ἀπαντᾷ παρὰ τῷ Χοιροβοσκῷ καὶ σελ. 361, 10 καὶ σελ. 368, 31 καὶ σελ. 391, 10, τὸ δὲ μονόπτωτον-μονόπτωτα φέρεται παρ' αὐτῷ καὶ σελ. 124, 1 καὶ 4 καὶ σελ. 406, 28 καὶ ἐν τοῖς Ἐπιμερ. εἰς Ψαλτήρ. σελ. 83, 12 κέ. καὶ παρὰ τῷ Σουίδᾳ σελ. 51, 6', 42 Βεκκ. καὶ παρ' Ἀπολλωνίῳ τῷ Ἀλεξανδρεῖ περὶ Συντάξ. σελ 29, 1· ἔτι δ' ἐν τοῖς Βεκκήρου Ἑλλην. Ἀνεκδότοις σελ. 861, 1-20 ( Ἴδε καὶ Λοβέκκιον ἐν

Παραλειπ. σελ. 183). Εἶνε δ' εἰρημένον ὑπὸ τοῦ Χοιροβοσκοῦ καὶ οὐ κλίνεται ἐν τοῖς εἰς τὸ Ψαλτήριον Ἐπιμερισμοῖς σελ. 11, 1 «χωρὶς τῶν τῷ Λ παραληγομένων, οἷον ἅλας ἅλατος, ἐρυσίπελας (νόσος) ἐρυσιπέλατος, εἰ δὲ μὴ οὐ κλίνεται, οἷον δέμας (σῶμα), δέπας κτέ.». Πολλάκις τῷ ἐπιθέτῳ ἄκλιτος καὶ ἄκλιτον - ἄκλιτα ἐχρήσατο Ἀπολλώνιος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ Συντάξ. σελ. 29, 22 καὶ σελ. 176, 5 καὶ σελ. 177, 17 κέ. καὶ σελ. 180, 16 Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Α', α', σελ. 1217. Μνημονεύεται δ' ἐν αὐτῷ καὶ ἐπίρρημα ἀκλίτως.

Ὑπάρχει καὶ ἐπίθετον μονόκλιτον - μονόκλιτα ἀπαντῶν ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 314, 23 «ἀπὸ δὲ τοῦ σφῶε παράγωγος ἀντωνυμία οὐ γίνεται διὰ τὸ μονόκλιτον αὐτῆς» καὶ ἐν τοῖς Ἐπιμερισμοῖς τοῦ Ψευδηρῳδιανοῦ σελ. 191 Βοισσ. «σὺν τούτοις καὶ τὰ Ἑβραϊκὰ καὶ μονόκλιτα· οἷον Σαμψών, Ἀαρών». Παράδοξον ἡμῖν φαίνεται τὸ ὑπὸ τοῦ Σουίδα εἰρημένον σελ. 945 Βεκκ. «σεραφὶμ πληθυντικῶς διὰ τοῦ Ι· ἐπὶ δὲ ἑνικοῦ σεραφεὶμ διὰ διφθόγγου». Ὁ Βοισσονάδης γράφει ἐν τοῖς Ἑλληνικοῖς Ἀνεκδότοις Τόμ. Ε', σελ. 489 «Psalm. LXXIX, 1: ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι. Moschopulus II. σχ. p. 89: τὸ δὲ Χερουβεὶμ καὶ Σεραφεὶμ διφορεῖται· ἐπὶ μὲν τῆς ἑνικῆς πτώσεως διὰ τῆς ΕΙ διφθόγγου γράφεται.. ἐπὶ δὲ πληθυντικῆς, διὰ τοῦ ἰῶτα. Joannes Chrys Sel. p. 110: ὅταν οὖν ἴδῃς τὰ Σεραφεὶμ τὰ περιϊπτάμενα τὸν θρόνον τὸν ὑψηλὸν ἐκεῖνον καὶ ἐπηρμένον, τῇ προβολῇ τῶν πτερύγων ἀποτειχίζοντα τὰς ἑαυτῶν ὄψεις· rescribendum Σεραφίμ, e regula, et ex Isaiaxe verbis VI, 2, quae auctor expressit». Ὑπομιμνήσκομεν δ' ὅτι ὁ Ἰώσηπος ἔγραψεν Ἄδαμος ἀντὶ τοῦ Ἀδάμ καὶ Ἄβελος ἀντὶ τοῦ Ἄβελ καὶ Γολίαθος ἀντὶ τοῦ Γολιάθ, κτλ. καὶ Δαυΐδης ἀντὶ τοῦ Δαΐδ καὶ Ῥαχήλα ἀντὶ τοῦ Ῥαχήλ, κτλ. Παρατιθέμεθα ἃ ὁ συγγραφεὺς οὗτος λέγει Ἰουδ. Ἀρχαιολ. Α', Ϛ', 1 «τὰ γὰρ ὀνόματα διὰ τὸ τῆς γραφῆς εὐπρεπὲς ἡλλήνισται πρὸς ἡδονὴν τῶν ἐντευξομένων· οὐ γὰρ ἐπιχώριος ἡμῖν ὁ τοιοῦτος αὐτῶν τύπος, ἀλλ' ἕν τε αὐτῶν σχῆμα καὶ τελευτὴ μία. Νώεός γέ τοι Νῶε καλεῖται καὶ τοῦτον τὸν τύπον ἐπὶ παντὸς τηρεῖ σχήματος».

Ὡς δ' ἐλέχθη ἄκλιτα καὶ μονόκλιτα, οὕτω δύσκλιτα ὑπὸ τοῦ Εὐσταθίου Παρεκβ. εἰς Ὅμ. σελ. 1815, 5 «Ἡρακλείδης δ' ἐν οἷς

περὶ δυσκλίτων ῥημάτων γράφει ἀρισφαλὲς ἔμμεναι οὖδας φησὶ γράφεσθαι οὐκ ἄλλως (γρ. οὐ καλῶς) ὑπό τινων» καὶ ὑπὸ τοῦ συγγραφέως τοῦ Μεγάλου Ἐτυμολογικοῦ σελ. 809, 34 «περὶ τοῦ χεύσω καὶ πνεύσω μέλλοντος εὗρον ἐγὼ ἐν τοῖς Εὐλογίου τοῦ σχολαστικοῦ δυσκλίτοις ῥήμασι μὴ εἶναι ἀπὸ τοῦ χέω καὶ πνέω κατὰ πλεονασμόν».

ἐπὶ τὸ ἄρρεν τρέπονται οἱ ἐκ τούτου τοῦ ἔρωτος ἐπίπνοι» καὶ σελ. 211, Α' «πρῶτον μὲν ἀεὶ ὂν καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον οὔτε αὐξανόμενον οὔτε φθῖνον, ἔπειτα οὐ τῇ μὲν καλόν, τῇ δ' αἰσχρὸν κτέ» καὶ Πολιτ. σελ. 337, Ε'» πῶς γὰρ ἄν, ἔφην ἐγώ, ὦ βέλτιστε, τὶς ἀποκρίναιτο πρῶτον μὲν μὴ εἰδὼς μηδὲ φάσκων εἰδέναι, ἔπειτα, εἴ τι καὶ οἴεται περὶ τούτων, ἀπειρημένον αὐτῷ εἴη, κτέ;» καὶ σελ. 343, Δ' «πρῶτον μὲν ἐν τοῖς πρὸς ἀλλήλους ξυμβολαίοις—ἔπειτα ἐν τοῖς πρὸς τὴν πόλιν» καὶ σελ. 406, Β' «ἀπέκναισε πρῶτον μὲν καὶ μάλιστα ἑαυτόν, ἔπειτα ἄλλους ὕστερον πολλούς» καὶ σελ. 550, Δ' «πρῶτον μὲν γὰρ δαπάνας αὑτοῖς ἐξευρίσκουσι καὶ τοὺς νόμους ἐπὶ τοῦτο παράγουσιν — ἔπειτά γε, οἶμαι, ἄλλος ἄλλον ὁρῶν καὶ εἰς ζῆλον ἰὼν τὸ πλῆθος τοιοῦτον αὑτῶν ἀπειργάσαντο» καὶ σελ. 591, Γ' «πρῶτον μὲν τὰ μαθήματα τιμῶν —ἔπειτά γ', εἶπον, τὴν τοῦ σώματος ἕξιν καὶ τροφὴν κτέ.» καὶ Φαίδρ. σελ. 263, Β' «οὐκοῦν τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι πρῶτον μὲν δεῖ ταῦτα ὁδῷ διῃρῆσθαι — ἔπειτά γε, οἶμαι, πρὸς ἑκάστῳ γιγνόμενον μὴ λανθάνειν» καὶ Τιμ. σελ. 70, Γ' «πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν, οἷον, σπόγγου κατατετρημένας» καὶ Νόμ. σελ. 640, Ε' «πρῶτον μὲν δῆλον ὡς ἀγνοεῖ τοῦτ' αὐτὸ γιγνόμενον οὐκ ὀρθῶς, εἶθ' ὅτι πᾶν τούτῳ τῷ τρόπῳ φανεῖται πονηρόν». Πρβ. καὶ Πολιτ. σελ. 545, Β' «καὶ νῦν οὕτω πρῶτον μὲν τὴν φιλότιμον σκεπτέον πολιτείαν—ἔπειτα ὀλιγαρχίαν καὶ ἄνδρα ὀλιγαρχικόν, **αὖθις δὲ** εἰς δημοκρατίαν ἀποβλέψαντες θεασόμεθα ἄνδρα δημοκρατικόν, **τὸ δὲ τέταρτον** εἰς τυραννουμένην πόλιν ἐλθόντες καὶ ἰδόντες κτέ.» καὶ Φίληβ. σελ. 15, Β' «πρῶτον μέν, εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν ἀληθῶς οὔσας· εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότατα μίαν ταύτην· μετὰ δὲ τοῦτ' ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις κτέ.». Ὁ Σταλβαύμιος σημειοῦται ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Β', σελ. 45 ἐκδ. 6' «Solet ita ἔπειτα et εἶτα post πρῶτον μέν similesque formulas omisso δέ passim inferri v. Phaedon. p. 86. E. Protagor. p. 339. E. *Demosth.* Midian. p. 43. ed. Buttm. al. Sic τέως μέν sequente εἶτα legitur apud Xenoph. Hellen. II, 2, 17. et μάλιστα μέν - ἔπειτα apud Plat. Sophist. p. 265. E».

Λυσ. κατὰ Ἀγορ. 4 «πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη καὶ ὑφ' ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' Ἀγοράτου ἀπέθανον» καὶ 27 «πρῶτον μὲν γὰρ Ἀθηναῖοι ἦσαν, ὥστε οὐκ ἐδέδισαν βασανισθῆναι· ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι ἦσαν συνεκπλεῖν μετὰ σοῦ» καὶ «σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομείναντι, ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ κατέλιπες». Ἐν τῇ δευτέρᾳ Κοβητείῳ τοῦ Λυσίου ἐκδόσει φέρεται σελ. 107 «ἔπειτα δ' ᾧ τρόπῳ» καὶ σελ. 112 «ἔπειτα δ' οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες». Ἔγραψε δ' ὁ Ἑρουερδὴν ἐν τῇ Μνημοσύνῃ 1897. σελ 222 «πρῶτον μὲν et ἔπειτα sine δέ passim apud optimum quemque scriptorem sibi respondent. quare miror Cobetum hic edidisse ἔπειτα δ' ᾧ τρόπῳ κτλ. et similiter § 27».

Ἰσαί. περὶ τοῦ Πύρρ. κλήρ. 8 «ἐπιθυμῶ δὲ πρῶτον μὲν περὶ αὐτοῦ τούτου πυθέσθαι — εἶτα πότερον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα ἢ τελευτήσαντος τὸν οἶκον αὐτοῦ».

Ἰσοκρ. Ἀρχιδ. 32 «φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων τὴν χώραν λαβόντες — ἔπειτα κατὰ πόλεμον αὐτὴν ἑλόντες, ὅνπερ τρόπον αἱ πλεῖσται τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν» καὶ 62 «ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ πάντα μεθ' ἡμῶν εἰσίν, ἀλλ' ὑπέρ γε τῆς σωτηρίας τῆς ἡμετέρας ὁτιοῦν ἂν ποιήσαντας· ἔπειτα τῶν ἄλλων πόλεων ἔστιν ἃς ὁμοίως ἂν ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὥσπερ περὶ τῶν αὑταῖς βουλευσαμένας» καὶ Ἀρεοπαγ. 70 «πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος οὐκ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας, ἔπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας» καὶ Εὐαγ. 53 «πρῶτον μὲν γὰρ οὐκ ἔφθασαν ἀλλήλοις πλησιάσαντες καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας· ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν» καὶ 74 «προκρίνω δὲ ταύτας πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ γνώμῃ φιλοτιμουμένους· ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μονοις, παρ' οἷς ἂν σταθῶσι κτέ.» (Πρβ. καὶ § 41) καὶ Παναθην. 7 «πρῶτον μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγιείας, οὐχ ὡς ἔτυχον ἀλλ' ἐναμίλλως τοῖς μάλιστα περὶ ἑκάτερον τούτων εὐτυχηκόσιν

(ηὐτυχηκόσιν), ἔπειτα τῆς περὶ τὸν βίον εὐπορίας, ὥστε μηδενὸς πώποτ' ἀπορῆσαι τῶν μετρίων» καὶ 30 «πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι— ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι» καὶ 37 «πρῶτον μὲν τῶν εἰθισμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως ἡμῶν, ἔπειτα τῶν χαριέντως μέν, ἀπειροτέρως δὲ καὶ καταδεεστέρως ἐπαινούντων αὐτήν» καὶ 68 «πρῶτον μὲν γὰρ οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ' ἐποίουν — ἔπειτ' οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον ἀλλ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας, κτέ.». Ἐν τῷ Τραπεζιτικῷ, οὗ ἡ γνησιότης ἀμφιβάλλεται ὑπό τινων, ἀναγινώσκεται § 40 «πρῶτον μὲν γὰρ ὑμῖν μάρτυρας παρέξομαι τοὺς εἰδότας πολλά μοι χρήματα ἐκ τοῦ Πόντου κομισθέντα, ἔπειτα δὲ τοὺς ὁρῶντάς με τῇ τούτου τραπέζῃ χρώμενον, ἔτι δὲ κτλ.». Ἀλλ' ὁ Οὐερφῆρος ἐν *Act. Phil. Mon.* Τόμ. Α', σελ. 253 παρέγγραπτον νομίζων τὸν σύνδεσμον δέ, ὡς μαχομένης τῆς μετὰ τὸ πρῶτον μέν χρήσεως τοῦ ἔπειτα δέ τῇ τοῦ Ἰσοκράτους συνηθείᾳ, ἀποφαίνεται ὅτι πρέπει νὰ ἐκβληθῇ. Ἐν ἄλλῳ τόπῳ τοῦ αὐτοῦ λόγου § 17 φέρουσι τἀντίγραφα οὐ μόνον «πρῶτον μὲν αὐτὸς ἀφανίσας ὑφ' ἡμῶν αὐτὸν ᾐτιᾶτο ἠφανίσθαι, ἔπειτα συλληφθέντα ὡς ἐλεύθερον ὄντα διεκώλυε βασανίζεσθαι, μετὰ δὲ ταῦθ' ὡς δοῦλον ἐκδοὺς κτέ.» ἀλλὰ καὶ «ἔπειτα δὲ συλληφθέντα κτέ.», ὅπερ ἀποδοκιμάζει ὁ ἀοίδιμος Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 261 γράφων «Ἔπειτα: Τὸ ἐμὸν ἀντίγραφον φέρει, Ἔπειτα δὲ, διὰ τὸ προηγησάμενον, Πρῶτον μὲν, προσθέντος τινὸς οὐκ ὀρθῶς τὸν σύνδεσμον· τὸ γὰρ, Ἔπειτα, καὶ καθ' ἑαυτὸ πληροῖ τὴν ἀνταπόδοσιν, περὶ οὗ ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 63)». Σημειωτέον δ' ὅτι μετὰ τὸ μάλιστα μέν εἶνε τεθειμένον τὸ ἔπειτα δέ ὑπὸ τοῦ Ἰσοκράτους Πανηγ. 175 «αἱ δ' ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι τῆς εἰρήνης» καὶ Πλαταϊκ. 63 «ἀλλ' αὐτοὺς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας». Παρατιθέμεθα ἣν ὁ Βαιτῆρος ἐποιήσατο παρατήρησιν ἐν τῇ ἐκδόσει τοῦ Πανηγυρικοῦ σελ. 60 «ἔπειτα: Urb. Ambr. 1. ἔπειτα δὲ Vulg. Ambr. 2. Post. ἔπειτα praecedente πρῶτον μὲν particula δὲ legitime omitittur;

additae apud Isocratem iam duo tantum exempla sunt, in Trapezit § 17. (ubi praebuit eam Urbinas) et § 40. Similiter δὲ sustulit optimus liber post ἔπειτα relatum ad μάλιστα μὲν in Philipp. § 75. et Epist. vi § 2. Sed addita est sine varietate Plat § 63». Ἴδε καὶ Ὄθ. Σνειδῆρον εἰς Ἰσοκρ. Τόμ. Α', σελ. 54 ἐκδ. γ'. Ἄξια μάλιστα ἀναγνώσεως εἶνε τὰ διειλημμένα ὑπὸ τοῦ S. Ljungdahl ἐν τῷ De transitionibus Isocrateis σελ. 44 κέ.

Δημοσθ. σελ. 18, 1 «ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ» καὶ σελ. 44, 16 «πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσιν» καὶ σελ. 49, 34 «καὶ ἔτι πρὸς τούτῳ πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε — ἔπειτα τί πρὸς τούτῳ;» καὶ σελ. 66.3 «πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβουλεύειν — ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου συνείητε, ἄμεινον Φιλίππου παρεσκεύασθε» καὶ σελ. 113, 9 «πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέγει» καὶ σελ. 226, 1 «πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν» (Φέρεται δὲ εἰς τὸ ἔπειθ' τὸ θαυμάσιον τόδε σχόλιον «Ἔπειθ': Τὸ ἔπειτα ἐνταῦθα ἰσοδυναμεῖ τῷ δέ συνδέσμῳ, ἵνα μὴ ζήτησις γένηται διὰ τί εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε τὸν δέ») καὶ σελ. 500, 141 «πρῶτον μὲν μόνοι τῶν πάντων ἀνθρώπων ἐπὶ τοῖς τελευτήσασι δημοσίᾳ ποιεῖτε λόγους ἐπιταφίους— εἶτα μεγίστας δίδοτε ἐκ παντὸς τοῦ χρόνου δωρεὰς τοῖς τοὺς γυμνικοὺς νικῶσιν ἀγῶνας τοὺς στεφανίτας» καὶ σελ. 648, 84 «πρῶτον μὲν γάρ, ἐάν τις ἀποκτείνῃ γράφων, οὐ προσέγραψεν ἀδίκως οὐδὲ βιαίως οὐδ' ὅλως οὐδέν· εἶτα πρὸ τοῦ δίκην ἀξιῶσαι λαβεῖν εὐθὺς ἔγραψεν ἀγώγιμον εἶναι» καὶ Ψευδοδημοσθ. σελ. 1158, 62 «πρῶτον μὲν τὴν καταδίκην ἀπολαμβάνειν καὶ ἀκολουθεῖν ἐπὶ τὴν τράπεζαν,

ἔπειτα τὴν ἄνθρωπον θεραπεύειν, ἣν συνέκοψαν». Ὁ Βασιάδης σημειοῦται ἐν τῇ ἐκδόσει λόγων τοῦ Δημοσθένους σελ. 116 «Πρῶτον μέν: μετὰ τὸ πρῶτον οὐ τίθεται δεύτερον, τρίτον, ἀλλ', εἶτα, ἔπειτα, ὕστερον, καὶ πολλάκις ἄνευ δέ· ἴδ. § 16. 34. Γ. § 9. πρῶτον μὲν μαίνεται, ἔπειτα — λέγει. Βιγερ. σελ. 537». Ἀνάληθες τοῦτο εἶνε, ὅτι, ἡγουμένου τοῦ πρῶτον μέν, δὲν ἐπιφέρεται δεύτερον (δὲ) τρίτον (δέ). Περὶ τοῦ παρὰ τῷ ῥήτορι σελ. 315, 267 «καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, ἔπειτα (δὲ) οὗτοι πάντες ἀπολέσειαν» ἔγραψεν ὁ Σχαιφῆρος ἐν *Apparat. Crit. et. Exeget ad Demosth.* Τόμ. Β', σελ. 348 «Particula δὲ facile caremus Iis quae monui Melet. Crit. p. 61. adde mea in H. Stephani Thesauro c. 7982. C. cum Heindorfianis in Schneideri editione Memorabilium Xenoph III 11, 14. Hoc syntaxis graecae idioma vix credas quoties viros doctos fefellerit V Schneiderus ad Xenophont. Cyrop. III. 3. 52. et IV. 5 20. it Kiesslingius ad Jamblichi Protrept. p. 36 In contrariam peccavit partem Reiskius particulam insontem suspectans in Dionysio Halic. T IV. p. 2322., ad q l. perperam haec notavit p 2409 b.» δὲ post ἔπειτα frequentari non solet quare delendum videtur». Ἴδε καὶ Ῥεδάντζιον ἐν Πίν. εἰς Δημοσθ. σελ 253 (σελ. 103 Βλασσ.).

Αἰσχίν. κατὰ Τιμάρ. 9 «πρῶτον μὲν ἣν ὥραν προσήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων παίδων εἰσιέναι καὶ πηνίκα ἀπιέναι» καὶ 47 «πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται, ἔπειτα οὐδὲν ἔστ' αὐτῷ πλέον» καὶ 93 «πρῶτον μὲν μηδὲν ὑμῖν ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ Τιμάρχου τουτουί, ἔπειτα τὸ πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ παρόντος ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου» καὶ 125 «πρῶτον μὲν γὰρ τὴν ἐν Κολωνῷ συνοικίαν τὴν Δήμωνος καλουμένην ψευδῆ φησι τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος· ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον οὐκ Ἀνδοκίδου ἀλλ' Αἰγῇδος φυλῆς εἶναι ἀνάθημα» (Πρβ. καὶ 160-1) καὶ κατὰ Κτησιφ. 69 «πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι — ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα» καὶ 70 «πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων

πρεσβείαις ἱκανὸν παραγενέσθαι κατασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι» καὶ 88 «καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς ἄνδρες ἐγένοντο ἀγαθοὶ κτέ» καὶ 187 «ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς—ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον ἀλλ' οὐ χρυσῷ»

Ὑπερειδ. κατὰ Φιλιππίδ. 2 «ὅτι πρῶτον μὲν οὐ παρ' ἑτέρου σ' ἔδει μαθεῖν ὅτι ὁ δῆμος χάριτας ἀποδίδωσιν τοῖς εὐεργέταις—ἔπειθ' ὅτι ἐν νόμῳ γράψας ὁ δῆμος ἀπεῖπεν μήτε λέγειν ἐξεῖναι μηδενὶ κακῶς Ἁρμόδιον καὶ Ἀριστογείτονα μήτ' ᾆσαι ἐπὶ τὰ κακίονα» καὶ κατὰ Ἀθηνογ. (5 «ἵνα πρῶτον μὲν μηδεὶς παρενοχλῇ μηδὲ διαφθείρῃ τὸν Μίδαν, εἶτ' αὐτοὶ μὴ ἐγχειρῶσι πονηρεύεσθαι» καὶ) 33 «πρῶτον μὲν τὸν νόμον ὃς οὐκ ἐᾷ τοὺς μετοίκους ἐξοικεῖν ἐν τῷ πολέμῳ — ἔπειτα τὴν Τροιζηνίων μαρτυρίαν».

Λυκοῦργ. κατὰ Λεωκρ. 19 «καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας ἁπάντων, πρῶτον μὲν τὰς τῶν γειτόνων καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων—ἔπειτα τῶν παραγενομένων εἰς Ῥόδον, ὅτε Λεωκράτης ταῦτ' ἀπήγγελλε, **μετὰ δὲ ταῦτα** τὴν Φορκίνου μαρτυρίαν» καὶ 55 «πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα ἐμβαίνουσιν οἱ κατ' ἐμπορίαν πλέοντες ἀλλ' ἐκ τοῦ λιμένος ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν ἀλλὰ μόνος μετὰ παιδὸς τοῦ διακονοῦντος» καὶ 118 «καί μοι λαβὲ πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην». Ὁ Μαιτζνῆρος γράφει ἐν τῇ ἐκδόσει τοῦ κατὰ Λεωκράτους λόγου τοῦ Λυκούργου σελ. 113 «πρῶτον μὲν—ἔπειτα. Particula δέ post ἔπειτα non est necessaria. praecedente πρῶτον μέν: quae res nonnumquam fefellit viros doctos. Conf ap. nostr. § 55. 118. Heindorf. et Stallbaum ad Platon Phaedon p. 86. E. Schaefer appar. ad Dem. II. p 348. Hartung. de gr. linguae particulis II. p. 404». Παράδοξον ἡμῖν φαίνεται ὅτι ὁ Ἑρουερδὴν ἐν τῇ Μνημοσύνῃ 1862, σελ. 64 κέ. προσθεὶς τὸν σύνδεσμον δέ ἀνέγνω «ἔπειτα δὲ

τῶν παραγενομένων εἰς Ῥόδον κτέ.» καὶ «ἔπειτα δ' οὐ μετὰ τῆς ἑταίρας».

Ἱπποκρ. περὶ Ἀέρ. Ὑδ. Τόπ. Γ' (Τόμ. Α', σελ. 244 Ἑρμ.) «πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι, ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νόσου (νούσου) καὶ οὐ φύσι ἐκτιτρώσκεσθαί τε πυκνά» καὶ Ε' (σελ. 248) «πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν· ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολὰς ἐστί, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδεα». Σημειοῦται δ' ὁ Ἑρμερίνσιος «πρῶτον μὲν γὰρ κ. τ. λ.: Ita scripsi e Korais coniectura. Vulgo πρότερον, qui comparativus quin e sequ. μετριώτερον ortus sit, nullus ego dubito, ita ut eruditissimi viri emendationem lubens amplectar».

Οὐχὶ ὀλιγάκις γίνεται χρῆσις τοῦ πληθυντικοῦ πρῶτα ἀντὶ τοῦ πρῶτον (Πρβ. Ἐφημερ. Φιλομαθ. 1878, σελ. 2 κέ.)· ὅθεν λέγεται πρῶτα μὲν-ἔπειτα ἢ πρῶτα μὲν-εἶτα.

Σοφοκλ. Ἠλ. 261 «ᾗ πρῶτα μὲν τὰ μητρός, ἥ μ' ἐγείνατο, ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς ξύνειμι» καὶ Τραχιν. 615 «ἀλλ' ἕρπε καὶ φύλασσε πρῶτα μὲν νόμον—ἔπειθ' ὅπως ἂν ἡ χάρις κείνου τέ σοι κἀμοῦ ξυνελθοῦσ' ἐξ ἁπλῆς διπλῆ φανῇ» καὶ Ἀποσπ. 234 Ναυκ. «πρῶτα μὲν λαμπρᾶς ἕω κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας· εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον» Πρβ καὶ Εὐριπ. Ἀπόσπ. 360, 5 Ναυκ.

Ἀριστοφ. Ὄρν. 114 «ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ ποτε—εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν καὶ γῆν ἐπέπτου καὶ θάλατταν ἐν κύκλῳ» καὶ Σφ. 115 «καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο· εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ'· ὁ δ' οὐ μάλα» καὶ 1104 «πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῷον ἠρεθισμένον μᾶλλον ὀξύθυμόν ἐστιν οὐδὲ δυσκολώτερον· εἶτα τἄλλ' ὅμοια σφηξὶ μηχανώμεθα» καὶ 1277 «πρῶτα μὲν ἅπασι φίλον ἀνέρα σοφώτατον καὶ κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο — εἶτ' Ἀριφράδην (Δινδ. Ἀριφράδη) πολύ τι θυμοσοφικώτατον» καὶ Πλούτ. 771 «καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον, ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο» (Πρβ. Ναύκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπ. τῶν Ἑλλήν. Τραγικῶν σελ. 851, 62 ἐκδ. β'.). Ἐποιήσατο

δὲ χρῆσιν ὁ κωμικὸς τοῦ πρῶτα μέν - εἶτα καὶ ἐν Εἰρ. στ. 605.

Ἀντιφ. Ἀποσπ. 1 Κοκκ. «καὶ πρῶτα μὲν αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον· ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη» καὶ Τιμοκλ. Ἀποσπ. 16 «νυκτερεύσας δ' ἀθλίως πρῶτα μὲν σκληρῶς καθεῦδον, εἶτα Θούδιππος βδέων παντελῶς ἔπηξεν ἡμᾶς».

Θουκυδ. ϛ', 39, 1 «ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους».

Παρατηρητέον δ' ὅτι οὐχὶ ὀλιγάκις, ἡγουμένου τοῦ πρῶτον μέν ἐπιφέρεται τὸ ἔπειτα - ἔπειτα ἢ εἶτα - εἶτα, οἷον

Λυσ. κατὰ Εὐάνδρ. 23 «πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν χρήματα λαβὼν μετέστησε καὶ τῆς συμμαχίας ὑμᾶς ταύτης ἀπεστέρησεν, ἔπειτα ὅτι τὰς ναῦς προύδωκε καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν, ἔπειτα ὅτι παρὰ τῶν αἰχμαλώτων, οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν» καὶ κατὰ Ἀγορ. 97 «ἐὰν οὖν τἀναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ ὁμόψηφοι (τοῖς ἐχθροῖς) γίγνεσθε, ἔπειτα τοῖς ὑμετέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε, ἔπειτα τοῖς πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι». Σημειωτέον δ' ὅτι ὑπὸ τοῦ Κοβήτου ἀνεγνώσθη «οὐχ ὁμόψηφοι γίγνεσθε (τοῖς τῆς πατρίδος ἀλιτηρίοις). Ἴδε καὶ Thalheim ἐν τῇ ἐκδόσει τοῦ Λυσίου σελ. 170.

Ἰσαῖ. περὶ τοῦ Ἀστυφ. κλήρ. 36 «πρῶτον μὲν τοὺς ἐχθίστους Ἀστυφίλου ἐπί τε τὰ μνήματα ἰέναι καὶ ἐπὶ τὰ ἱερὰ τὰ ἐκείνου ποιήσετε· ἔπειτα τὰς Εὐθυκράτους ἐπισκήψεις, τοῦ πατρὸς τοῦ Ἀστυφίλου, ἀκύρους ποιήσετε, ἃς αὐτὸς πρότερον ἀπέθανεν ἢ παραβῆναι· ἔπειτα τετελευτηκότα Ἀστύφιλον παρανοίας αἱρήσετε».

Δημοσθ. σελ. 252, 79 «πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, εἶτα τὴν εἰς Εὔβοιαν — εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον» καὶ σελ. 364,72 «πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡγησίππου κατηγορήσειν» καὶ σελ. 391, 161 «λέγε πρῶτον μὲν τὸ ψήφισμα — εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, εἶτα τὸ Φιλοκράτους ψήφισμα καὶ τὸ τοῦ δήμου» καὶ σελ. 395, 174 «πρῶτον μὲν τοίνυν Φωκέας ἐκσπόνδους καὶ Ἀλέας ἀπέφηναν καὶ Κερσοβλέπτην

παρὰ τὸ ψήφισμα καὶ τὰ πρὸς ὑμᾶς εἰρημένα· εἶτα τὸ ψήφισμα ἐπεχείρησαν κινεῖν καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες ἥκομεν· εἶτα Καρδιανοὺς Φιλίππῳ συμμάχους ἐνέγραψαν» καὶ σελ. 399, 185 «ὑμῖν δὲ πρῶτον μὲν τὴν βουλὴν ἀκοῦσαι περὶ πάντων καὶ προβουλεῦσαι δεῖ — εἶτ' ἐκκλησίαν ποιῆσαι — εἶτα κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα λέγοντας τῶν ἢ δι' ἄγνοιαν ἢ διὰ μοχθηρίαν ἀντιλεγόντων» καὶ σελ. 856, 39 «πρῶτον μὲν περὶ τῆς προικός, εἶθ' ὑπὲρ ὧν καθυφεῖκεν, εἶθ' ὑπὲρ τῶν ἄλλων, ἀναγνώσεται τούς τε νόμους καὶ τὰς μαρτυρίας, ἵν' εἰδῆτε». Πρβ. σελ. 287, 177 «πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων — ἔπειτ' ἐξελθόντας Ἐλευσινάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας» καὶ σ. 305, 235 «πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ ὢν — εἶθ' οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων ηὐπόρει».

Πλάτ. Φαίδ. σελ. 89, Α΄ «ἀλλ' ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα ἡμῶν ὡς ὀξέως ᾔσθετο ὃ ἐπεπόνθειμεν ὑπὸ τῶν λόγων, ἔπειτα ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥσπερ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο» καὶ Συμποσ. σελ. 181, Β΄ «ἐρῶσι δὲ οἱ τοιοῦτοι πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων, ἔπειτα ὧν καὶ ἐρῶσι τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν, ἔπειτα ὡς ἂν δυνωνται ἀνοητοτάτων, πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες, ἀμελοῦντες δὲ τοῦ καλῶς ἢ μή» καὶ Μέν. σελ. 90, Α΄ «Ἄνυτος γὰρ ὅδε πρῶτον μέν ἐστι πατρὸς πλουσίου τε καὶ σοφοῦ Ἀνθεμίωνος— —ἔπειτα καὶ τὰ ἄλλα οὐχ ὑπερήφανος δοκῶν εἶναι πολίτης οὐδὲ ὀγκώδης τε καὶ ἐπαχθὴς ἀλλὰ κόσμιος καὶ εὐσταλὴς ἀνήρ· ἔπειτα τοῦτον εὖ ἔθρεψε καὶ ἐπαίδευσεν, ὡς δοκεῖ Ἀθηναίων τῷ πλήθει» καὶ Κρατύλ. σελ. 426, Δ΄ «πρῶτον μὲν ἐν αὐτῷ τῷ ῥεῖν καὶ ῥοῇ διὰ τούτου τοῦ γράμματος τὴν φορὰν μιμεῖται, εἶτα ἐν τῷ τρόμῳ, εἶτα ἐν τῷ τρέχειν, **ἔτι δὲ** ἐν τοῖς τοιοῖσδε ῥήμασιν, οἷον κρούειν, θραύειν κτέ.». Πρβ. καὶ Θεαίτ. σελ. 194, Δ΄ «εἰσὶν οἱ τοιοῦτοι πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες, εἶτα οὐ παραλλάττουσι τῶν αἰσθήσεων τὰ σημεῖα, ἀλλὰ δοξάζουσιν ἀληθῆ» καὶ Εὐριπ. Μήδ. 548 «ἐν τῷδε δείξω πρῶτΑ μὲν σοφὸς γεγώς, ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος καὶ παισὶ τοῖς ἐμοῖσιν» καὶ Ἀριστοφ. Βατρ. 1189 «ὅτε

δὴ πρῶτον μὲν αὐτὸν γενόμενον, χειμῶνος ὄντος, ἐξέθεσαν ἐν ὀστράκῳ, ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς, εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε, ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος».

Ξενοφ. Κυνηγ. ΙΓ' 12 «μὴ ἑλόντες δὲ πρῶτον μὲν ὅτι πάσης τῆς πόλεως ἐχθροῖς ἐπιχειροῦσιν ἔπαινον ἔσχον, ἔπειτα ὅτι οὔτ' ἐπ' ἀνδρὸς βλάβῃ οὔτε φιλοκερδείᾳ ἔρχονται· ἔπειτα ἐξ αὐτοῦ τοῦ ἐπιχειρήματος βελτίους γίγνονται πρὸς πολλὰ καὶ σοφώτεροι δι' οὗ διδάξομεν». Ὑπὸ τοῦ Ξενοφῶντος (ἢ Ψευδοξενοφῶντος) εἶνε εἰρημένον ἐν τῇ Ἀθηναίων Πολιτείᾳ Α', 17 «πρῶτον μὲν γὰρ ἡ ἑκατοστὴ τῇ πόλει πλείων ἡ ἐν Πειραιεῖ· ἔπειτα εἴ τῳ συνοικία ἐστίν, ἄμεινον πράττει· ἔπειτα εἴ τῳ ζεῦγος ἐστὶν ἢ ἀνδράποδον μισθοφοροῦν· ἔπειτα οἱ κήρυκες ἄμεινον πράττουσι διὰ τὰς ἐπιδημίας τὰς τῶν συμμάχων· πρὸς δὲ τούτοις κτέ.», ᾧ ὅμοιον εἶνε τὸ ἐν Κρατύλῳ τοῦ Πλάτωνος κείμενον σελ. 437, Α'-Β'. Πρβ. καὶ Θεόφραστον Ἀδολεσχ. (σελ. 6, 25 Τευβν.) «πρῶτον μὲν τῆς αὐτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα, ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν· εἶτα δή, προχωροῦντος τοῦ πράγματος, λέγειν ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων».

Μνημονεύομεν καὶ τὸ ἐν τῷ Πλούτῳ τοῦ Ἀριστοφάνους ἀπαντῶν στίχ. 113. «Ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ, ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία, ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα, ἔπειτα σαυτόν, τὴν ὗν». Πρβ. καὶ Θουκυδ. Γ', 22 3 «κατ' οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν, ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη, **μετὰ δ' αὐτὸν** οἱ ἑπόμενοι ἓξ ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν». Παρασημειωτέον δ' ὅτι ὁ Ἑρουερδὴν ἐν τῇ ἐκδόσει τοῦ Θουκυδίδου Τόμ. Β, σελ. 115 περιέγραψε τό τε μετὰ τὸ θώρακι κείμενον ἀνέβαινον καὶ τὸ μετὰ τὸ πύργων.

Ἄξιον προσέτι παρατηρήσεως εἶνε ὅτι ἐλέχθη καὶ τὸ μὲν πρῶτον-ἔπειτα ἄνευ τοῦ συνδέσμου δέ ὑπὸ τοῦ Πλάτωνος Πρωταγόρ. σελ. 339, Ε' «καὶ ἐγὼ τὸ μὲν πρῶτον, ὡσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ εἰλιγγίασα, εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν

ἄλλων ἐπιθορυβησάντων· ἔπειτα, ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ, ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής, τρέπομαι πρὸς τὸν Πρόδικον» καὶ ὑπὸ τοῦ Θουκυδίδου Ε΄, 81, 1 «καὶ οἱ Μαντινῆς τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ' οὐ δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς Λακεδαιμονίοις καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν πόλεων» καὶ 84, 2 «ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον, ἔπειτα, ὡς αὐτοὺς ἠνάγκαζον οἱ Ἀθηναῖοι δῃοῦντες τὴν γῆν, ἐς πόλεμον φανερὸν κατέστησαν» καὶ Ζ΄, 34,3 «καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα, ἀρθέντος αὐτοῖς τοῦ σημείου, —ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους» καὶ Η΄, 6, 5 «καὶ τὸ μὲν πρῶτον δέκα τούτων αὐτοὶ ἔμελλον πέμψειν καὶ Μελαγχρίδαν, ὃς αὐτοῖς ναύαρχος ἦν· ἔπειτα, σεισμοῦ γενομένου, ἀντὶ τοῦ Μελαγχρίδου Χαλκιδέα ἔπεμπον». Παρατηρητέον δ' ὅτι φέρεται καὶ γραφὴ «αὐτοῖς ἔμελλον πέμψειν» ἣν προέκρινεν ὁ Οὔδιος.

Ἐν τέλει μνημονεύομεν τὴν ἐν τοῖς Νόμοις τοῦ Πλάτωνος κειμένην ῥῆσιν σελ. 669, Β΄ «δεῖ ταῦτα τρία ἔχειν, ὅ,τί ἐστι πρῶτον γιγνώσκειν ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ, τὸ τρίτον, εἴργασται κτέ.» καὶ τὴν ἐν τῷ κατὰ Τιμάρχου λόγῳ τοῦ Αἰσχίνου 7 «πρῶτον μὲν γὰρ περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων ἐνομοθέτησαν — ἔπειτα **δεύτερον** περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν». Παρατηρητέον δ' ὅτι ἀναγνοὺς ὁ Βλάσσιος ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ § 1 «ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, ἔπειτα τοῖς νόμοις» ἐσημειώσατο σελ. 175 «ἔπειτα W.: ἔπειτα δεύτερον A, ἔπειτα δεύτερον δὲ cett. (Fr.) Cf 1, 7».

ΣΗΜ. Α΄. Παρεθέμεθα ἐν τοῖς ἄνω σελ. 340 ῥῆσιν ἐκ τῆς Πολιτείας τοῦ Πλάτωνος σελ. 337, Ε΄. Παρατηροῦμεν δ' ὅτι εἶνε γεγραμμένον ἐν τῇ ῥήσει ταύτῃ ὑπ' ἄλλων μὲν «πῶς γὰρ ἄν, ἔφην ἐγώ, ὦ βέλτιστε, τὶς ἀποκρίναιτο κτέ.», ὑπ' ἄλλων δὲ «πῶς γὰρ ἄν, ἔφην ἐγώ, ὦ βέλτιστέ, τις ἀποκρίναιτο κτέ.» (Ἴδε Γεώργιον Χατζιδάκιν ἐν τῇ Ἀθηνᾷ Τόμ. ΙΓ΄, σελ. 443 κέ.)

ΣΗΜ. Β΄. Ἐμνημονεύσαμεν χωρίον τοῦ Ἱπποκράτους, ἐν ᾧ φέρουσι μὲν τἀντίγραφα πρότερον μέν, ἀνέγνω δ' ὁ Κοραῆς πρῶτον μέν, ὃ ἐνεκρίθη καὶ ὑπ' ἄλλων. Παρατηρητέον δ' ὅτι κεῖται καὶ παρὰ τῷ Γαληνῷ Τόμ. Γ΄, σελ. 187 «ὥστε ἡμῖν ῥητέον ἐστί, πρότερον μὲν ὅπως γίνεται ἡ βάδισις, ἔπειτα δὲ τίνος αὐτῇ προσιόντος ἡ ἀνθρώπῳ

πρέπουσα γίνεται βάδισις» καὶ Τόμ. Δ', σελ. 390 «πρότερον μὲν τοὺς ἐντός, ἔπειτα δὲ καὶ τοὺς ἐκτός» καὶ Τόμ. Η', σελ. 792 «πρότερον μὲν τοῦ χωρίζεσθαι ἡ αἴσθησις, ἐφεξῆς δ' αὐτοῦ τοῦ κεχωρίσθαι ἡ διάγνωσις» καὶ παρὰ τῷ Λιβανίῳ Λόγ. Τόμ. Α', σελ. 638, 12 Ῥεισκ. «εὖ γε, ὦ γέρον, ἀκούσαντα ἀμεῖψαι, πολλῶν ὁρώντων, πρότερον μὲν εἰς νεανίσκον ἑαυτόν, ἔπειτα δὲ εἰς παῖδα, εἶτα κτέ.». Τὸ χωρίον τοῦτο τοῦ Λιβανίου μνημονεύει ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 136 οὐδεμίαν παρατήρησιν περὶ τοῦ πρότερον μέν ποιούμενος. Φέρεται δὲ καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 36, 21 ('Αποσπ. Κτησ. σελ. 46 Μυλλ.) «καὶ τὴν θυγατέρα Ἀμύτιν πρότερον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀχθῆναι τῷ Κύρῳ». Σημειωτέον δ' ὅτι καὶ παρὰ Φίλωνι τῷ Ἰουδαίῳ ἀπαντᾷ Τόμ. Δ', σελ. 336 «Πρότερον μὲν ἵνα τιμήσῃ τὸν τεθνηκότα (τοὺς τεθνηκότας) — δεύτερον δὲ ἵνα βεβαιότερον πιστεύσωσιν» ἀλλ' ἐν τῇ νέᾳ τοῦ συγγραφέως τούτου ἐκδόσει Τόμ. Ε', σελ. 59 εἶνε μεταβεβλημένον τὸ πρότερον εἰς τὸ πρῶτον.

Σημ. Γ'. Ἐν τῷ ἐκ τῶν Ὀρνίθων τοῦ Ἀριστοφάνους στ. 114 μνημονευθέντι χωρίῳ ἐγράψαμεν «ὥσπερ νώ ποτε» στοιχοῦντες τῇ παραδόσει, καθ' ἣν ἄνευ τοῦ ὑπογεγραμμένου Ι ἐξεφέροντο αἱ τοῦ δυϊκοῦ ἀριθμοῦ πτώσεις νώ καὶ σφώ. Τῇ παραδόσει ταύτῃ ἐπολέμησεν ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 198 διὰ λόγου σφοδροῦ· ἀπεφήνατο δ' ὅτι, ὡς ἐκ τοῦ νῶιν καὶ σφῶιν ἐγένοντο τὸ νῷν καὶ σφῷν, οὕτω δὲ καὶ ἐκ τοῦ νῶι σφῶι τὸ νῴ καὶ σφῴ. Ἀντέλεξαν δὲ τῷ Κοβήτῳ ἐχόμενος τῆς παραδόσεως ὁ Σχάνζιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τομ. Ζ', σελ. ια' καὶ ὁ Βλάσσιος ἐν τῇ ἐκδοσει τῆς τοῦ Κυνήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Τομ. Α', σελ. 594.

---

## ΚΕΦ. ΟΑ'.

### Δὲν εἶνε σπανιώτατον τὸ **πρῶτον μὲν-ἔπειτα δέ**.

Ὁ Δημ. Βερναρδάκης σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Β', σελ. 64 «ἔπειτ᾽: ἐπιφέρεται ἄνευ τοῦ

*δὲ* εἰς τὸ 357 *πρῶτα μέν*, ὅπως συνήθως παρὰ τοῖς Ἀττικοῖς» καὶ σελ. 408 «Τὸ *ἔπειτα* εἶνε ἀπόδοσις τοῦ ἐν 1335 *μὲν πρῶτον* (=*πρῶτον μέν*), ἀλλ' ἐν τῇ ἀποδόσει ταύτῃ σπανιώτατα μὲν γίνεται χρῆσις τοῦ *δέ*, σχεδὸν δὲ πάντοτε ὁ σύνδεσμος ἐλλείπει (ἴδ. εἰς Ἑκ. 359 πρβ. καὶ εἰς Φοιν. 406)»·

Ἀποφαίνεται μὲν ὁ Βερναρδάκης ὅτι σπανιώτατον εἶνε τὸ πρῶτον μὲν-ἔπειτα δέ, σχεδὸν δὲ πάντοτε ἐλλείπει μετὰ τὸ ἔπειτα ὁ σύνδεσμος δέ, ἀλλ' ἡμεῖς λέγομεν ὅτι πολλάκις γίνεται χρῆσις ὑπὸ τῶν Ἀττικῶν τῆς μετὰ τοῦ συνδέσμου δέ ἐκφορᾶς, πρὸς πίστωσιν δὲ τοῦ ἡμετέρου λόγου παρατιθέμεθα ἃ ἔχομεν συνειλεγμένα τῆς ἐκφορᾶς ταύτης μαρτύρια.

Σοφοκλ. Ἠλέκτρ. 968 «πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα· ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα καλεῖ (καλῇ) τὸ λοιπὸν καὶ γάμων ἐπαξίων τεύξει (τεύξῃ)» καὶ Οἰδ. Κ. 632 «ὅτου πρῶτον μὲν ἡ δορύξενος κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία· ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος γῆ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει».

Εὐριπ. Ἴων. 1365 «πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε εἰς τούσδε ναοὺς ἐξέθηκε παρθένος, ἔπειτα δ' εἴ τις Ἑλλάς». Παρατηρητέον δ' ὅτι ἡ ῥῆσις κεῖται ἐν μέρει τοῦ δράματος τούτου νομιζομένῳ ὑπ' ἐνδόξων κριτικῶν ὑποβολιμαίῳ.

Θουκυδ. Β', 55 «καὶ πρῶτον μὲν ἔτεμον ταύτην ᾗ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην» καὶ 84, 3 «πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ τὰς ἄλλας ᾗ χωρήσειαν διέφθειρον» καὶ 100, 3 «ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχὴν——ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προυχώρει» καὶ Γ', 94 «ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δ' Ὀφιονεῦσι καὶ μετὰ τούτους Εὐρυτᾶσιν» καὶ Δ', 43 «καὶ πρῶτον (πρῶτα) μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι» καὶ 67, 5 «πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένη Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον οὗ νῦν τὸ τροπαῖον ἐστί—ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ αἰεὶ ἐντὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος» καὶ Ϛ', 42, 1 «πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος καὶ

ξύνταξιν ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύσεσθαι οἱ στρατηγοὶ ἐποιήσαντο — ἔπειτα δὲ προύπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς εἰσομένας κτέ.» καὶ 69 «καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται προυμάχοντο καὶ τροπάς, οἵας εἰκὸς ψιλούς, ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε σφάγια προύφερον τὰ νομιζόμενα καὶ σαλπικταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις» καὶ Ζ΄, 82 «κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμμαχοι πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί· ἔπειτα δ' **ὕστερον** καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται». Ἐν βιβλ. Ε΄, 58, 3 φέρεται διττὴ γραφὴ «καὶ οἱ Ἀργεῖοι αἰσθόμενοι ἅμα ἕῳ ἐχώρουν, πρῶτον μὲν ἐς Ἄργος, ἔπειτα δ' ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονιους» και «ἔπειτα ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονίους», ἥτις καὶ ὑπὸ πολλῶν προεκρίθη. Πρβ. καὶ Ζ΄, 66, 2. Σημειωτέον δ' ὅτι ἐν τοῖς Ἐθνικοῖς Στεφάνου τοῦ Βυζαντίου σελ. 105, 14 Μειν. φέρεται «Ἀποδωτοί, ὡς Βοιωτοί, ἔθνος Αἰτωλίας. Θουκυδίδης τρίτῃ· ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα Ὀφιονεῦσιν», ἄνευ τοῦ συνδέσμου δέ. Εὐλόγως δέ, νομίζομεν, μετεβλήθη τὸ παρὰ τῷ Θουκυδίδῃ κείμενον Ἀποδώτοις εἰς τὸ Ἀποδωτοῖς.

Ξενοφ. Ἀναβ. Γ΄, β΄, 10 «πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήσασί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λελύκασιν—ἔπειτα δέ, ἀναμνήσω γὰρ ὑμᾶς κτέ.» καὶ Ε΄, δ΄, 20 «πρῶτον μὲν γὰρ ἐπίστασθε ὅτι οἱ μέλλοντες ἡμῖν ἡγεῖσθαι τῷ ὄντι πολέμιοί εἰσιν οἷσπερ καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλλήνων οἱ ἀφροντιστήσαντες τῆς σὺν ἡμῖν τάξεως κτέ.» καὶ Ε΄, ς΄, 7 «πρῶτον μὲν οἶδα εὐθὺς ᾗ τὴν εἰσβολὴν ἀνάγκη ποιεῖσθαι — ἔπειτα δὲ οἶδα καὶ πεδία ὄντα κτέ» καὶ Ϛ΄, ς΄, 13 «εἰ οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαντίου ἀποκλήσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ εἰς τὰς πόλεις μὴ δέχεσθαι ὡς ἀπιστοῦντας Λακεδαιμονίοις καὶ ἀνόμους ὄντας, **ἔτι δὲ** κτέ.». Κύρ. Παιδ. Α΄, γ΄, 14 «πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοι οὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐπὶ σοὶ ἔσται—ἔπειτα δὲ ἵπποις τοῖς ἐμοῖς χρήσει (χρήσῃ) κτέ» καὶ Β΄, α΄, 2 «πρῶτον μέν, ὥσπερ εἰκός, ἠσπάσαντο ἀλλήλους· ἔπειτα δὲ ἤρετο τὸν Κῦρον ὁ Κυα-

ξάρης πόσον τι ἄγοι τὸ στράτευμα» καὶ Β', α', 23 «ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων, ἔπειτα δὲ καὶ ἄλλαι τιμαὶ αἱ πρέπουσαι ἑκάστοις συμπαρείποντο» καὶ Γ', α', 9 «πρῶτον μέν σοι συμβουλεύω ἐν τῇ δίκῃ τἀληθῆ λέγειν, ἵνα σοι ἕν γε ἀπῇ τὸ εὐμισητότατον—ἔπειτα δ', ἔφη, συνίσασι μέν σοι καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες αὗται πάντα ὅσα ἔπραξας» καὶ Γ', γ', 11 «οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιὰν καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα, ἔπειτα δὲ συνεκάλεσε μυριάρχους καὶ χιλιάρχους καὶ ταξιάρχους καὶ λοχαγούς» καὶ Δ', δ', 7 «πρῶτον μὲν γὰρ νῦν οὐκ ἂν φυλάττεσθαι οὐδὲ φυλάττειν ἡμᾶς τούτους δέοι — ἔπειτα δὲ τούτους ἀφέντες πλείοσιν αἰχμαλώτοις χρησόμεθα» καὶ ε', 51 «πρῶτον μὲν οὖν τοῖς θεοῖς, ἔφη, ἐξαιρεῖτε ὅ,τι ἂν οἱ μάγοι ἐξηγῶνται· ἔπειτα δὲ καὶ Κυαξάρῃ ἐκλέξασθε ὁποῖ' ἂν οἴεσθε αὐτῷ μάλιστα χαρίζεσθαι» καὶ Ϛ', β', 23 «ἵνα πρῶτον μὲν αὐτοὺς φθάσωμεν ἀφικόμενοι, ἢν δυνώμεθα, ὅπου τἀπιτήδεια αὐτοῖς συλλέγεται· ἔπειτα δὲ ὅσῳ ἂν θᾶττον ἴωμεν, τοσούτῳ μείω μὲν τὰ παρόντα εὑρήσομεν αὐτοῖς, πλείω δὲ τὰ ἀπόντα» καὶ Ϛ', γ', 21 «πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως, ὅ,τι ἂν πράττειν ἀεὶ καιρὸς ᾖ, μὴ τούτου ἡμῖν ἐνδέῃ· ἔπειτα δὲ σύ, ἔφη, ὦ 'Αράσπα, τὸ δεξιὸν κέρας ἔχε ὥσπερ καὶ ἔχεις». Ἑλλην. Α', ς', 33 «μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολύν, πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι» καὶ Γ', β', 13 «πρῶτον μὲν τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοί, ἐπὶ Καρίαν, ἔπειτα δὲ καὶ περὶ τούτων βουλευσόμεθα» καὶ Δ', δ', 13 «ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι, ἔπειτα δ' ἀναλαβὼν τὸ στράτευμα ἦγε τὴν ἐπὶ Μέγαρα καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα» καὶ Ε', γ', 25 «πεντήκοντα δὲ τῶν οἴκοθεν πρῶτον μὲν ἀνακρῖναι ὅντινα τε ζῆν ἐν τῇ πόλει καὶ ὅντινα ἀποθανεῖν δίκαιον εἴη· ἔπειτα δὲ νόμους θεῖναι, καθ' οὓς πολιτεύσοιντο» καὶ δ', 3 «ἔρχεται πρῶτον μὲν εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ διημερεύσαντες ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον» καὶ 44 «πρῶτον μὲν ἠθροίσθησαν, ἔπειτα δ' ἀνέστρεφον διὰ τὸ ἀπορεῖν ὅπῃ διαβαῖεν» καὶ Ϛ', β', 38 «πρῶτον μὲν εἰς Κεφαλληνίαν πλεύσας χρήματα ἐπράξατο — ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λακεδαιμονίων

χώραν κακῶς ποιεῖν κτέ.» καὶ γ', 2 «πρῶτον μὲν εἰς Θήβας πρέσβεις ἔπεμψε παρακαλοῦντας ἀκολουθεῖν — ἔπειτα δὲ ἐξέπεμψαν καὶ αὐτοὶ πρέσβεις» καὶ Ζ', α', 8 «πρῶτον μὲν γὰρ οἰκοῦσιν ἐν μεσογαίᾳ — ἔπειτα δέ, ὥσπερ ἡμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι κατὰ γῆν πλεῖστοι καὶ τάχιστ' ἂν ἐξέλθοιεν» καὶ γ', 7 «εὖ ἴστε ὅτι πρῶτον μὲν τῷ νομίζειν δίκαια ποιεῖν, ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι». Ἀπομν. Γ', ια', 11 «δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν οἷα ποιοῦσιν αὐτοῖς μικρότατα μελήσει· ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι χαριζομένην τὸν αὐτὸν τρόπον». Λακεδ. Πολιτ. Α', 4 «πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε» (Ἀθην. Πολιτ. Γ', 2 «οὕστινας πρῶτον μὲν δεῖ ἑορτάσαι ἑορτάς, ὅσας οὐδεμία τῶν Ἑλληνίδων πόλεων· ἔπειτα δὲ δίκας καὶ γραφὰς καὶ εὐθύνας ἐκδικάζειν, ὅσας οὐδ' οἱ σύμπαντες ἄνθρωποι ἐκδικάζουσι»). Ἱππαρχ. Β', 6 «πρῶτον μὲν οἱ προστάται πάντες ἄρχοντες γίγνονται — ἔπειτα δὲ καὶ ὅταν πρακτέον τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις ἀλλ' ἄρχουσι πολὺ ἀνυτικώτερον». Ἱππικ. Γ', 1-3 «πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτὸν τίς ἡ ἡλικία — ἔπειτα δὲ προσέχειν δεῖ τὸν νοῦν κτέ.» καὶ ϛ', 9 «πρῶτον μὲν μήποτε ἄγειν τῆς ἡνίας τὸν ἵππον· τοῦτο γὰρ ἑτερογνάθους ποιεῖ· ἔπειτα δὲ ὅσον δεῖ ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων» καὶ Ζ', 8 «πρῶτον μὲν ἠρεμεῖν δεῖ διδάσκειν τὸν ἵππον — ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα πρὸς ταῖς πλευραῖς». Ἱέρ ΙΑ', 8 «καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις· ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων».

Πλάτ. Ἀπολογ σελ. 18, Α' «πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου ψευδῆ κατηγορημένα καὶ τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερα καὶ τοὺς ὑστέρους» καὶ Συμποσ σελ. 210, Α' «καὶ πρῶτον μέν, ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος, ἑνὸς αὐτῶν σώματος ἐρᾶν καὶ ἐνταῦθα γεννᾶν λόγους καλούς, ἔπειτα δὲ αὐτὸν κατανοῆσαι κτέ.» καὶ Φαίδρ. σελ 270, Δ' «πρῶτον μέν, ἁπλοῦν ἢ πολυειδές ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ καὶ ἄλλον δυνατοὶ ποιεῖν, ἔπειτα

δέ, ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ» καὶ Πολιτ. σελ. 414, Δ΄ «πρῶτον μὲν αὐτοὺς τοὺς ἄρχοντας πείθειν καὶ τοὺς στρατιώτας, ἔπειτα δὲ καὶ τὴν ἄλλην πόλιν» καὶ Κρατύλ. σελ. 415, Δ΄ «σημαῖνον πρῶτον μὲν εὐπορίαν, ἔπειτα δὲ λελυμένην τὴν ῥοὴν τῆς ἀγαθῆς ψυχῆς εἶναι ἀεί» καὶ Νόμ. σελ. 694, Α΄ «πρῶτον μὲν ἐλεύθεροι ἐγένοντο, ἔπειτα δὲ ἄλλων πολλῶν δεσπόται».

Λυσ. κατὰ Παγκλ. 4 «πρῶτον μὲν οὖν ὑμῖν Δεκελέων οὓς ἠρόμην μάρτυρας παρέξομαι, ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες» καὶ 5 «πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιέων (Κόβ. Πλαταιῶν) ἐγίγνωσκον καὶ μάλιστα ᾤόμην εἰδέναι, ἠρόμην εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υἱὸν Παγκλέωνα Πλαταιέα (Κόβ. Πλαταιᾶ)· ἔπειτα δὲ — ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν (Κόβ. ᾔδη) Πλαταιέας (Κόβ. Πλαταιᾶς) ὄντας». Παρατηρητέον δ' ὅτι ὁ Thalheim ἐν τῇ ἐκδόσει τοῦ Λυσίου μετετύπωσε τὸ Δεκελέων εἰς τὸ Δεκελειέων σελ. 255, ὡς καὶ τὸ Δεκελεῖς εἰς τὸ Δεκελειεῖς σελ. 254. Ὁ Ἑρουερδὴν γράφει ἐν *Lex. Graec. Suppl. et Dialect.* σελ. 194 «Δεκελειεύς, non Δεκελεύς, atticum. Vid. Meisterh [2] 33,2. 35,15».

Ἀνδοκίδ. περὶ Μυστηρ. 116 «πρῶτον μὲν ἐξηγεῖ (ἐξηγῇ) Κηρύκων ὤν, οὐχ ὅσιον ὄν σοι ἐξηγεῖσθαι· ἔπειτα δὲ νόμον πάτριον λέγεις» καὶ 144 «ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου, ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην· ἔπειτα δὲ καὶ βίον (Ἐμπέρ. καινὸν βίον) εἰργασάμην ἐκ τοῦ δικαίου».

Ἰσαῖ. περὶ τοῦ Νικοστρ. κλήρ. 26 «παρέσχοντο δ' ὑμῖν μάρτυρας πρῶτον μὲν ὡς ἀνεψιοί εἰσιν ἐκ πατραδέλφων Νικοστράτου, ἔπειτα δὲ ὡς οὐδεπώποτε ἐκείνῳ διάφοροι ἦσαν».

Δημοσθέν. σελ. 598, 17 «ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο θαυμάζω εἰ στεφανοῦν ἐπὶ τοῖς ἠτυχημένοις ἠξίου τὴν βουλὴν—ἔπειτα δὲ κἀκεῖνο ἔτι βούλομαι φράσαι πρὸς ὑμᾶς» (καὶ σελ. 1033, 1 «πολλὰ κἀγαθὰ γένοιτ', ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὑμῖν ἅπασιν, ἔπειτα δὲ καὶ Σόλωνι τῷ νομοθετήσαντι τὸν περὶ τῶν ἀντιδόσεων νόμον»).

Ὑπερείδ. ὑπὲρ Λυκόφρ. 5 «ἀνάγκη γάρ, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὀρεωκόμον καὶ προηγητὴν ἀκολουθεῖν τῷ ζεύγει, ὃ ἦγε τὴν γυναῖκα, ἔπειτα δέ παῖδας τοὺς προπέμποντας αὐτὴν ἀκολουθεῖν καὶ Διώξιππον».

Τοῦ πρῶτον μὲν-ἔπειτα δὲ ἐγένετο χρῆσις καὶ ὑπὸ τοῦ Ἱπποκράτους ἐν τῷ περὶ Ἀέρ. Ὑδ. Τόπ. Α', Τόμ. Α', σελ. 241 Ἑρμ. «πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος — ἔπειτα δὲ τὰ πνεύματα τὰ θερμά τε καὶ τὰ ψυχρὰ» καὶ ΚΖ' (σελ. 275) «πρῶτον μὲν ὅτι οὐ σπαργανοῦνται ὥσπερ ἐν Αἰγύπτῳ — ἔπειτα δὲ διὰ τὴν ἕδρην». Πρβ. καὶ Τόμ. Β', σελ. 82 «πρῶτον μὲν οὖν ἀνάγκη τὴν γένεσιν γίγνεσθαι μὴ ἀφ' ἑνὸς — ἔπειτα δέ, ἐὰν μὴ ὁμόφυλα ἐόντα μίσγηται κτέ.» καὶ σελ. 85 «πρῶτον μὲν γὰρ φανερός ἐστι ὥνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα αἰεὶ ἕως ἂν ζῇ, ἔπειτα δὲ γέγονε ἐξ ἀνθρώπου ταῦτα πάντα ἔχοντος» καὶ σελ. 86 «πρῶτον μὲν ἀκρητεστάτην ἐκάθηρε τὴν χολήν, ἔπειτα δὲ μεμειγμένην· καὶ τοῖσι ἀποσφαζομένοισι πρῶτον μὲν τὸ αἷμα ῥέει θερμότατόν τε καὶ ἐρυθρότατον, ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον» καὶ σελ. 89 «πρῶτον μὲν ἡ ξανθή, ἔπειτα δὲ ἡ μέλαινα καλευμένη» καὶ σελ. 291 «πρῶτον μὲν τὰ ἐσιόντα ὑγρά, ἔπειτα δὲ φλέγμα» καὶ σελ. 497 «πρῶτον μὲν ἐκεῖνα ἀναμεμείξεται τῷ ὕδατι, ἔπειτα δὲ χρόνῳ φυσώμενα ἐλεύσεται ὅ τε μόλιβδος ἐς τὸν μόλιβδον καὶ ἡ ψάμμος ἐς τὴν ψάμμον».

Ὡς δὲ λέγεται πρῶτον μὲν-ἔπειτα δέ, οὕτω καὶ πρῶτον μέν-εἶτα δέ, οἷον

Εὐριπ. Ἱκέτ. 203 «πρῶτον μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ' ἄγγελον γλῶσσαν λόγων δούς».

Ξενοφ. Ἀναβ. Α', β', 16 «ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους οἱ δὲ παρήλαυνον τεταγμένοι κατ' ἴλας καὶ κατὰ τάξεις· εἶτα δὲ τοὺς Ἕλληνας παρελαύνων ἐφ' ἅρματος» καὶ γ', 2 «πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς· οἱ δ' ὁρῶντες ἐδάκρυον καὶ ἐσιώπων· εἶτα δ' ἔλεξε τοιάδε» καὶ Κυνηγ. Β' 1 «πρῶτον μὲν οὖν χρὴ ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ τῶν κυνηγεσίων τὸν ἤδη ἐκ παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν, εἶτα δὲ καὶ ἐπὶ τὰ ἄλλα παιδεύματα». Παρατηρητέον δ' ὅτι πρὸς τῇ γραφῇ «εἶτα δ' ἔλεξε τοιάδε» φέρεται καὶ ἡ ἄνευ τοῦ συνδέσμου δέ «εἶτα ἔλεξε τοιάδε».

Ἀνδοκίδ. περὶ Μυστηρ. § 46 «πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν παρῆσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα δέ μοι τοὺς πρυτάνεις κάλει τοὺς τότε πρωτεύσαντας» καὶ § 47 «πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν» (Πρβ. καὶ Λίψ. ἐν τῇ ἐκδόσει τοῦ Ἀνδοκίδου σελ. 13, 56).

Δημοσθ. σελ. 996,5 «τοῦτο ὅσα βλάπτει ποιῶν πρῶτον μὲν ἐμέ, εἶτα δὲ καὶ ὑμᾶς, ἐγὼ διδάξω».

Ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος βιβλ. Ζ', α', 7 κατ' ἄλλα μὲν τῶν ἀντιγράφων ἀναγινώσκεται «οἳ πρῶτΟΝ μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι, ἔπειτα δ' οὐ περὶ τῶν ἴσων ὁ κίνδυνος ἐστὶν» κατ' ἄλλα δὲ «οἳ πρῶτΑ μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν κτἑ». Τὸ πληθυντικὸν πρῶτα μέν ἀπαντᾷ παρὰ τῷ Εὐριπίδῃ Ἀλκ. 751 «ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν εἰσῆλθε κἀτόλμησ' ἀμείψασθαι πύλας, ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο τὰ προστυχόντα ξένια» (καὶ 501 «εἰ χρή με παισὶν οὓς Ἄρης ἐγείνατο μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι, αὖθις δὲ Κύκνῳ») καὶ παρὰ τῷ Ἀριστοφάνει Ἀχαρν. 648 «ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι ταῖς ναυσὶ κρατοῦσιν, εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ πολλά» καὶ παρὰ τῷ Θουκυδίδῃ Δ', 66, 4 «ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους —— ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι». Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Ὁμήρου Ὀδ. Λ, 639 «πρῶτα μὲν εἰρεσίη, μετέπειτα δὲ κάλλιμος οὖρος». Παρασημειωτέον δὲ ὅτι οὐδαμοῦ τῶν Ὁμηρικῶν ἐπῶν εὑρίσκεται τὸ δισύλλαβον ἐπίρρημα εἶτα, μόνον δὲ τὸ τρισύλλαβον ἔπειτα ἀπαντᾷ παρὰ τῷ ποιητῇ, ὡς καὶ τὸ ἐξ αὐτοῦ συγκείμενον μετέπειτα.

Ἐποιησάμεθα λόγον ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ περὶ τῆς συντάξεως, καθ' ἥν, προτασσομένου τοῦ πρῶτον μέν, ἐπάγεται τὸ ἔπειτα - ἔπειτα ἢ εἶτα - εἶτα. Ὑπομιμνήσκομεν δ' ὅτι πρόσκειται ἐνίοτε ἀμφοτέροις τοῖς χρονικοῖς ἐπιρρήμασιν ἔπειτα ἢ τῷ δευτέρῳ αὐτῶν ὁ σύνδεσμος δέ, οἷον Ξενοφ. Ἑλλην. Ε', δ', 28 «πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ', εἴ τις ξένος, ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει» καὶ Κύρ. Παιδ. Ϛ', ϐ', 15 «καὶ πρῶτον μὲν ἠκούετε, ἔφη, ὅτι οἱ πρότερον νικήσαντες ἡμᾶς οὗτοι πάλιν ἔρχονται ἔχοντες

ἐν ταῖς ψυχαῖς ἣν τότε νίκην ἐκτήσαντο· ἔπειτα δὲ οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις νῦν οὗτοι ἔρχονται καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι· ἔπειτα δέ, ὥσπερ οὗτοι ὁπλισάμενοι τοὺς πεζοὺς τότ' ἐνίκων, νῦν οὕτω καὶ οἱ ἱππεῖς αὐτῶν παρεσκευασμένοι πρὸς τοὺς ἱππέας προσέρχονται—ἔτι δὲ ἅρματα ἔρχεται» καὶ Ζ΄, 6΄, 24 «ἀγνοῶν ἄρα ἐμαυτὸν ὅτι σοὶ ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι, πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι» καὶ Οἰκονομ. Β΄, 5 «πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν θύειν πολλά τε καὶ μεγάλα, ἢ οὔτε θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε ἂν ἀνασχέσθαι· ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι καὶ τούτους μεγαλοπρεπῶς· ἔπειτα δὲ πολίτας δειπνίζειν καὶ εὖ ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι· ἔτι δὲ κτέ.» καὶ Ε΄, 2 - 3 «πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι προσεπιφέρει· ἔπειτα δὲ ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει» καὶ Ζ΄, 19 «πρῶτον μὲν γὰρ τοῦ μὴ ἐκλιπεῖν ζῴων γένη τοῦτο τὸ ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνοποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσιν ἐστὶν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγῶν δεῖται δηλονότι» καὶ Λυσ. κατὰ Ἀγορ. 30 «ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων, ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν». Πρβ. Ἀνδοκίδ. περὶ Μυστηρ. 132 «πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστίοις, ἔπειτα ἀρχεθέωρον εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων» καὶ 50 «καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφήν, ἥπερ σοι μόνη ἐστίν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δ' ἐμέ». Ἐν ἀποσπάσματι Ἡροδώρου τοῦ Ἡρακλεώτου παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ σελ. 323,4 Μειν. (Ἑλλ. Ἱστορ. Ἀπ. Τόμ. Β΄, σελ. 34 Μυλλ.) φέρεται «πρῶτον μὲν οἱ ἐπὶ τοῖς ἐσχάτοις οἰκέοντες τὰ πρὸς δυσμέων Κύνητες οὐνομάζονται, ἀπ' ἐκείνων δὲ ἤδη πρὸς βορέην ἰόντι Γλῆτες—μετὰ δὲ Μαντιηνοί, μετὰ δὲ

Κελκιανοί, ἔπειτα δὲ ἤδη ὁ Ῥοδανός». Παντὶ δὲ πρόδηλον ὑπάρχει ὅτι περὶ τοπικῆς ἐνταῦθα πρόκειται σχέσεως».

Παρατηρητέον δ' ὅτι λέγεται καὶ τὸ μὲν πρῶτον-ἔπειτα δέ ἢ ἔπειτα μέντοι, οἷον Θουκυδ. Β', 48 «ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη» καὶ Γ', 111, 3 «οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον — ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον» καὶ Ε', 41, 2 «τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι — ἔπειτα δ' οὐκ ἐώντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς κτέ.» καὶ Η', 75, 2 «οἱ δὲ ἀκούοντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιήσαντας καὶ ἐπὶ τῶν ἄλλων τοὺς μετασχόντας τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν· ἔπειτα μέντοι ὑπὸ τῶν διὰ μέσου κωλυθέντες καὶ διδαχθέντες κτέ.» καὶ 86, 2 «οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας· ἔπειτα μέντοι μόλις ἡσυχάσαντες ἤκουσαν». Ξενοφ. Ἑλλην. Ε', ϐ', 5 «τὸ μὲν πρῶτον ἐρρήγνυτο τὸ τεῖχος, ἔπειτα δὲ καὶ ἐκλίνετο» καὶ Ζ', ϐ', 22 «καὶ τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον» καὶ Ἱππικ. Η', 5 «καὶ ἀναβεβηκὼς ἐπαγέτω τὸ μὲν πρῶτον μικράς, ἔπειτα δὲ καὶ μείζους». Λυσ. ὑπὲρ Μαντιθ. 20 «ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι, ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος». Δημοσθέν. σελ. 1168, 6 «τὸ μὲν πρῶτον ὡς οἷόν τε μάλιστα ὠργίσθην καὶ ἠγανάκτησα ἐπὶ τῇ ἀναισχυντίᾳ τοῦ λόγου, ἔπειτα δ' ἐλογισάμην πρὸς ἐμαυτὸν ὅτι οὐκ ἐν καιρῷ ὀργιζοίμην». Πρϐ. Σοφοκλ. Ἀποσπ. 881 Ναυκ. «ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον, τὰ πρῶτα μὲν σχολαῖον, εἶτα δ' εὔτονον».

Καὶ τοῦτο δ' εἶνε ἄξιον παρατηρήσεως, ὅτι πρόσκειται μὲν τῷ ἐπιρρήματι εἶτα ἢ ἔπειτα τὸ μόριον δέ, ἐκφέρεται δὲ τὸ πρῶτον ἢ πρῶτα ἄνευ τοῦ μορίου μέν, οἷον Ἀριστοφ. Ἱππ. 24 «πρῶτον λέγε τὸ μόλωμεν, εἶτα δ' αὐτό» καὶ Θουκυδ. Α', 32,1 «ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν ὡς καὶ ξύμφορα δέονται, εἰ δὲ μή, ὅτι γε οὐκ ἐπιζήμια, ἔπειτα δὲ ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν» (Πρϐ. καὶ Ε', 61 καὶ Ζ', 23) καὶ Ἰλ. Λ, 244 «πρῶθ' ἑκατὸν βοῦς δῶκεν,

ἔπειτα δὲ χίλι' ὑπέστη» (Πρβ. Ζ, 260 «ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις (Ναύκ. ἄλλοισ') ἀθανάτοισιν πρῶτον, ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι») καὶ 'Οδ. Κ, 519 «πρῶτα μελικρήτῳ, ΜΕΓέπειτα δὲ ἡδέϊ οἴνῳ». Σημειωτέον δ' ὅτι εἶνε εἰρημένον ὑπὸ τοῦ κωμικοῦ ἐν τοῖς Ἱππεῦσι στ. 155 «ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί, ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς».

Ὑπάρχουσι δὲ καὶ χωρία τῶν παλαιῶν οὕτω συντεταγμένα, ὥστε ὁ σύνδεσμος μέν εἶνε τεθειμένος πρὸ τοῦ πρῶτον ἢ πρῶτα, οἷον Σοφοκλ. Φιλοκτ. 919 «κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ κτέ.» καὶ Εὐριπ. Ἱππολ. 1335 «τὴν δὲ σὴν ἁμαρτίαν τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκης· ἔπειτα δ' ἡ θανοῦσ' ἀνήλωσεν γυνὴ λόγων ἐλέγχους, ὥστε σὴν πεῖσαι φρένα» καὶ Βάκχ. 1248 «οἴμοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ' ἐμῶν». Θουκυδ. Η', 48, 1 «ὑποτείνοντος αὐτοῦ Τισσαφέρνη μὲν πρῶτον, ἔπειτα δὲ καὶ βασιλέα φίλον ποιήσειν». Ξενοφ. 'Αναβ. Α', θ', 5 «ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον (Κόβ. πρῶτον μὲν αἰδημονέστατος) τῶν ἡλικιωτῶν ἐδόκει εἶναι — ἔπειτα δὲ φιλιππότατος» καὶ Ζ', β', 22 «ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους καὶ κατὰ τὸν Θρᾴκιον νόμον κέρατα οἴνου προύπινον — ἔπειτα δὲ Ξενοφῶν ἤρχετο λέγειν» καὶ Ἑλλην. Γ', δ', 18 «Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένος ἀπὸ τῶν γυμνασίων ἀπιόντας καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι» καὶ Κύρ. Παιδ. Ζ', Ε', 32 «καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν — ἔπειτα δὲ Κύρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας» (καὶ Ἱππαρχ. Ζ', 4 «ἐνταῦθα δὴ θεῶν μέν, **οἶμαι**, πρῶτον συμμάχων ἰσχυρῶν δεῖ, ἔπειτα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀποτετελεσμένον ἄνδρα εἶναι»). Πρβ. Διονύσ. Ἁλικαρν. Ῥωμ. Ἀρχαιολ. σελ. 242 «ἐλεύθεραι μὲν πρῶτον, ἔπειτα δ' ἑτέρων ἄρχουσαι διετέλεσαν».

Ἄξια παραθέσεως εἶνε καὶ χωρία ἐκ τῆς ἐπικῆς ποιήσεως, ἐν οἷς μετὰ τὸ μὲν πρῶτον ἢ πρώτιστα ἀντὶ τοῦ ἔπειτα δέ ἐπιφέρεται τὸ αὐτὰρ ἔπειτα· Ἰλ. Α, 50 «οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς, αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς βάλλ'». Γ, 315 «χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες». Β, 405 «Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα, αὐτὰρ ἔπειτ' Αἴαντε δύω καὶ Τυδέος υἱόν». Ι, 168 «Φοίνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω, αὐτὰρ

ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς». Ἡσίοδ. Θεογον. 116 «ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος». Πρβ. καὶ Ὁμηρ. Ὕμν. εἰς Ἀπόλλ. 487 «ἱστία μὲν πρῶτον—νῆα δ' ἔπειτα μέλαιναν», ἔνθα ἐκφέρονται μετ' ἀντιθέσεως οὐχὶ αἱ χρόνον δηλοῦσαι λέξεις πρῶτον καὶ ἔπειτα ἀλλὰ τὰ ὀνόματα ἱστία καὶ νῆα. Καὶ ἐν τοῖς προμνημονευθεῖσι δὲ παραδείγμασιν, ἐν οἷς εὑρίσκεται μὲν πρῶτον ἢ πρώτιστα, τὸ μόριον μέν μετὰ τῆς προηγουμένης αὐτοῦ λέξεως συναπτόμενον ταύτην προφανῶς ἐν ἀντιθέσει ἐξαίρει διαστέλλον, οὐχὶ δὲ τὸ πρῶτον ἢ πρώτιστα.

Ἐν τέλει παρατηροῦμεν ὅτι ὑπὸ τοῦ Ἀριστοφάνους εἶνε εἰρημένον πρῶτον μὲν—κἄπειτα Ἐκκλησ. 436 «πρῶτον μέν σ' ἔφη εἶναι πανοῦργον—κἄπειτα κλέπτην». Πρβ. Σφ. 553 «ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις ἄνδρες μεγάλοι καὶ τετραπήχεις, κἄπειτ' εὐθὺς προσιόντι ἐμβάλλει μοι τὴν χεῖρα πλέαν» καὶ Ἱππ. 546 «καὶ πρὸς τούτοισιν ἔφασκεν ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν, κᾆτ' ἐντεῦθεν πρῳρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι, κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ»· ἔτι δὲ Γαλην. Τόμ. Θ', σελ. 895 «πρῶτον μὲν γὰρ τὰ κατόξεα μέχρι τῆς ἑβδόμης ἐνδείκνυται προϊέναι—εἶτα μετὰ ταῦτα ἐν τῷ περὶ διαίτης ὀξέων, ἄχρι τῆς ἑβδόμης τινὰς ἐν ἀσιτίᾳ φυλάττειν παντελεῖ· ἔπειτα δὲ καὶ τὴν ιδ' τῶν ἁπλῶς ὀξέων τέλος ἔθετο, κἄπειτα μέχρι τῆς κ' προύβη· αὖθις δὲ καθ' ἑκάτερον εἶδος νόσου ἄχρι τῆς μ', καὶ αὖθις δὲ καθ' ἑκάτερον ἕως τῆς ξ', εἶτ' αὖθις ὅρον ἔσχατον τῶν κρινουσῶν ἡμερῶν τὴν ρ' τε καὶ εἰκοστὴν ἐποιήσατο».

Σημ. Ὁ Κλότζιος ἐν ταῖς εἰς τὸν Δεβάριον Σημειώσεσι σελ 539 ποιεῖται τὴν παρατήρησιν τήνδε «Notam significationem εἶτα parparticulae dicit Devarius p. 77., si ad seriem rerum atque ordinem temporis declarandum adhibetur, veluti in Xenophontis *Expeditione Cyri* lib. I cap. 5. § 10. Διφθέρας, ἃς εἶχον σκεπάσματα, ἐπίμπλασαν χόρτου κούφου, εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ. et ibidem cap. 3. § 2. Καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς, οἱ δὲ ὁρῶντες ἐθαύμαζον καὶ ἐσιώπων, εἶτα ἔλεξε τοιάδε. In quo dicendi genere hoc unum observandum videtur, modo εἶτα omissa δὲ particula poni, modo adiecta, hoc uno discrimine, quod εἶτα simplex ordinem

ac seriem tantum modo indicat, εἶτα δὲ quandam oppositionis significationem in se continet, uti ibidem cap 6 § 10. dicitur: Μετὰ ταῦτα κελεύοντος Κύρου ἐλάβοντο τῆς ζώνης τὸν Ὀρόντην ἐπὶ θανάτῳ, ἅπαντες ἀναστάντες καὶ οἱ συγγενεῖς· εἶτα δὲ ἐξῆγον αὐτὸν οἷς προσετάχθη., quo in loco si δὲ omitteretur, ordo tantummodo significaretur: nunc autem etiam res inter se oppositae sunt, cf ibidem lib. II. cap. 4 § 22 et lib V. cap. 4. § 16. Καὶ ἐδίωκον μέχρι οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας, εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο. «Et in omittenda et adiicienda particula δὲ plerumque libri fluctuant, ut in singulis locis sententia potius quam sola librorum auctoritas spectanda sit».

Σημειοῦται δὲ καὶ ὁ Βασιάδης ἐν τῇ ἐκδόσει λόγων τοῦ Δημοσθένους σελ. 118 «Ἔπειτα: τὸ εἶτα καὶ ἔπειτα ἄνευ τοῦ, δὲ, ἁπλῶς τάξιν καὶ σειρὰν, δηλοῦσι, μετὰ δὲ αὐτοῦ καί τινα ἀντίθεσιν· ἴδε Κλοτ. παρὰ Δευαρ. σ. 539». Παρατηροῦμεν δ' ἐν παρόδῳ ὅτι ἡ φράσις τοῦ Βασιάδου «ἴδε Κλοτ. παρὰ Δευαρ.» θὰ εἶχε καλῶς, ἂν ὁ Κλότζιος ἐμνημονεύετο ὑπὸ τοῦ Δεβαρίου. Καὶ ἄλλοι δὲ τῶν νέων Ἑλλήνων ἐποιήσαντο χρῆσιν τῆς παρά μετὰ δοτικῆς ἀντὶ τῆς εἰς μετ' αἰτιατικῆς καὶ ἡμεῖς ἐν τῷ Λογίῳ Ἑρμῇ οὐχὶ ἅπαξ. Τὸ γεγραμμένον ἐν τῷ Περιοδικῷ τούτῳ συγγράμματι 1867 σελ. 41, 26 «Ἴδε Φρύνιχον καὶ παρ' αὐτῷ τὸν Λοβέκκιον» μετεβάλομεν ἐν τῇ Ἀθηνᾷ Τόμ. Ι', σελ. 537 εἰς τὸ «Ἴδε Φρύνιχον καὶ τὴν εἰς αὐτὸν σημείωσιν τοῦ Λοβεκκίου».

Ἄξια μνείας νομίζομεν καὶ τὰ ὑπὸ τοῦ Γεωργίου Χρυσοβέργη ἐν τῷ Ἐπιδορπίῳ σελ. 77 γεγραμμένα.

«Ἔπειτα τολμᾷ ὁ Σοῦτσος νὰ λέγῃ ὅτι ὁ ἀναβάτης Μὲν δὲν βλέπει τὸν συναναβάτην του Δὲ, ἐν ᾧ ἂν παρατηρήσῃ ἀκριβῶς, θέλει εὑρεῖ ὅτι εἰς τὸ πεῖσμά του ὁ λογιώτατος μεταχειρίζεται ὡς ἱπποφορβὴν τὸν ἀνταποδοτικὸν Δὲ καὶ ὅπου δὲν πρέπει κατὰ τοὺς τεχνογράφους· τοῦτο δὲ ὅλον γέγονεν ἵνα θεραπευθῇ ἴσως τὸ ἠκρωτηριασμένον ἰδίωμα, λόγου περὶ θεραπευτικῆς μεθόδου γινομένου· οἷον. «Πρέπει δὲ... ***Πρῶτον Μὲν*** νὰ γνωρίζηται ἡ φύσις τῶν φαρμάκων, ***εἶτα Δὲ*** νὰ δίδωνται κτλ. Ἀναγνώτω πρὸς ταῦτα ὁ Κ. Σοῦτσος τί λέγει ὁ Κ. Ἀσώπιος ἐν τῷ Συντακτικῷ αὐτοῦ

(σελ. 665 § 41 δ΄.) μετὰ τῶν λοιπῶν τεχνογράφων· οἷον, Τίθεται ὁ ἀντιθετικὸς Μὲν, ἄνευ τοῦ Δὲ, δ΄. Ὅταν, τοῦ πρώτου κώλου ἐκφερομένου διὰ τοῦ ***Πρῶτον Μὲν***, κτλ. τὸ δεύτερον ἐκφέρηται διὰ τῶν ***Ἔπειτα Εἶτα*** κτλ. ***Ἅπερ Ἀναπληροῦσι τὸ Δέ·*** καὶ παυσάσθω συκοφαντῶν οὕτως αὐθαιρέτως τὸν ἄνθρωπον».

Φανερὸς δ' εἶνε ὁ Χρυσοβέργης δοξάζων ὅτι δὲν λέγεται ἑλληνιστὶ πρῶτον μέν—ἔπειτα δέ, ἀλλὰ πρῶτον μέν — ἔπειτα ἄνευ τοῦ συνδέσμου δέ.

---

## ΚΕΦ. ΟΒ΄.

### **Πρῶτον μέν— ἔπειτα** ἢ **εἶτα** καὶ **πρῶτον μέν— ἔπειτα δέ** ἢ **εἶτα δὲ** ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ.

Ὡς ἐν τῷ παλαιῷ ἑλληνισμῷ γίνεται χρῆσις ἄλλοτε μὲν τοῦ πρῶτον μέν — ἔπειτα ἢ εἶτα, ἄλλοτε δὲ τοῦ πρῶτον μέν — ἔπειτα δὲ ἢ εἶτα δέ, οὕτω καὶ ἐν τῷ μεταγενεστέρῳ.

Ὁ Κοραῆς σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Αἰθιοπικῶν τοῦ Ἡλιοδώρου Τόμ. Β΄, σελ. 63 «Ἔπειτα φράζω : Σημείωσαι τὸ, Ἔπειτα, ἀνταποδιδόμενον τῷ Πρῶτα μὲν, ἄνευ τοῦ, Δὲ, συνδέσμου· καὶ ἔστιν ἡ χρῆσις Ἀττικῶν, τὸ μὴ ἐξ ἀνάγκης συνάπτειν τὸν, Δὲ, τῷ, Ἔπειτα, ἢ, Εἶτα, ἄλλως τε καὶ ὅτε ὁ προηγούμενος, Μὲν, συνάπτεται τῷ, Πρῶτα, ἢ, Πρῶτον· καὶ τούτου παραδείγματα μυρία οὐ μόνον παρ' Ἡλιοδώρῳ (σελ. 226, 245, 248 καὶ 352), ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἀρίστοις συγγραφεῦσί τε καὶ ποιηταῖς. ταυτὸ δὲ τοῦτο συμβαίνει, καὶ ὅτε ὁ, Μὲν, συμπλέκεται τῷ, Μάλιστα, οἷόν ἐστι τὸ τοῦ Σοφοκλέους (Οἰδ. Τύρ. 647).

ΜΑΛΙΣΤΑ ΜΕΝ τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
ἜΠΕΙΤΑ κἀμὲ....

ἢ τῷ, Τοῦτο, ὡς παρὰ τῷ αὐτῷ Σοφοκλεῖ (Φιλοκτ. 1345),

........ΤΟΥΤΟ ΜΕΝ παιωνίας
Ἐς χεῖρας ἐλθεῖν· ΕΙΤΑ τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν»,

Μνημονεύομεν καὶ ἃ ἔγραψεν ὁ Σχαιφῆρος ἐν τοῖς Κριτικοῖς Μελετήμασι σελ. 61 «Lucianus Τόμ. 3. p 370. Καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν κ.τ.λ. Ceterum sequitur hic εἶτα sine particula δέ, etsi ἐν μὲν τῷ προοιμίῳ εὐθὺς praecessit. Sic enim Graeci sequentia ab solo εἶτα s. ἔπειτα exordiuntur Vid. supra p 235. 236. infra p. 262. 270. 274. Strabo p. 804. C. ed. Alm. Καταρχὰς μὲν γὰρ ὡμήρευσε παρὰ Πάρθοις· ἔπειτα δι' ἐκείνων ἔτυχε καθόδου, κ.τ.λ. Idem p 805. A. τέως μὲν ἐφρουρεῖτο· ἔπειτ' ἀνηρέθη κ.τλ. Non monerem hoc, nam usu est tritissimum, nisi viros doctos ad talia passim offendere vidissem. Conf. novissimam editionem Alciphronis T. I p. 145 b. In viam reducere errantes poterat Hoogeveenus Doctr. Particul. Gr. T. I. p. 662. sq ». Ἐν ταῖς Ἐπιστολαῖς τοῦ Ἀλκίφρονος ἀπαντᾷ Α', 23, 1 «πρῶτον μὲν τοὔδαφος ἐκάλυπτεν, ἔπειτα οὐκ ἐπιπολῆς ἀλλ' εἰς ὕψος ἤρετο τῆς νιφάδος χῦμα πάμπολυ» καὶ Α', 33, 3 «τὸ μὲν γὰρ πρῶτον κιχλίζουσα μετ' ἐκείνης καὶ μωκωμένη τὴν δυσμένειαν ἐνεδείκνυτο, εἶτα φανερῶς ποιήματα ᾖδεν εἰς τὸν οὐκέθ' ἡμῖν προσέχοντα ἐραστήν» καὶ Γ', 55, 9 «ὁ κύων δὲ πρῶτα μὲν οὐρεῖ κατὰ τὴν κυνικὴν ἀδιαφορίαν εἰς σύρμα χαλάσας καὶ καθεὶς τὸ τριβώνιον, ἔπειτα καὶ Δωρίδα τὴν μουσουργὸν οἷος ἦν ἐν ὀφθαλμοῖς, ἁπάντων ὁρώντων, ἐνεργεῖν» καὶ Γ', 71, 1 «λαβὼν καθ' ἑαυτὸν πρῶτα μὲν ἐνουθέτει μὴ τοιαῦτα ἐπιτηδεύειν ἐξ ὧν ὕβρις τὸ τέλος, ἔπειτα τοῦ φωνήματος ὡς ἔχοιμι διὰ βραχέων ἀποπειραθεὶς τῷ χορῷ τῶν κωμικῶν συλλαμβάνει». Σημειωτέον δ' ὅτι καὶ ἐν βιβλ. Γ', 43, 4 ἐξέδωκεν ὁ Μεινέκιος (σελ. 59) ἐκ τοῦ Βενετικοῦ κώδικος «αὐτὸς δὲ ὁ Σμικρίνης πρῶτον μὲν τῇ καμπύλῃ παίει τὸν νῶτον τοῦ Χαρικλέους, ἔπειτα ἐπὶ κόρρης πατάξας ἦγεν ὡς ἔσχατον ἀνδράποδον» ἀντὶ τοῦ ἔπειτα ΔΕ ἐπὶ κόρρης πατάξας».

Κεῖται δὲ καὶ παρὰ τῷ Ἀριστείδῃ Τόμ. Α', σελ. 184 Δινδ. «ἣ πρῶτον μὲν τῆς ἑαυτῆς χώρας καὶ πολιτείας μετέδωκεν, ἔπειθ' ἑτέραν ὅπως κτήσονται συμπαρεσκεύασεν» καὶ σελ. 201 «καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν — ἔπειτα κρείττους ἦσαν τὰ τελευταῖα ἢ τὰ ἀπὸ τῶν πυλῶν» καὶ ἀλλαχοῦ (Ἴδε Γ. Σμιδίτιον ἐν Ἀττικισμ. Τόμ. Γ', σελ. 116). Ἄλλα παραδείγματα τῆς τοιαύτης ἐκφορᾶς κρίνομεν περιττὸν νῦν νὰ μνημονεύσωμεν. Παρατηρου-

μεν δ' ὅτι ὑπὸ τοῦ Μουσωνίου εἶνε εἰρημένον παρὰ Στοβ. 'Ανθολ. Τόμ. Γ', σελ. 4, 15 Μειν. «πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν, εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος, τὸ δὲ ἄρρενος, εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυράν».

Καὶ τῆς συντάξεως δέ, καθ' ἥν, ἡγουμένου τοῦ πρῶτον μέν ἢ πρῶτα μέν, ἐπιφέρεται τὸ ἔπειτα δέ ἔχομεν οὐκ ὀλίγα μαρτύρια νὰ καταλέξωμεν.

Ψευδανακρ. Ὠδαρ, ΛΒ, 7 (ΙΓ', 7 Βεργκ.) «πρῶτον μὲν ἐξ 'Αθηνῶν ἔρωτας εἴκοσιν θὲς καὶ πεντεκαίδεκ' ἄλλους· ἔπειτα δ' ἐκ Κορίνθου θὲς ὁρμαθοὺς ἐρώτων».

Νόνν. Μεταβ. τοῦ κατὰ Ἰω. 'Αγ. Εὐαγγ. σελ. 207, 181 Σνειδ. «πρῶτα μὲν αἷμα χύθη, ΜΕΤέπειτα δὲ θέσκελον ὕδωρ».

Ψευδαισχίν. 'Επιστολ. Β', 1 «βλέποντα πρῶτον μὲν εἰς τὴν ἐμὴν συμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα δὲ εἰς τὸ σκυθρωπόν σου καὶ ὅμοιον δεδακρυμένῳ».

'Αρχιμήδ. Τόμ. Α', σελ. 2, 9 Εἱβ. «πρῶτον μὲν ὅτι πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου, ἔπειτα δὲ ὅτι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος» καὶ Τόμ. Β', σελ. 350, 16 «πρῶτον μὲν τὸ ΑΒΓ τρίγωνον τετραπλάσιον τῶν ΑΔΒ, ΒΕΓ τριγώνων, ἔπειτα δὲ αὐτὰ ταῦτα τετραπλάσια τῶν εἰς τὰ ἑπόμενα τμάματα ἐγγραφέντων». 'Αναγνωστέον δ' ἴσως καὶ ἐν σ. 294, 11 «πρῶτον μὲν διὰ μηχανικῶν εὑρεθέν, ἔπειτα δὲ καὶ διὰ τῶν γεωμετρικῶν ἐπιδειχθέν» ἀντὶ τοῦ πρότερον. Πρβ. σελ. 298, 2 «πρῶτον μὲν ὡς διὰ τῶν μηχανικῶν ἐθεωρήθη, μετὰ ταῦτα δὲ καί, ὡς διὰ τῶν γεωμετρουμένων ἀποδεικνύται».

Πολύβ. σελ. 1190, 27 Οὖλσχ. «καὶ συμμείξας πρῶτον μὲν ἀπέδωκε τοὺς ὅρκους ὑπὲρ τῆς συμμαχίας ἐναντίον πάντων τῶν ἱππέων —ἔπειτα δὲ τοὺς ὁμήρους παρελάμβανε» καὶ σελ. 1218, 27 «οἳ πρῶτον μὲν τοὺς πολίτας συνίστορας ἔχοντες πάντων τῶν σφίσι πεπραγμένων καὶ τῶν εἰρημένων, ἔπειτα δὲ τῶν γραμμάτων ἑαλωκότων καὶ πεφωτισμένων».

Λουκιαν. Δὶς Κατηγορ. 2 «ᾧ πρῶτα μὲν τὰ τῶν ἄλλων θεῶν ἔργα ἐπισκοπεῖν ἀναγκαῖον—ἔπειτα δὲ καὶ αὐτῷ μυρί' ἄττα πράττειν καὶ σχεδὸν ἀνέφικτα ὑπὸ λεπτότητος» καὶ Προμηθ. ἢ Καυκ. 3 «ὃς πρῶτα μὲν τὴν νομὴν τῶν κρεῶν ἐγχειρισθεὶς οὕτως ἄδικον ἐποιήσω καὶ ἀπα-

τηλήν—ἔπειτα δὲ τοὺς ἀνθρώπους ἀνέπλασας πανουργότατα ζῷα καὶ μάλιστά γε τὰς γυναῖκας» καὶ περὶ τοῦ μὴ ῥᾳδ. πιστ. διαβ. 21 «πρῶτον μὲν τὸ φιλόκαινον, ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, καὶ τὸ ἀψίκορον, ἔπειτα δὲ τὸ πρὸς τὰ παράδοξα τῶν ἀκουσμάτων ἑπόμενον». Πρβ. καὶ § 7-8.

Διονύσ. Ἁλικαρν. Ῥωμ. Ἀρχαιολ. σελ. 592 «πρῶτον μὲν τῶν περὶ τὰς φυλὰς ἐγχειρημάτων ἀπέστη, ἔπειτα δ' αὐτὸν τὸν Ναίβιον ἀποθεραπεῦσαι διαγνούς, ὡς ἁπάντων ἀνθρώπων θεοφιλέστατον» καὶ Τόμ. Δ', σελ. 199, 11 Κισλ. «ἀφ' οὗ πρῶτον μὲν τὴν σύνεγγυς, ἔπειτα δὲ καὶ τὴν ἄλλην χώραν σὺν χρόνῳ κληθῆναι Κελτικήν». Πρβ. καὶ Τέχν. Ῥητορ. Ι', 13. Ὁ Jacoby γράφει ἐν τῇ ἐκδόσει τῆς Ῥωμ. Ἀρχ. Διονυσίου τοῦ Ἁλκαρνασσέως Τόμ. Δ', σελ. 248 (1905) «ἔπειτα δὲ cf. Baumann Obs. Gramm. p. 32 seqq». Δὲν ἔχομεν τὸ βιβλίον τοῦτο καὶ ἀγνοοῦμεν τὰ ἐν αὐτῷ γεγραμμένα.

Πλούταρχ. Ἀγησ. Ζ' «ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον· ὑπηρέται Λυσάνδρου μᾶλλον ἢ σύμβουλοι βασιλέως ὄντες· ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος κτέ» καὶ Ψευδοπλούτ. Ἠθικ. σελ. 7, Β' «ὅτι τὸν μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον· ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον καὶ πάντῃ ἀνεπίμονον εἶναι νομίζω».

Στράβ. σελ. 2,8 Μειν. «καὶ πρῶτον μὲν τῷ ὠκεανῷ περίκλυστον, ὥσπερ ἐστίν, ἀπέφαινεν αὐτήν· ἔπειτα δὲ τῶν χωρίων τὰ μὲν ὠνόμαζε, τὰ δὲ ὑπηνίττετο τεκμηρίοις τισί» καὶ σελ. 95, 17 «πρῶτον μὲν τὴν τῶν προσβόρρων Ἰνδῶν, ἔπειτα δὲ καὶ τὴν ἐν τῇ Ὑρκανίᾳ καὶ τῇ Ἀρίᾳ κτέ».

Πολύαιν. Στρατηγ. Δ', 6,6 «πρῶτον μὲν ἔπεισεν αὐτοὺς προστίθεσθαι μηδενί, ὥστε γε τοῦτο πρῶτον Ἀντιγόνῳ κατώρθωτο· ἔπειτα δὲ κατήγαγεν αὐτοὺς ἀπὸ τῶν λόφων ἐς χωρίον ἱππάσιμον» καὶ Ε', 47 «πρῶτον μὲν τοὺς πένητας καὶ πεζοὺς τοῖς εὐπόροις καὶ ἱππεῦσι συνέκρουσεν — ἔπειτα δὲ καὶ πρὸ τῶν πυλῶν ἐξόπλισιν ποιήσας κτέ».

Νικόλ. Δαμασκην. Ἱστορ. Ἑλλ. Μικρ. Τόμ. Α', σελ. 54,7 Δινδ. «πρῶτον μὲν Καδουσίους προσαγαγόμενος ἐθέλοντας· Πέρσας μὲν γὰρ φιλοῦσι, Μήδους δὲ πάνυ μισοῦσι· ἔπειτα δὲ Πέρσας θαρρύνας τε καὶ ὁπλίσας περὶ τετταράκοντα ὄντας μυριάδας» καὶ σελ. 99,3 «πρῶτον μὲν τοῦ σώματος ἐγκρατέστατα ἐπεμελήθη καὶ

ταχὺ ἀνερρώσθη, ἔπειτα δὲ τὴν ἔξοδον ἐκ τῆς πατρίδος ἐποιεῖτο ἐπὶ τὴν στρατιὰν κατὰ τὰς τοῦ θείου ἐντολάς» καὶ Μάλχ. σελ. 386,3 «νῦν δὲ πρῶτον μὲν αὐτὸν διὰ πόλεων ἦγεν—ἔπειτα δέ, ὡς ἀνῆλθεν ἐς Βυζάντιον, δέχεται παρὰ τοῦ βασιλέως ἀσμένως» καὶ Ἀγαθί. Τόμ. Β', σελ. 231,32 «πρῶτον μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας μάλα εὑρόντες καὶ πέρα τοῦ δέοντος ἐξωγκωμένους ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ ἑώρων ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται οἱ μὲν ἡλίσκοντο, οἱ δὲ καὶ διελάνθανον» καὶ σελ. 391,24 «κινήσας τὸν οἰκεῖον στρατὸν πρῶτα μὲν ἐμβάλλει ἀθρόον τοῖς τῶν πολεμίων χωρίοις—ἔπειτα δὲ καὶ τοῖς ἐκ Θρᾴκης ἐπανερχομένοις ἄρτι τὸν Ἴστρον ποταμὸν διαπεραιωθεῖσιν ὑπαντιάζει ἐξαπιναῖα». Πρβ. καὶ Εὐστάθ. Ἐπιφαν. Τόμ. Α', σελ. 360,32 «καὶ πρῶτα μὲν Λογγῖνον Ζήνωνος ἀδελφόν, τὴν τοῦ μαγίστρου ἀρχὴν διέποντα—ἀνὰ τὴν ἐνεγκαμένην ἐκπέμπει, εἶτα δὲ καὶ πολλοὺς ἑτέρους Ἰσαύρους».

Δίων Κάσσ. Τόμ. Β', σελ. 327,1 Δινδ. «τῷ δὲ δὴ Σέξτῳ πρῶτον μὲν διὰ τῶν ἑταίρων—συνέβησαν, ἔπειτα δὲ καὶ αὐτοὶ πρὸς Μισηνῷ ἐς λόγους ἦλθον».

Ἀλκίφρ. Ἐπιστολ. Γ', 23,1 «πρῶτον μὲν οὖν τοῖς θεοῖς ἀπηρξάμην, ἔπειτα δὲ τοῖς φίλοις ὑμῖν ἀπάρχομαι».

Γαλην. Τόμ. Α', σελ. 25 «πρῶτον μὲν τοῦ Ἱπποκράτους ἀκούσῃ λέγοντος—ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων τῶν μετ' αὐτὸν ἀρίστων ἰατρῶν» καὶ σελ. 292 «καὶ πρῶτον μὲν τοῦ σωθήσεσθαι τὸν ἄνθρωπον ἢ ἀπολεῖσθαι τὴν πρόγνωσιν ἐκ τοῦ διαγνῶναι τὸ ἰσχυρότερον· ἔπειτα δὲ καὶ τῆς προθεσμίας ἐκ τοῦ πόσῳ θάτερον ἰσχυρότερόν ἐστι ποιεῖται» καὶ σελ. 524 «διχῶς δ' ἐσφάλησαν πρῶτον μὲν ἐκ τοῦ βούλεσθαι πάντως ἐν ταῖς ὥραις εὑρεῖν τὴν τετάρτην συζυγίαν τῶν κράσεων, ἔπειτα δ' ἐκ τοῦ καὶ θερμότερον ἢ κατὰ τὸν χειμῶνα καὶ ὑγρότερον ἢ κατὰ τὸ θέρος ὑπάρχειν αὐτό» καὶ σελ. 584 «πρῶτον μὲν γὰρ οὐδὲ πλεονεξίᾳ θερμότητος ὀρέγεσθαι τὰ ζῷα, τοὐναντίον δ' ἅπαν ἀποψυχομένων τῶν ὀρεκτικῶν μορίων· ἔπειτα δέ, διότι μὴ μόνον εἰς θρέψιν ἀλλὰ καὶ εἰς αὔξησιν αὐτοῖς ἡ τροφὴ διοικεῖται». Τόμ. Β', σελ. 20 «πρῶτον μὲν οὐκ ἐκ πάντων ἐδεσμάτων πᾶν ζῷον τρέφεσθαι πέφυκεν, ἔπειτα δ' οὐκ ἐξ ὧν οἷόν τ' ἐστιν, οὐδ' ἐκ τούτων παραχρῆμα». Καὶ ἐν πολλοῖς δ' ἄλλοις τόποις τῶν συγγραμμάτων τοῦ Γαληνοῦ εὑρίσκεται τὸ πρῶτον μὲν—ἔπειτα δέ. Πρβ. καὶ

Τόμ. Δ', σελ. 474 «οἱ δ' ἀντιλέγοντες αὐτῷ **πρῶτα μὲν** οὐδ' ἀποδεῖξαί που μηδ' ὅλως παρεσπάρθαι τοῖς σώμασί που κενόν, ἀλλ' ὅτι μὴ ἀθρόον ὑπομιμνήσκουσιν· ἔπειτα δέ, εἰ καὶ τοῦτο συγχωρηθείη, κτέ» καὶ Τόμ. Η', σελ. 620 «πρῶτον μὲν ἴσως διχῇ τέμνειν αὐτάς, **εἶτα δὲ** καὶ τριχῇ καὶ τετραχῇ περιέσται (γρ. ἴσ. παρέσται)» καὶ Τόμ. ΙΒ', σελ. 667 «πρῶτον μὲν ἅπαξ λύειν καὶ πυριᾶν, εἶτα δὲ οὐδὲ τοῦτο συμφέρει πράττειν» καὶ Τόμ. Ι϶', σελ. 334 «πρῶτον μὲν οἱ ὀφθαλμοὶ αὐτοῦ τῆς ὑγρότητος πληροῦνται, εἶτα δέ, εἰ πλεῖον ἀναβλέψει (γρ. ἀντιβλέψειε), εἰς τὸ πάθος καὶ αὐτὸς συμπίπτει (γρ. ἐμπίπτει)» καὶ Τόμ. ΙΖ', α', σελ. 409 «πρῶτον μὲν λέγει ἀφανίζεσθαι, εἶτα δὲ καὶ ἐξαίφνης καὶ παραλόγως καὶ ἀλόγως κτέ». Εἶνε δ' ὑπὸ τοῦ Γαληνοῦ εἰρημένον καὶ πρῶτον μέν—ἐφεξῆς δέ Τόμ. Α', σελ. 531 καὶ Τόμ. Γ', σελ. 919 καὶ Τόμ. Ε', σελ. 67 καὶ ἀλλαχοῦ καὶ πρῶτον μέν—ἐξῆς δέ Τόμ. Δ', σελ. 56 καὶ σελ. 214 καὶ Τόμ. Θ', σελ. 349 καὶ Τόμ. Ι' σελ. 512 καὶ σελ. 521. Πρβ. καὶ Τόμ. ϛ', σελ. 333 «**πρῶτα μέν** ὅσα λαπάττει τὴν γαστέρα προσφερόμενος, ἐφεξῆς δὲ ἰχθύων τὸ πλεῖστον». Ἐγένετο δ' ὑπὸ τοῦ Γαληνοῦ χρῆσις καὶ τοῦ δισυλλάβου ἐπιρρήματος ἑξῆς, εἶθ' ἑξῆς, οἷον Τόμ. Ζ', σελ. 460 καὶ σελ. 537 καὶ Τόμ. Η', σελ. 123-4 καὶ σελ. 147 καὶ σελ. 626 καὶ Τόμ. Θ' σελ. 207 καὶ σελ. 241 καὶ σελ. 659 καὶ Τόμ. Ι', σελ. 754 καὶ Τόμ. ΙΑ', σελ. 325 καὶ σελ. 483 καὶ σελ. 524 καὶ σελ. 791 καὶ σελ. 797 καὶ Τόμ. ΙΓ', σελ. 159 καὶ σελ. 270. Πρβ. καὶ Τομ. Α', σελ. 308 «πρῶτον μὲν κἀνταῦθα τῶν ὑγιεινῶν, ἐφεξῆς δὲ τῶν νοσερῶν, εἶτα τῶν οὐδετέρων» καὶ Τόμ. Ζ', σελ. 446 «πρῶτον μὲν γὰρ ἰχῶρες ὑδατώδεις ἄπεπτοι καὶ λεπτοὶ ῥέουσιν ἐξ αὐτῶν· εἶθ' ἑξῆς ἐλάττους τε καὶ παχύτεροι· κἄπειτα ἤδη πύον λεπτόν· εἶτα ἔλαττον μὲν τῷ πλήθει τοῦτο γίνεται, παχύτερον δὲ καὶ λευκότερον» καὶ σελ. 582 «πρῶτα μὲν ὅσα μεγίστην ἔχει δύναμιν, εἶθ' ἑξῆς τὰ λοιπά—εἶθ' ἑξῆς τὰ κατὰ τοὺς σφυγμούς, ἀγρυπνίας τε καὶ ὕπνους» καὶ σελ. 506 «πρῶτον μὲν μίαν συζυγίαν τῶν ἐκ τοῦ πεμπταίου, φέρ' εἰπεῖν, μιᾷ τῇ κατὰ τὸν ἑκταῖον, ὡς ἐκ δυοῖν συζυγιῶν γενέσθαι τινὰ τρίτην ἄλλην, εἶθ' ἑξῆς ἁπάσαις ἁπάσας ἐπιπλέκειν, εἶθ' οὕτω μίαν δυοῖν, εἶτα τρισίν, εἶτα πλείοσιν—μετὰ δὲ τοῦτο κτέ» καὶ Τόμ. ΙΑ', σελ. 95 «πρῶτον μὲν στόμα καὶ φάρυγγα καὶ στόμαχον· ἔπειτα δ' αὐτὴν τὴν γαστέρα καί τινα τῶν λεπτῶν ἐντέ-

ρων· εἶτα τὰς ἐν τῷ μεσεντερίῳ φλέβας· εἶτα τὰ ἐν τοῖς σιμοῖς τοῦ ἥπατος» καὶ σελ. 655 «πρῶτον μὲν γλυκύτητά τινα καὶ δριμύτητα προσλαμβάνειν ἀποτιθέμενος τὴν στῦψιν, ἐφεξῆς δὲ παραύξεσθαι μὲν τῇ δριμύτητι, παύεσθαι δὲ κατὰ βραχὺ τῆς γλυκύτητος, κἄπειτ' αὖθις ἐν τῷ πλείονι χρόνῳ δριμεῖς θ' ἱκανῶς γίγνεσθαι καὶ πικρότητα ἀεὶ προσλαμβάνειν». Ἄξια μνείας εἶνε δύο ἔτι χωρία διάφορα τῶν ἤδη μνημονευθέντων Τόμ. Α', σελ. 300 «ὅσα δὲ χολώδη, καθάρσει μὲν πρῶτον, ἑξῆς δὲ τῇ διὰ τοῦ δέρματος κενώσει» καὶ Τόμ. Ι', σελ. 998 «ὥσπερ καὶ Ἱπποκράτης ἔλεγεν ἐπὶ καταντλήσεως ὕδατος θερμοῦ, τὸ μὲν πρῶτον ἀείρεται, ἔπειτα δ' ἰσχναίνεται».

Ῥοῦφ. Ἐφέσ. σελ. 71 Δαρ «πρῶτον μὲν οὖν τούτων θεραπείας ἐρῶ, ἔπειτα δὲ καὶ τῶν ἀποσκημμάτων εἰς ὁπότερα ἂν κατασκήψῃ» καὶ σελ. 197 «πρῶτον μὲν δή, ὡς εἴρηται, αὐτόν τινα χρὴ τὸν νοσοῦντα ἐρωτᾶν περὶ ὧν χρὴ εἰδέναι, ἔπειτα δὲ καὶ τοὺς παρόντας» καὶ σελ. 359 «πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή· ἔπειτα δὲ καθαίρειν» καὶ σελ. 367 «κωλύει δὲ τὰ προειρημένα νοσήματα πρῶτον μὲν ἡ λεπτύνουσα τμητικὴ δύναμις, ἔπειτα δὲ καὶ καθάρσεις ἁρμόδιοι» καὶ σελ. 435 «πρῶτον μὲν αἱ ὀδύναι τοῖς κωλικοῖς συνεχέστεραι καὶ ἰσχυρότεραι τῶν νεφριτικῶν εἰσιν· ἔπειτα δὲ καὶ οἱ συμβαίνοντες ἔμετοι πλείονές εἰσι». Πρβ. καὶ Ὀρειβάσιον Τόμ. Α', σελ. 355,8 Δαρ.· ἔτι δὲ Τόμ. Β', σελ. 248.

Ἀλέξ. Τραλλιαν. Τόμ. Α', σελ. 501 Πουσχ. «πρῶτον μὲν ἐπιβροχαῖς κέχρησο ταῖς δι' οἰνελαίου καὶ νάρδου καὶ γλευκίνου καὶ στύρακος καὶ μαστίχης, ἔπειτα δὲ καὶ ἐπιθέμασι».

Σέξτ. Ἐμπειρ. σελ. 638, 26 «πρῶτον μὲν ἐκ τῆς διαφωνίας, ἔπειτα δὲ καὶ ἐξ αὐτῶν τῶν ἀποτελεσμάτων».

Θεμίστ. Παραφρ. Τόμ. Α', σελ. 233,10 Σπεγγ. «πρῶτον μὲν γὰρ ἐχρῆν, εἴπερ ὁμοιοειδές, καὶ τὰ μόρια πάντα κύκλῳ κινεῖσθαι— —ἔπειτα δέ, εἰ κύκλῳ, καὶ πεπέρανται».

Παρθέν. περὶ Ἐρωτ. Παθ. Ι', 4 (Ἐρωτ. Συγγρ. Τόμ. Α', σελ. 15,10 Ἑρχ.) «αὐτὸς δὲ πρῶτον μὲν τὰς κύνας ἐπικατέσφαξε τῇ πυρᾷ, ἔπειτα δὲ πολλὰ ἀποδυράμενος τὴν παῖδα διεχρήσατο ἑαυτόν».

Μῦθ. Αἰσώπ. 250 (σελ. 122 Ἁλμ.) «πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα δὲ καὶ ἐπὶ τοὺς βόας ἐτράπη».

Λεόντ. Μηχαν. Τόμ. Α', σελ. 257 Buhl. «αἴτιον δὲ πρῶτον

μέν, ἐπεὶ καὶ τὰ Εὐδόξου — οὐ λίαν ὀρθῶς εἴληπται, ἔπειτα δὲ ὅτι καὶ οὐ πρὸς τὸ ἀκριβές».

Ἀλκίν. Διδασκ. τῶν Πλάτ. Δογμ. ΙϚʹ (Πλάτ. Τόμ. Ϛʹ, σελ. 172 Τευβν.) «πρῶτον μὲν αἰσθήσεις, ἔπειτα δὲ ἡδονὴ καὶ λύπη φόβος τε καὶ θυμός»

Πλωτῖν. Τόμ. Βʹ, σελ. 193,10 Κιρχ. «πρῶτον μὲν ἄτοπον δόξει εἶναι — ἔπειτα δέ, εἰ μετροῦντες τὰ ὑποκείμενα κτέ» καὶ σελ. 297,5 «πρῶτον μὲν ἑαυτὴν ἐχρόνωσεν ἀντὶ τοῦ αἰῶνος τοῦτον ποιήσασα· ἔπειτα δὲ καὶ τῷ γενομένῳ ἔδωκε δουλεύειν χρόνῳ» καὶ σελ. 391,23.

Πρόκλ. Διάδ. εἰς τὸν Τίμ. Πλάτ. σελ. 585 Σνειδ. «πρῶτον μὲν οὐ περὶ τὰ αὐτὰ στρέφεται τῷ αἰῶνι — ἔπειτα δὲ εἰκών ἐστι καὶ οὐκ ἀντίθεσις αὐτοῦ» καὶ σελ. 603 «πρῶτον μὲν γιγνόμενον ἄν τι λέγοιμεν ἐν ἡμέρᾳ καὶ οὐχ ὅπερ ἐστὶν ἡμέρα — ἔπειτα δὲ πῶς τοῦτο μόριον ἂν εἴη χρόνου» καὶ σελ. 608 «πρῶτον μὲν ἐπισημήνασθαι ἄξιον — ἔπειτα δὲ προσεκτέον».

Σιμπλίκ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θʹ, σελ. 173,37 «πρῶτον μὲν ἢ οὐ πᾶν αἰσθητὸν ἐκ παντὸς αἰσθητοῦ γενήσεται — ἔπειτα δὲ καὶ ἐπὶ τῶν στοιχείων ἀληθὲς εἰπεῖν ἀπείρων ὄντων τῷ πλήθει» καὶ Τόμ. ΙΑʹ, σελ. 80,25 «πρῶτον μὲν ἀρχὴν αὐτὴν προειπών, ἔπειτα δὲ αὐτὸ τοῦτο δεικνύς» καὶ σελ. 101,30 καὶ σελ. 106,3 καὶ σελ. 112,26 καὶ σελ. 202,2.

Λιβάν. Ἐπιστολ. σελ. 577 Οὔολφ. «καὶ ταῦτα πρῶτον μὲν οἴου παρ' ὅλης ἀκούειν τῆς πόλεως, ἔπειτα δὲ καὶ παρὰ τοῦ καλοῦ Σαλουστίου» καὶ σελ. 637 «ὥστε γράμματά σου λαβὼν μὴ οὐχὶ πρῶτον μὲν ἡσθῆναι, ἔπειτα δὲ ἀντεπιστεῖλαι».

Φίλ. Ἰουδ. Τόμ. Αʹ, σελ. 93 «πρῶτον μὲν γενητὸς — ἔπειτα δὲ νεώτερος τοῦ βοηθουμένου» καὶ Τόμ. Βʹ, σελ. 269 «πρῶτον μέν, ἵν' ἐπιδείξῃ ὅτι οὐκ ἐν τῷ γεγονότι τὸ πεποιηκὸς αἴτιον· ἔπειτα δὲ ὑπὲρ τοῦ παραστῆσαι ὅτι κτέ.» καὶ Τόμ. Γʹ, σελ. 312 «πρῶτον μὲν ὑπαρχούσης περὶ τὸ ὄν, ἔπειτα δὲ περὶ τὸν τοῦ ὄντος λόγον» καὶ Τόμ. Δʹ, σελ. 326 «βούλεται γὰρ τοῦ θύοντος πρῶτον μὲν τὸν νοῦν ὡσιῶσθαι γνώμαις ἀγαθαῖς καὶ συμφερούσαις ἐνασκούμενον, ἔπειτα δὲ τὸν βίον ἐξ ἀρίστων συνεστάναι πράξεων» καὶ Τόμ. Εʹ, σελ. 38 «βουλόμενος πρῶτον μὲν διαφορὰν οἰκείων τε καὶ ἀλλοτρίων εἶναι·

ἔπειτα δὲ μὴ κατὰ τὸ παντελὲς ἀναγκαιότατον κτῆμα θεράποντας ἀνεῖρξαι τῆς αὐτοῦ πολιτείας» καὶ πρῶτον μὲν ὅτι ἀρχὴ μηνὸς ἀρχὴ δὲ καὶ ἀριθμοῦ καὶ χρόνου τίμιον· ἔπειτα δὲ ὅτι κατ' αὐτὴν οὐδὲν ἀφώτιστον ἐν οὐρανῷ» καὶ σελ. 158 «ἵνα πρῶτον μὲν μὴ ἀποδοκιμάζωσι συμβούλους ὡς ἱκανοὶ πάντα περιαθρεῖν — ἔπειτα δέ, ἵνα δευτέρους καὶ τρίτους ἡγεμόνας αἱρῶνται» καὶ σελ. 212 «ὅτι πρῶτον μὲν ἀλαζονεία ψυχῆς ἐστι κακία — ἔπειτα δ' ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν κτέ.» καὶ Τόμ. Ϛ', σελ. 24 «πρῶτον μὲν ὅτι καὶ ἐκ σπέρματος ἡ γένεσις καὶ εἰς σπέρμα ἡ ἀνάλυσις· ἔπειτα δ' ὅτι φυσιολογεῖται ὁ κόσμος καὶ φύσις λογική». Πρβ. Τόμ. Δ', σελ. 144 «ἀλλὰ πρῶτον μέν, ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν, ἀναγκαῖον μισθὸν κομιζόμενοι — εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν ἐν ἐλάττοσι καὶ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες». Εἶνε δ' ὑπὸ τοῦ Φίλωνος εἰρημένον καὶ «ἔστω δέ φησι, πρῶτον μὲν τὸ ἱερεῖον ἄρρεν—ἔπειτα δὲ ἀπονιψάμενος ὁ προσάγων τὰς χεῖρας ἐπιφερέτω τῇ τοῦ ἱερείου κεφαλῇ· καὶ **μετὰ ταῦτα** λαβών τις κτέ.» (Τόμ. Δ', σελ. 326).

Ἰώσηπ. Τόμ. Γ', σελ. 317, 9 Νισ. «ἐπέστελλε πρῶτον μὲν Ἡρῴδῃ συλλαμβάνεσθαι τοῦ πολέμου, ἔπειτα δὲ καὶ ἐπὶ τὸν σφέτερον καλεῖν τοὺς συμμάχους» καὶ Τόμ. Ε', σελ. 18, 18 «πρῶτον μὲν τὴν ἑτέρωθεν ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν οὕτως ἀρχαίαν τοῖς χρόνοις».

Καιν. Διαθ. πρὸς Ἑβρ. Ζ', 2 «πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ κτέ.».

Ὠριγέν. Τόμ. ΙΓ', σελ. 106 «πρῶτον μὲν τὴν πλανηθεῖσαν ψυχὴν ὡς δικαιοσύνη ἐπιστρέφει ὁ κύριος, ἔπειτα δὲ καὶ ὡς σοφία» καὶ σελ. 143 «πρῶτον μὲν ὅτι καὶ χρονίζει, ἔπειτα δὲ καὶ σχεδὸν πάντας τοὺς λογισμοὺς ἔχει ἐν ἑαυτῷ».

Κλήμ. Ἀλεξ. Τόμ. Α', σελ. 130, 4 Δινδ. «ἡ πρῶτον μὲν ἀμφὶ τὸν κόσμον καὶ τὸν οὐρανὸν τάς τε ἡλιακὰς περιδινήσεις κυκλεῖται καὶ τῶν λοιπῶν ἄστρων τὰς φορὰς ἀσχολεῖται διὰ τὸν ἄνθρωπον, ἔπειτα δὲ καὶ περὶ τὸν ἄνθρωπον αὐτόν, περὶ ὃν ἡ πᾶσα σπουδὴ καταγίνεται» καὶ Τόμ. Β', σελ. 126,24 «ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν τοῖς Αἰγυπτίοις μισθὸν ἀναγκαῖον κομιζόμενοι—ἔπειτα δὲ καὶ τρόπον τινὰ ἠμύναντο ἀντιλυποῦντες ὡς φιλαργύ-

ρους Αἰγυπτίους τῇ τῆς λείας ἐκφορήσει» καὶ σελ. 274, 7 «πρῶτον μὲν γὰρ τὴν ἰδίαν νύμφην εἶχεν τὴν ἐκκλησίαν, ἔπειτα δὲ οὐδὲ ἄνθρωπος ἦν κοινός» καὶ σελ. 301, 18 «πρῶτον μὲν οὖν ἐν τοῖς παραδεδομένοις ἡμῖν τέτταρσιν εὐαγγελίοις οὐκ ἔχομεν τὸ ῥητὸν ἀλλ' ἐν τῷ κατ' Αἰγυπτίους· ἔπειτα δὲ ἀγνοεῖν μοι δοκεῖ ὅτι θυμὸν μὲν ἄρρενα ὁρμήν, θήλειαν δὲ τὴν ἐπιθυμίαν αἰνίττεται» καὶ Τόμ. Γ', σελ. 167, 27 «πρῶτον μὲν τὸ θέλημα τοῦ θεοῦ παιδευτικὸν καὶ ἐνεργητικὸν τυγχάνον σῴζειν τοὺς ἐπιστρέφοντας πιστευτέον, ἔπειτα δὲ καὶ τὸ λεπτομερέστερον, ἡ ψυχή, οὐκ ἄν ποτε πρὸ τοῦ παχυμερεστέρου ὕδατος πάθοι τι δεινόν» καὶ σελ. 194, 23 καὶ σελ. 329, 27.

Γρηγ. Νύσσ. Τόμ. Α', σελ. 57 «πρῶτον μὲν θηριώδης τις ἂν ἦν καὶ δυσάντητος—ἔπειτα δὲ παρεῖδεν ἂν τὴν κατὰ τῶν ἄλλων ἀρχὴν» καὶ σελ. 724, Α' «ἀλλὰ πρῶτον μὲν ἀντὶ τοῦ ὄρους ἐπ' αὐτὸν ἀνάγει τὸν οὐρανόν, βατὸν τοῖς ἀνθρώποις αὐτὸν διὰ τῆς ἀρετῆς καταστήσας, ἔπειτα δὲ οὐ θεατὰς μόνον τῆς θείας δυνάμεως ἀλλὰ καὶ κοινωνοὺς ἀπεργάζεται» καὶ σελ. 732, Α' «πρῶτον μὲν οὐχ ἕνα τοῦ παντὸς ἀποκρίνας μόνον εἰς ὁμιλίαν ἄγει θεῷ — ἔπειτα δὲ οὐκ ἀλλοτρίῳ κόσμῳ κτέ.» καὶ σελ. 830, Γ' «πρῶτον μὲν ὅτι τὸ πτωχεῦσαι τῷ πνεύματι τοῖς ἕνεκεν αὐτοῦ διωχθεῖσιν εἰς ἴσον ἄγει — ἔπειτα δὲ πῶς τοὺς δεξιοὺς ἀπὸ τῶν εὐωνύμων διακρίνας προσκαλεῖται πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν».

Ἐπιφάν. Τόμ. Α', σελ. 326, 19 Δινδ. «πρῶτον μὲν διδάσκων ἀπαρνησιθείαν — ἔπειτα δὲ ἀπατῶν τοὺς ἀκούοντας καὶ ἀρνεῖσθαι τὴν ἰδίαν πίστιν στόματι καὶ μὴ ἔχειν ἁμαρτίαν φάσκων» καὶ Τόμ. Β', σελ. 161, 6 «πρῶτον μὲν κάλυμμα ἐπιθέσθαι δι' αἰδῶ, ΜΕΤέπειτα δὲ ἰδοῦσαν αὐτὸν σὺν ὅλῃ τῇ καρποφορίᾳ αὐτοῦ προσδραμεῖν αὐτῷ» καὶ σελ. 467, 23 «ἀλλὰ πρῶτον μὲν εἰς τὴν Γαλιλαίαν, ἔπειτα δὲ ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην» καὶ σελ. 506, 30 «πρῶτον μὲν φύλλα συκῆς ἑαυτοῖς ἔρραψαν, ἔπειτα δὲ χιτῶνες δερμάτινοι αὐτοῖς ἐδόθησαν» καὶ σελ. 591, 33 «καὶ πρῶτον μὲν τὰ ὑπ' αὐτοῦ ῥηθέντα εἰς ἔλεγχον τῆς αὐτοῦ παραπεποιημένης ἐπιπλάστου ἐννοίας παραθήσομαι, ἔπειτα δὲ καὶ τὰ κατ' αὐτοῦ ῥηθησόμενα παρὰ τῆς ἡμῶν μετριότητος ὑποδείξω» καὶ Τόμ. Γ', σελ. 24, 1 «πρῶτον μὲν πρὸς σωτηρίαν τῆς σεαυτοῦ ψυχῆς, ἔπειτα δὲ καὶ τὴν ἅμα σοὶ τυγχανόντων» καὶ σελ. 363, 25 «καὶ πρῶτον μὲν πολλὰ ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος καὶ πεπονθότος, πομ-

πεύσαντός τε, ὡς ἔφην, καὶ ξύλοις παισθέντος, ἔπειτα δὲ συρέντος ὅλην σχεδὸν τὴν πόλιν». Πρβ. καὶ σελ. 65, 13 «πρῶτον μὲν δεσμῷ σώματος τῆς ὕλης, εἶτα δὲ καὶ πολλαῖς τῶν ἁμαρτημάτων ἀτοπίαις». Εἶνε δ' ὑπὸ τοῦ Ἐπιφανίου εἰρημένον καὶ «πρῶτον μὲν - ἔπειτα - ἔπειτα δέ Τόμ. Β', σελ. 177, 15.

Εὐσέβ. Προπαρ, Εὐαγγ. Τόμ. Α', σελ. 496, 2 Δινδ. «πρῶτα μὲν τοὺς ἐντυγχάνοντας ἀναιρεῖν, ἔπειτα δὲ καὶ τὸν Ἐμμὼρ καὶ τὸν Συχὲμ φονεῦσαι» καὶ Τόμ. Β', σελ. 299, 15 «πρῶτον μὲν εἴη ἂν τὸ λεγόμενον ἕτερον — ἔπειτα δὲ ἓν τὸ ὂν οὐκ ἔσται» καὶ σελ. 301, 31 «τοῖς μέντοι διακειμένοις οὕτω περιέσεσθαι Τίμων φησὶ πρῶτον μὲν ἀφασίαν, ἔπειτα δ' ἀταραξίαν, Αἰνησίδημος δὲ ἡδονὴν» καὶ σελ. 312, 25 «πρῶτον μὲν τί δήποτε, τοιούτων γε δὴ τῶν πραγμάτων ὄντων, ἠξίωσαν εἶναι μέτρον τῆς ἀληθείας τὸν ἄνθρωπον, ἀλλ' οὐ σῦν ἢ κυνοκέφαλον; ἔπειτα δὲ πῶς ἔλεγον εἶναι σοφοὺς ἑαυτοὺς κτέ.» καὶ Εὐαγγ. Ἀποδ. σελ. 175, 24 «πρῶτα μὲν παρέδωκαν φυλακῇ, ἔπειτα δὲ ἀπέλυσαν». Ἀπαντᾷ δὲ καὶ ἐν τῷ λόγῳ ὃν ἔγραψε βασιλεὺς Κωνσταντῖνος τῷ τῶν ἁγίων συλλόγῳ ΚΓ' (Τόμ. Β', σελ. 235 Εἰν.) «πρῶτον μὲν πρὸς τὸν θεόν, ἔπειτα δὲ καὶ πρὸς τὴν φυσικὴν τῶν ἀνθρώπων κοινωνίαν». Πρβ. καὶ Ἐκκλησ. Ἱστορ. Τόμ. Α', σελ. 419,6 «πρῶτον μὲν μαστίζεται, εἶτα δὲ μετέωρος ἐπὶ τοῦ ξύλου γενομένη τὰς πλευρὰς αἰκίζεται» καὶ Προπαρ. Εὐαγγ. Τόμ Α', σελ. 358, 28 «πρῶτα μὲν λόγοις ἀπατᾶν αὐτὸν ἐπιχειρούσῃ, εἶτα δὲ ἱκεσίαις ἀντιβολούσῃ». Σημειωτέον δ' ὅτι κεῖται σελ. 20, 31 «πρότερον μὲν τὴν καὶ τούτων παλαιὰν καὶ μυθικωτέραν πλάνην ἐποπτεύσομεν, εἶτα δὲ τὴν σεμνοτέραν καὶ φυσικωτέραν δὴ περὶ θεῶν φιλοσοφίαν καὶ μετὰ ταῦτα τὸν περὶ τῶν θαυμαστῶν χρηστηρίων ἐφοδεύσομεν λόγον», ἀνθ' οὗ ἀναγνωστέον ἴσως πρῶτον μέν.

Σωκρ. Σχολαστ. Ἐκκλησ. Ἱστορ. σελ. 153 Οὐσσ. «πρῶτον μὲν τοὺς περὶ Εὐσέβιον ὡς ἐχθροὺς παρεγράφετο — ἔπειτα δὲ καὶ δείκνυσθαι κτέ.» καὶ σελ. 180 «πρῶτον μὲν τοῖς κατὰ τὰ βασίλεια στρατευομένοις· ἔπειτα δὲ διεδόθη καὶ εἰς τὰ πλήθη τῆς πόλεως».

Ἑρμ. Σωζομ. Ἐκκλησ. Ἱστορ. σελ. 15 Οὐσσ. «πρῶτον μὲν καθότι φιλεῖ ὁ θεὸς τὰς ἐκ παραδόξου μεταβάσεις βραβεύειν ἐπὶ τοῖς θείοις καὶ μεγίστοις πράγμασιν· ἔπειτα δὲ οὐ ταῖς τυχούσαις ἀρεταῖς τῶν ἐξ ἀρχῆς προστάντων αὐτῆς οἰκονομηθεῖσαν ἔστιν εὑρεῖν τὴν θρη-

σκείαν» καὶ σελ. 20 «πρῶτον μὲν γάρ, ὡς εἴρηται, πάντα δεύτερα ποιεῖσθαι τῆς ἀληθείας τὸν συγγραφέα προσήκει, ἔπειτα δὲ τὸ δόγμα τῆς καθόλου ἐκκλησίας γνησιώτατον ὅ τι μάλιστα φανεῖται» καὶ σελ. 303 «πρῶτον μὲν συγκροτηθήσεσθαι τοὺς Εὐσταθίου ἐπαινέτας πολλοὺς ὄντας· ἔπειτα δέ, ὡς εἰκός, νεωτέρων αὐτοὺς πειραθήσεσθαι πραγμάτων».

Προκόπ. Τόμ. Α΄, σελ 136,10 Βόνν. «οἳ δὴ τὸν Ἰωάννην πρῶτα μὲν ἐν δεσμωτηρίῳ καθεῖρξαν, ἔπειτα δὲ ἄνδρα ὕπαρχον δυνατὸν οὕτω γενόμενον κτέ.» καὶ σελ. 286,16 «ἔς τε Λαζικὴν πρῶτα μὲν ξύλα παμπληθῆ ἐς νηῶν ποίησιν ἐπιτηδείως ἔχοντα ἔπεμψεν — ἔπειτα δὲ Περσῶν μαχίμους τριακοσίους ἀπολεξάμενος κτέ» καὶ σελ. 521,10 «πρῶτα μὲν οὖν τὸν Ἀθανάσιον μετεπέμπετο — ἔπειτα δὲ τὸν τῆς πόλεως ἱερέα πέμψας κτέ» καὶ Τόμ. Β΄, σελ. 39,13 «πρῶτον μὲν τὸ φρούριον — ὁμολογίᾳ εἷλεν — ἔπειτα δὲ καὶ τοῖς ἐν τῇ πόλει δεομένοις ἐπέτρεπε τῶν τινας λογίμων ἐς τὸ στρατόπεδον πέμψαι «καὶ ἀλλαχοῦ πολλαχοῦ.

Θέων Προγυμν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α΄, σελ. 227,9 «ἔστι δὲ τῶν ἔξωθεν πρῶτον μὲν εὐγένεια ἀγαθόν — ἔπειτα δὲ παιδεία, φιλία, δόξα κτέ» καὶ σελ. 236,1 καὶ σελ. 241,13. Πρβ. καὶ Ἀνών. σελ. 610,11 καὶ Δοξαπατρ. Τόμ. Β΄, σελ. 181,25 καὶ σελ. 337,9 καὶ σελ. 410,3 καὶ σελ. 539,24. Ἐν σελ. 532,18 φέρεται «πρῶτον μὲν πόσα σημαίνει τὸ τῆς θέσεως ὄνομα — ἔπειτα δὲ πόθεν αὐτὸ θέσις ὠνόμασται· **μετὰ δὲ** καὶ τὴν τάξιν ζητήσομεν τοῦ γυμνάσματος».

Μιχ. Ψελλ. σελ. 42 Βοισσ. «πρῶτον μὲν ἦχόν τινα ἄσημον τοῖς περιεστηκόσι κατὰ τὴν ὑποδοχὴν ἐμποιεῖ, ἔπειτα δὲ ἐπικείμενον τῷ ὕδατι ἀμυδρούς τινας φθόγγους τῆς τοῦ μέλλοντος ὑποψοφεῖ προγνώσεως».

Ἀρμενόπ. σελ. 814 Εἰμβ. «πρῶτον μὲν μὴ χορηγεῖσθαι δαπάνας παρὰ τῶν οἰκονόμων τῶν οἰκείων ἐκκλησιῶν, ἔπειτα δὲ ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τῶν ἱερέων ὑφ᾿ οὓς τελοῦσιν» καὶ σελ. 674.

Φώτ. Ἐπιστολ. σελ. 168 Βαλ. «καὶ πρῶτον μὲν αὐτοὺς ἐκθέσμως εἰς τὴν τῶν Σαββάτων νηστείαν μετέστησαν — ἔπειτα δὲ καὶ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα τῆς ἄλλης νηστείας περικόψαντες κτέ» καὶ σελ. 220 «πρῶτον μὲν γὰρ οὐκ ἂν οὕτω περιφανὴς καὶ κρα-

ταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγίνετο, εἰ μηδὲν αὐτῇ πολέμιον συνεπλέκετο· ἔπειτα δὲ καὶ συνορᾶν ῥᾴδιον κτέ».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 1583,8 «πρῶτα μὲν τὰ περὶ τὴν μοιχείαν Ἄρεως καὶ Ἀφροδίτης· ἔπειτα δὲ τὰ περὶ τὴν εἰσαγωγὴν τοῦ δουρείου ἵππου».

Γεωπον. Τόμ. Α', σελ. 4 Νικλ. «πρῶτα μὲν γὰρ φιλοσοφίαν τε καὶ ῥητορικὴν ἤδη παρερρυηκυίας καὶ πρὸς ἀχανῆ βυθὸν τῆς λήθης καταδεδυκυίας εὐμηχάνως καὶ συνετῶς ἀνειλκύσω τὴν κραταιάν σου χεῖρα ταύταις προσεπιδούς· ἔπειτα δὲ καὶ πᾶσαν ἄλλην ἐπιστήμην τε καὶ τέχνην πρὸς καινισμὸν ἐπανήγαγες. **Μετὰ ταῦτα** τοίνυν εἰδὼς κτέ».

Γεώργ. Παχυμ. Τόμ. Α', σελ. 46,17 «ἀλλὰ πρῶτον μὲν ἐπιστολὰς πληρῶν βασιλέως, ἔπειτα δὲ ἀλλ' οὐ βούλομαι λέγειν» καὶ σελ. 268,15 «ὁ δὲ πρῶτον μὲν εὐχαριστήσας θεῷ ἕτοιμον ἑαυτὸν παρεῖχεν ἀπέρχεσθαι ὅπῃ καὶ βούλοιντο· ἔπειτα δὲ καὶ πρὸς τὸν κλῆρον στραφεὶς κτέ» καὶ σελ. 394,7 «πρῶτον μὲν ἀπηνῶς προστάσσει καὶ ἀπανθρώπως αἰκίζεσθαι, ἔπειτα δὲ τὸν καινὸν ἐκεῖνον θρίαμβον ἀπεργάζεται» καὶ ἀλλαχοῦ. Πρβ. σελ. 183,14 «πρῶτον μὲν ἀποιχόμενον ἄλλον τὸν Μανουήλ, εἶτα δὲ καὶ τὸν περιόντα Ἀνδρόνικον» καὶ σελ. 511,8 «πρῶτον μὲν πάννυχον ἱκετείαν πρὸς θεὸν κατ' ἐκείνων ποιήσασθαι, εἶτα δὲ ἅμ' ἕῳ πατριάρχην κτέ» καὶ Τόμ. Β', σελ. 81,7 «πρῶτον μὲν δοξάσας τὴν θείαν ἀντίληψιν, εἶτα δὲ καὶ ὑπερθαυμάσας τὸν ἄνδρα» καὶ σελ. 596,10 «πρῶτον μὲν τὸν αὐτοῦ καθηγούμενον, ΜΕΤέπειτα δὲ καὶ πατριάρχην πείθει».

Γεώργ. Κεδρην. Τόμ. Α', σελ. 350,11 «πρῶτον μὲν εὐσεβεῖν καὶ θεραπεύειν ἐξ ὅλης καὶ καθαρᾶς ψυχῆς καὶ σώματος τὸ θεῖον, ἔπειτα δὲ τὰ πρὸς ἀνθρώπους δίκαια φυλάττειν ἅπαντα καὶ ἀπροσωπόληπτα» καὶ σελ. 351,17 «πρῶτα μὲν ἀρχόμενοι φιλοσοφεῖν ἐξίστανται τῶν προσηκόντων καὶ τῶν ὑπαρχόντων, ἔπειτα δὲ πάσαις ἀποταξαμένοι ταῖς τοῦ βίου φροντίσι καὶ ἔξω τειχῶν προελθόντες ἐν μονάγροις καὶ κήποις καὶ ὄρεσι τὰς διατριβὰς ποιοῦνται» καὶ σελ. 397,16 καὶ σελ. 525,13.

Νικήτ. Χων. σελ. 255, 6 «πρῶτα μὲν εἰς τὸ τῆς Γραὸς περεμβάλλει Γάλα, ἔπειτα δ' ἐκεῖσε τὰ ὑποζύγια καὶ τὴν ἄλλην ἀποσκευὴν καταθέμενος ἄνεισιν ἐς νέωτα πρὸς τὸν Χάρακα» καὶ σελ. 257, 22 «πρῶτα μὲν οὐδὲ προελθεῖν ὅλως εἴων τοὺς ἀποτεταγμένους εἰς τὴν

ταύτης φρουρὰν Ῥωμαίους, ἔπειτα δὲ καὶ πολιορκεῖν ἐπεβάλοντο» καὶ σελ. 312,20 καὶ σελ. 779,14.

Μιχ. Γλυκ. σελ. 592, 10 «καὶ πρῶτα μὲν εὐχαριστεῖ τῷ λαῷ—ἔπειτα δὲ καὶ σκέψις περὶ τοῦ Μιχαὴλ γίνεται».

Νικηφ. Γρηγ. Τόμ. Α', σελ. 434,10 «πρῶτα μὲν ψιλούς, ἔπειτα δ' ὁπλίτας».

Γεώργ. Σύγκελλ. Τόμ. Α', σελ 301,1 «πρῶτον μὲν τοῦ Γεδεὼν υἱοὺς λέγει τρανῶς, ἔπειτα δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἰεροβαὰλ» καὶ σελ. 462, 2-5.

Κριτόβ. ΟΓ', 1 (Ἀποσπ. Ἱστορ. Ἑλλ. Τόμ. Ε', α', σελ. 101 Μυλλ. «πρῶτον μὲν λαμβάνει τὸν ξυνήθη δασμὸν αὐτῷ τῶν λαφύρων, ἔπειτα δὲ καὶ ἀριστεῖα ἀπὸ πάντων ἐκλέγεται». Πρβ. καὶ ΜΗ'. 2 (σελ. 90). Εἶνε δ' ἐν τῇ αὐτῇ σελίδι ὑπὸ τοῦ Κριτοβούλου εἰρημένον καὶ πρῶτον μέν-ἔπειτα ἄνευ τοῦ συνδέσμου δέ.

Ἱερακοσόφ. σελ. 422, 31 Τευβν. «πρῶτον μὲν ῥέει ὕδωρ ἐκ τῶν μυκτήρων αὐτοῦ, ἔπειτα δὲ ἀποπταίρει».

Σχολ. Ὀδυσσ. σελ. 53, 18 Δινδ. «πρῶτα μὲν ὅτι οὐκ ἀποδημήσει ἐλπιζόντων, ἔπειτα δ', εἰ καὶ ἐκτελέσειε τὴν ὁδόν, ὅτι πεισθήσεται ὅτι τέθνηκεν αὐτῷ ὁ πατήρ — **ἔπειτα δ'** οὐκ ἦν σκοπὸς βιάσασθαι τὸν γάμον».

Σχολ. Ἡσιόδ. σελ. 545, 24 Λιψ. «πρῶτα μὲν ὡς οὐκ ἀχαριστεῖν δεῖ τοῖς εὐεργετοῦσι — ἔπειτα δὲ ὡς πᾶσαν κακίαν ἀφ' ἑαυτῶν ἀποτίθεσθαι» καὶ σελ. 575, 25-30. Πρβ. καὶ σελ. 11, 8 «πρῶτα μὲν γὰρ ἐχρῆν διαίρεσιν φάναι τῶν ποιητῶν—ἔπειτα τὸ γένος εἰπεῖν τοῦ προκειμένου πρὸς τὴν ἐξήγησιν — εἶτα τὴν βίβλον τούτου προχειρισάμενον, πρῶτον μὲν ἀκριβῶς τὸν αὐτοῦ φάναι σκοπόν· μετέπειτα δὲ καὶ τὰς μυθικὰς ἱστορίας εἰς πλάτος, εἶτα καὶ ταύτας ἀλληγορῆσαι».

Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 279, 20 Δινδ. «πρῶτον μὲν τῆς γῆς πρὸς τὰ φυτὰ δυστυχίαν διεξιών, δι' ἧς τὰ θρέμματα ἐφθείρετο· ἔπειτα δὲ καὶ τὴν λοιμικὴν νόσον προσθείς».

Σχολ. Εὐριπ. Τόμ. Α', σελ. 7, 4 Δινδ. «ἐφείσαντο δ' αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν» καὶ σελ. 92, 26 «καὶ πρῶτα μὲν διηγεῖται πόθεν αὐτῇ ἡ φήμη τῆς νόσου τῆς βασιλίσσης εἰσῆλθεν· ἔπειτα δὲ καὶ ζητεῖ τίς

ἂν εἴη ἡ πρόφασις τῆς νόσου» καὶ Τόμ. Γ', σελ. 271, 10 «πρῶτον μὲν μερικῶς ἐξήνεγκε, ἔπειτα δὲ καθόλου, πρῶτον μὲν εἰς κοινὸν φέρει πατρίδι εἰπών, ἔπειτα δὲ κακῶν αἱ πόλεις ἐλασσόνων».

Σχολ. Βατραχομ. σελ. 318, 5 Λουδουίχ. «πρῶτον μὲν οὖν ἐβρόντησε καὶ τὸν μέγαν οὐρανὸν συνετάραξεν, ἔπειτα δὲ κεραυνόν, φοβερὸν ὅπλον Διός, ἀφῆκε».

Σχολ. Ἱπποκρ. καὶ Γαλην. Τόμ. Α', σελ. 248 Διτζ. «πρῶτον μὲν ὅτι τὸ τοιοῦτον σύμπτωμα οὐ πνεῦμα — ἔπειτα δὲ καὶ δῶμεν τὸ πνεῦμα δύνασθαι τρέπεσθαι εἰς ὕδωρ» καὶ Τόμ. Β', σελ. 79.

Ἀπαντᾷ δὲ καὶ ἐν Ἐπιγραφῇ τῶν Μακεδονικῶν χρόνων (Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμ. 156,40 σελ. 241 «πρῶτον μὲν κελεύσουσιν ὑγιαίνειν αὐτόν τε καὶ τὴν ἀδελφὴν αὐτοῦ βασίλισσαν καὶ τὰ τέκνα καὶ τοὺς φίλους καὶ τὰς δυνάμεις, ἔπειτα δ' ἀπαγγελοῦσιν αὐτῷ τὴν τιμήν».

Ἐν τῷ Προτρεπτικῷ τοῦ Ἰαμβλίχου Ϛ' ἐξέδωκεν ὁ Κισλίγγιος σελ. 90,3 «πρῶτον μὲν μαθήματα τιμῶν — ἔπειτα δὲ τὴν τοῦ σώματος ἕξιν καὶ τροφήν» καὶ ἐσημειώσατο «ἔπειτα δέ: Sic scripsi propter ἔπειτα γ', quod in Platone exstat In Arc. edit. legitur ἐπὶ et in Cd. Ciz. ἔπειτα sine δέ».

Ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου κεῖται σελ. 71,36 «οἱ δὲ **τὰ πρῶτα** μὲν οὐκ ἀντεῖπον, ἔπειτα δὲ μηδὲν αὐτὴν ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν». Πρβ. καὶ Ἑλλένδετον ἐν τῇ ἐκδόσει τῆς Ἀρριανοῦ Ἀναβάσεως Τόμ. Α', σελ. 227.

Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα μετὰ τὸ πρῶτα μέν ἐπιφέρεται τὸ ἔπειτα μέντοι σελ. 209 Βεκκ. «πρῶτα μὲν τὴν αἰτίαν τῆς κωλύσεως ἐγκαλεῖν, ἔπειτα μέντοι κελεύειν αὐτὸν τοῖς δαίμοσι θύειν». Πρβ. καὶ Αἰλιαν. περὶ Ζῴ. Ϛ', 15 «τὰ μὲν πρῶτα πλησίον γενόμενο ἐφόβησέ τε καὶ ἐξέπληξεν αὐτόν, εἶτα μέντοι τῇ συνηθείᾳ φιλίαν τινὰ καὶ εὔνοιαν ἐς ἑαυτὸν ἐκ τοῦ παιδὸς ἰσχυρὰν ἐπηγάγετο» καὶ Η', 7 «οὐ τὸν ἀψάμενον ἐκθνήσκειν τὰ πρῶτα, εἶτα μέντοι καὶ ἀποθνήσκειν» καὶ ΙΔ', 7 «τὰ μὲν πρῶτα περιβλέπει δεῦρο καὶ ἐκεῖσε ἑλίττει τὸ ὄμμα, δεδοικυῖα μή τις αὐτὴν θεάσηται· εἶτα μέντοι νικωμένη ὑπὸ τοῦ ἱμέρου κτέ» καὶ ΙϚ', 15 «πρῶτον μὲν ὑπὸ τῆς ἑῴας δρόσου — εἶτα μέντοι δεσμεύεται κάτω βρυώδει τῆς ποταμίας ἰλύος φλοιῷ» καὶ ΙΖ', 4 «τὰ μὲν πρῶτα νωθεῖς ἀπεργάζεται καὶ ἥκιστα

κινητικούς, εἶτα μέντοι κατ' ὀλίγον ἀρρώστους καὶ ἀναπνεῖν ἀδυνάτους». Ὑπὸ τοῦ Λογγίνου εἶνε εἰρημένον περὶ Ὕψ. ΚΑ' (σελ. 82 Οὐεισκ.) «πρῶτον μὲν τῷ σχήματι, εἶτα δὲ τῷ βλέμματι, **εἶτά γε μὴν** αὐτῇ τῇ φωνῇ», ἐν δὲ τῇ Παλατίνῃ Ἀνθολογίᾳ φέρεται ΙΑ', 50 «Εὐδαίμων, πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων, εἶτα δ' ὁ μὴ γήμας· **τὸ τρίτον,** ὅστις ἄπαις».

Ἐν τέλει μνημονεύομεν τὸ παρὰ τῷ Θεοκρίτῳ κείμενον Εἰδ. ΚΔ', 96 «καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ πρᾶτον, ἔπειτα δ' ἅλεσσι μεμειγμένον, ὡς νενόμισται, θαλλῷ ἐπιρραίνειν ἐστεμμένῳ ἀβλαβὲς ὕδωρ».

---

## ΕΠΙΜΕΤΡΟΝ Α'

Ἐγράψαμεν ἐν τῷ Ο' κεφαλαίῳ (σελ. 346) «Οὐχὶ ὀλιγάκις γίνεται χρῆσις τοῦ πληθυντικοῦ πρῶτα ἀντὶ τοῦ πρῶτον (Πρβ. Ἐφημερ. Φιλομαθ. 1878, σελ. 2 κέ.)· ὅθεν λέγεται πρῶτα μὲν - ἔπειτα ἢ πρῶτα μὲν - εἶτα».

Τὸ πρῶτα μέν φέρεται καὶ ἐν ἀποσπάσματι τοῦ κωμικοῦ Κράτητος (Κωμ. Ἀττικ. Ἀποσπ. Τόμ. Α', σελ. 140, 32 Κοκκ.) «πρῶτα μὲν ταλαντιαῖος ὅστις ἔστ' αὐτῶν λέγε». Τό τε ἑνικὸν πρῶτον καὶ τὸ πληθυντικὸν πρῶτα κεῖνται παρὰ τῷ Εὐριπίδῃ (Ἰφιγ. Α. 1148 «πρῶτον μέν, ἵνα σοι πρῶτα τοῦτ' ὀνειδίσω, ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ».

Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1825,3 «Εἰ δὲ καὶ ὄνομά ἐστι τὸ καλά, οὐκ ἀπεικὸς ἀντὶ ἑνικοῦ εἰλῆφθαι, ἵνα εἴπῃ ὡς οὐ καλὸν πρᾶγμα λέγεις. Καὶ γέμουσι καὶ τοιούτου σχήματος οἱ παλαιοὶ λόγοι καὶ αἱ τοῦ δήμου δὲ γλῶσσαι. Οὕτως ἐν Ἰλιάδι ἐγράφη τὸ ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην· ταὐτὸν γάρ ἐστι τὰ πρῶτα καὶ τὸ πρῶτον εἰπεῖν. Οὕτω καί τις ὕστερον ἔφη τὸ δυοῖν τὰ ἕτερα πεπονθώς, ὃ κοινῶς δυοῖν θάτερον λέγεται». Πρβ. Πλάτ. Χαρμίδ. σελ. 160, Γ' «δυοῖν γὰρ δὴ τὰ ἕτερα, ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιοι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί». Ὁ Κόβητος ποιεῖται ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 444 τὴν παρατήρησιν τήνδε «Errore apud Isaeum haud infrequenti legitur I § 22. δυοῖν θάτερα, quod miror

quomodo quis concoquere possit. Δυοῖν θάτερον quid sit novimus, δυοῖν θάτερα non item. Scribebatur θάτε^ρ, quod male expletum est. Eadem modo corrige § 38. θάτερον τούτων pro θάτερα». Ἀλλ' ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 2142 Β' λέγεται «Θάτερα plurali numero saepe usurpatur pro singulari. [Soph. El. 345: Ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν καλῶς ἢ κτλ. Schol.: Τὸ θάτερα ἀντὶ τοῦ θάτερον ἀττικῶς. Isaeus De hered. Cleonymi § 22: Δυοῖν τοῖν ἐναντιωτάτοιν θάτερα μέλλοντες, ἢ κτλ. — Plato Phil. p. 43 E: Τριῶν οὖν ὄντων ἡμῖν ὡντινων βούλει, τίθει (καλλίοσιν ἵνα ὀνόμασι χρώμεθα) τὸ μὲν χρυσόν· τὸ δ' ἄργυρον· τρίτον δέ, μηδέτερα τούτων. Quibus subjicit, Τὸ δὲ μηδέτερα τούτων ἔσθ' ἡμῖν ὅπως θάτερα γένοιτ' ἄν, χρυσὸς ἢ ἄργυρος: Theaet. p. 187, B, male nonnulli θάτερον pro θάτερα». Ὁ Σταλβαύμιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Η', α', σελ. 209 ἐγκρίνας ἐν τῷ χωρίῳ τοῦ Θεαιτήτου τὴν γραφὴν δυοῖν θάτερα ἐσημειώτατο «Pro θάτερον e Bodl. Coisl. Vat. Ven. ΛΠ. Par. B C E. Flor. a. b. c. i. dedi θάτερα, quod nescimus cur Bekkerus sit aspernatus. Nam pluralem numerum in hac formula habes etiam Criton. p. 52. A. De Legg. VIII. p. 841. D. Epin. p. 983. E. al.».

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Μαυροφρύδου γεγραμμένα ἐν Δοκιμ. τῆς Ἑλλην. Γλώσσης σελ. 669 «Τὸ δὲ Ἀριστοφ. *τήμερα* καὶ τὸ καθομ. *σήμερα* εἶνε πληθ. αἰτιατικαὶ ἀντὶ τῆς ἀρχαίας ἑνικῆς κατὰ τὰς : *πρῶτα, ὕστερα, ταχύτερα* ἀντὶ τῶν ἀρχαιοτέρων πεζοτέρων *πρῶτον, ὕστερον, ταχύτερον* κλ.». Οὐδεμίαν νῦν περὶ τούτου παρατήρησιν ποιούμεθα, ὑπομιμνήσκομεν δὲ μόνον ὅτι ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ, ὡς λέγεται πρῶτα, οὕτω καὶ δεύτερα. Ἄξια δ' ἀναγνώσεως νομίζομεν τὰ περὶ τοῦ *τήμερον-τήμερα* διειλημμένα ὑπὸ τοῦ Βλαϋδεσίου ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τοῦ Ἀριστοφάνους σελ. 223. Ἴδε καὶ Λεουδῆνα ἐν Μνημ. 1905 σελ. 156.

Ὁ Δημ. Βερναρδάκης γράφει ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Α', σελ. 121 «*πρῶτα*: Ἐπιρρηματικῶς ἡ λέξις. Ὁμοίως καὶ ἡ δημώδης συνήθεια λέγει: **πρῶτα**, ὄχι: πρῶτον, ὅπως οἱ λόγιοι, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐκφέ-

ρουσα διὰ τοῦ πληθυντικοῦ τύπου, ἑλληνίζουσα πολλῷ μᾶλλον τῶν λογίων, περατούντων μονονοὺ πάντα διὰ τῆς ἐπιρρηματικῆς καταλήξεως : - *ως*».

Πάμπολλα ἐπιρρήματα εἰς ΩΣ λήγοντα φέρονται ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ, οἷον ὀρθῶς, σοφῶς, σεμνῶς, λαμπρῶς, πυκνῶς, ἁγνῶς, δεινῶς, καινῶς, κοινῶς, αἰσχρῶς, διττῶς, σκαιῶς, ἁπλῶς, σαφῶς, ψευδῶς κτλ. ὅλως, ἄλλως, πάντως, ὄντως, ξένως, πρᾴως κτλ. ἀενάως, γενναίως, δικαίως, σχολαίως, ματαίως, ἀρχαίως, ἀναγκαίως, ἀκαριαίως, κτλ· ἀθέως, τελέως, θαρραλέως, ἀστείως, οἰκείως, ἀνδρείως, καθαρείως, ἐπιτηδείως, κτλ. δεξιῶς, κοσμίως, παγίως, μακαρίως, ἀξίως, ῥᾳδίως, ἀρτίως, μετρίως, ἀγρίως, ὁσίως, ἀνοσίως, ἀλλοτρίως, πολεμίως, ἠλιθίως, παραπλησίως, δαιμονίως, θαυμασίως, ἐλευθερίως, κτλ. ἀθρόως (ἄθρόως), ὁμοίως, ἀνομοίως, γελοίως, κτλ. ἀφόβως, πανούργως, περιέργως, ἀστόργως, εὐλόγως, κτλ. ἐμπέδως, ἀμεθόδως, ἀκολούθως, ἠμικάκως, ἀμνησικάκως, εὐόρκως, ἀσολοίκως, ἀγροίκως, ἀγροικικῶς, φορτικῶς, ἀνδρικῶς, νεανικῶς, κηδεμονικῶς, εἰρωνικῶς, εἰρηνικῶς, νομαδικῶς, ἀριστοκρατικῶς, κτλ. ὁμαλῶς, ἀνωμάλως, μεγάλως, φιλοκάλως, παγκάλως, εὐτραπέλως, ἀδήλως, ἀδόλως, ποικίλως, ὀργίλως, στρογγύλως, ἐναμίλλως, παλιμβόλως, ὑπούλως κτλ. ἰταμῶς, εὐφήμως, ἀδοκίμως, ἐτύμως, ἀποτόμως, ἀκόσμως, κτλ. ἱκανῶς, ψευδωνύμως, περιωδύνως, ἀπόνως, ἐπιπόνως, ἀφθόνως, ἀνεπιφθόνως, ἀτέχνως, ἐπικινδύνως, στεγανῶς, πιθανῶς, ἀπιθάνως, ὑγιεινῶς, ἀλγεινῶς, κτλ. ἐνδόξως, παραδόξως, χαλεπῶς, φιλανθρώπως, κτλ. καθαρῶς, λιπαρῶς, φανερῶς, ἐλευθέρως, βαρβάρως, τολμηρῶς, λυπηρῶς, αὐστηρῶς, ἐπικήρως, ἰσχυρῶς, ἀμυδρῶς, ἀμαυρῶς, προσφόρως, ἀταλαιπώρως, κτλ. ἀμούσως, βαναύσως, περισσῶς-περιττῶς, κτλ. ἀνέτως, ἀρρήτως, ἀνοήτως, ἀμελετήτως, θαυμαστῶς, ἀγαστῶς, καταγελάστως, ἀβασανίστως, ἀπροφασίστως, ἀνερυθριάστως, ἀναισχύντως, ἀνεξελέγκτως, ἀτεκμάρτως, κτλ. ἀσόφως, φιλοσόφως, πανσόφως, ἀτύφως, εὐστόχως, εὐψύχως, ἀγερώχως, ἀγχιστρόφως, ἀκόμψως, κτλ.

διακαῶς, ἀδεῶς, ἀκλεῶς, ταχέως, ὀξέως, ἡδέως, θρασέως, κτλ. ὑγιῶς, εὐφυῶς, ἀφυῶς, κτλ. εὐλαβῶς, ἀσεβῶς, ἀκριβῶς, ἐναργῶς, ἀσελγῶς, ἀκροθιγῶς, κτλ. ἀηδῶς, ἀναιδῶς, ἀφειδῶς, ἀψευδῶς, αἰσχροκερδῶς, θηριωδῶς, ἀνδραποδωδῶς, λεοντωδῶς, αἰνιγματωδῶς, κτλ. ἀληθῶς, ἀναλήθως, συνήθως, ἀπεχθῶς, ἀνεπαχθῶς, κτλ. αὐτάρκως, ἐπιεικῶς, διηνεκῶς κτλ. ἀσφαλῶς, ἀμελῶς, ἀφελῶς, πολυτελῶς, λυσιτελῶς, ἐμμελῶς, πλημμελῶς, κτλ. περιφανῶς, εὐμενῶς, δυσμενῶς, ἐκτενῶς, ἀγεννῶς, ἀκραιφνῶς, προσηνῶς, ἀπροσκλινῶς, κτλ. ἀπραγμόνως, ἀγνωμόνως, αὐτογνωμόνως, εὐδαιμόνως, σωφρόνως, κτλ. ἀπρεπῶς, μεγαλοπρεπῶς, ἐπιτερπῶς, χαμερπῶς, ἐλλιπῶς, κτλ. εὐμαρῶς, εὐχερῶς, δυσχερῶς, ἐμφερῶς, ὁλοσχερῶς, ἁδρομερῶς, ἀσυρῶς, κτλ. εὐπετῶς, προπετῶς, χαριέντως, ἐπιχαρίτως, κτλ. ἀσαφῶς, ἰσοταχῶς, ἀτυχῶς, δυστυχῶς, κακεντρεχῶς, ἐνδελεχῶς. συνεχῶς, κτλ. οὐδαμῶς, μηδαμῶς, ὡσαύτως, πολλαχῶς, κτλ. ἀρκούντως, διαφερόντως, προσηκόντως, κτλ. εἰκότως, ἀπεικότως, λεληθότως, κτλ. ὁμολογουμένως, ἐρρωμένως, ἀνειμένως, συνεσταλμένως, κτλ.

Οὐδαμῶς δ' οὔτ' εὔλογον οὔτε δυνατὸν εἶνε νὰ ἀπέχωνται οἱ λόγιοι τῶν τοιούτων ἐπιρρημάτων. Ἂν δ' οἱ ἰδιῶται λέγοντες καλά, κακά, πικρά, τεχνικά, φανερά, ἀλαφρά, μαλακά, φτωχικά, εὔκολα, δύσκολα, ἥσυχα, ἄδικα, ἄταχτα, περήφανα, ἀπρόσεχτα, κτλ. ἑλληνίζωσι πολλῷ μᾶλλον τῶν λογίων λεγόντων καλῶς, κακῶς, πικρῶς, τεχνικῶς, φανερῶς, ἐλαφρῶς, μαλακῶς, πτωχικῶς, εὐκόλως, δυσκόλως, ἡσύχως, ἀδίκως, ἀτάκτως, ὑπερηφάνως, ἀπροσέκτως, κτλ., ἀναγκαίως ἔχει νὰ ὑποληφθῇ ὅτι οἱ ἰδιῶται ἢ οἱ σύρφακες ἑλληνίζουσι πολλῷ μᾶλλον καὶ αὐτῶν τῶν Ἑλλήνων, οὗ οὐδὲν ἀτοπώτερον οὐδὲ γελοιότερον.

Ἐρωτικώτατα ὁ Βερναρδάκης ὑπ' ἐσχάτης ἀμουσίας καὶ ἀβελτερίας διακείμενος πρὸς τὴν δημώδη συνήθειαν ἢ τὴν χυδαίαν λαλιὰν προεθυμεῖτο ἑκάστοτε νὰ ἐγκωμιάζῃ καὶ πάντα τρόπον σεμνύνῃ αὐτήν.

## ΕΠΙΜΕΤΡΟΝ Β´

Ἐν ῥήσει τοῦ Πλάτωνος μνημονευθείσῃ ἐν τῷ Ο´ κεφαλαίῳ (σελ. 340, 9) κεῖται «ἔπειτα ἄλλους ὕστερον πολλούς» καὶ ἐν ῥήσει τοῦ Θουκυδίδου παρατεθείσῃ ἐν τῷ ΟΑ´, σελ. 353, 6 φέρεται «ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας».

Ὁ Πόππος σημειοῦται ἐν τῇ μεγάλῃ ἐκδόσει τοῦ Θουκυδίδου Μέρ. Γ´, ϐ´, σελ. 38 «Ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες. Ἔπειτα ὕστερον apud Thuc. aliquoties exstat. Cf. Ind. verb. I. 1. p. 197. et adnot. ad I, 58. Sic *tum postea* Plaut. Men. V, 9. 53., *deinde postea* et *post deinde* passim apud Cic. et alios. Cf. Schell Lex. Lat. in *deinde* et Rene. ad Just. II, 1, 19».

Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Ἀντιφάνους Ἀποσπ. 270 Κοκκ. «τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς» καὶ ὑπὸ τοῦ Μάχωνος παρ' Ἀθην. σελ 583, Γ´» εἶτεν ὕστερον, μεταπεμπομένου ποθ', ὡς ἔοικ', αὐτήν, λέγειν πρὸς τὸν μετιόντα παῖδα» καὶ ὑπὸ τοῦ Αἰλιανοῦ Ποικίλ. Ἱστορ. Ε´, 13 «εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἦρχον τῆς πόλεως» καὶ ὑπὸ τοῦ Ἀπολλωνίου περὶ Αἰσχίν. Ῥήτ. (Βιογρ. Οὐεστερμ. σελ. 265, 6) «εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας» καὶ 10 «ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης κτέ.».

Ἀπαντᾷ δὲ καὶ ἐν τῷ εἰς Δήμητρα Ὁμηρικῷ Ὕμνῳ στ. 205 «ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς». Πρϐ. καὶ Ἡσίοδ. Θεογ. 210 «τοῖς δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι». Ποιεῖται δ' ὁ Βωμειστῆρος ἐν τῇ ἐκδόσει τῶν Ὁμηρικῶν Ὕμνων σελ. 305 τὴν παρατήρησιν τήνδε «Iunctae deinde particulae ἔπειτα μεθύστερον non debuerunt Vossium adeo offendere, ut ad coniecturam frigidam ἔτεια (i. e. *in annos*, pro ἔπειτα) confugeret. Namque huius pleonasmi exempla attulit aptissima Werferus in Actis Monac. I p. 268 haec: Thuc. V 61 ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον; Herod III 36 οὐ πολλῷ μετέπειτα χρόνῳ ὕστερον; ibid. 48 μετέπειτα μαχέσθων ὕστεροι».

Ὁ Οὐϊνῆρος γράφει ἐν τῇ Γραμματικῇ τῆς Καινῆς Διαθήκης σελ. 532 ἐκδ. Ϛ´ «ἔπειτα μετὰ ταῦτα Dem. Neaer. 530 a., εἶτα μετὰ τοῦτο oder ταῦτα Arist. rhet. 2, 9, 13, Plat. Lach. 190, e;

Aehnliches *Poppo* Thuc. III. 1. 343. III. II. 38; im Lat. *deinde postea* Cic. Mil. 24, 65., *post deinde*, *tum deinde* etc.

Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Ἀριστοφάνους Ὄρν 810 «εἶτα τοῖς θεοῖς θῦσαι μετὰ τοῦτο» καὶ ὑπὸ τοῦ Φιλήμονος Ἀποσπ. 92,5 Κοκκ. «ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών» καὶ ὑπὸ τοῦ Σωσιπάτρου Ἀποσπ. 1,15 Κοκκ. «ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν· ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν» (Ἴδε Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Βατράχων σελ. 410) καὶ ὑπὸ τοῦ Λυσίου ὑπὲρ Μαντιθ. 16 «καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίνθῳ ἰσχυρῶν κατειλημμένων κτέ.» καὶ ὑπὸ τοῦ Ἀριστοτέλους Ῥητορ. Β', Θ', 6 (Τόμ. Α', σελ. 360,28 Διδ.) «πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν — εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων» καὶ ὑπὸ τοῦ Θεοφράστου σελ. 103 Σνειδ. «εἶτα μετὰ ταῦτα εἰς πάχος» καὶ σελ. 155» μετὰ δὲ ταῦτα ὕστερον, ὡς ὁ λοιμὸς ἐγένετο σφοδρὸς κτέ.» καὶ ὑπὸ τοῦ Δωσιάδου παρ' Ἀθην. σελ. 143, Δ'» ἀπὸ δὲ τοῦ δείπνου πρῶτον μὲν εἰώθασι βουλεύεσθαι περὶ τῶν κοινῶν, εἶτα μετὰ ταῦτα μέμνηνται τῶν κατὰ πόλεμον πράξεων».

---

## ΚΕΦ. ΟΒ'.

### Ψευδέστατον εἶνε ὅτι ὁ Ὀδυσσεὺς ἔφραξε τὰ ὦτα αὑτοῦ θέλων ν' ἀποφύγῃ τὴν φωνὴν τῶν Σειρήνων.

Ὁ Δημ. Βερναρδάκης καθηγητὴς ὢν τοῦ Πανεπιστημίου καὶ τὴν Γενικὴν Ἱστορίαν ἐν αὐτῷ διδάσκων ἔγραψεν ἐν τῇ Συντόμῳ Ἀπαντήσει σελ. 24 «Ἀλλ', ὡς φαίνεται, εἰς τὸ μακρυνὸν αὐτὸ ταξείδιον θέλων ν' ἀποφύγῃ τὴν φωνὴν Σειρῆνός τινος, ἔφραξε τὰ ὦτά του, κατὰ τὸ παράδειγμα τοῦ Ὀδυσσέως, καὶ ἔκτοτε τοῦ ἔμειναν φραγμένα».

Ἡ ῥῆσις τοῦ Βερναρδάκη «θέλων ν' ἀποφύγῃ τὴν φωνὴν Σειρῆνός τινος ἔφραξε τὰ ὦτά του, κατὰ τὸ παράδειγμα τοῦ Ὀδυσσέως» οὐδὲν ἄλλο προφανῶς δηλοῖ ἢ θέλων ν' ἀποφύγῃ τὴν φωνὴν Σειρῆνός

τινος ἔφραξε τὰ ὦτα αὐτοῦ μιμητὴς γενόμενος τοῦ Ὀδυσσέως, ὅστις ἔφραξε τὰ ὦτα αὐτοῦ θέλων ν' ἀποφύγῃ τὴν φωνὴν τῶν Σειρήνων».

Ὁ θαυμάσιος τῆς ἱστορίας διδάσκαλος ἐδόξαζεν ὅτι καθ' ὃν χρόνον ὁ Ὀδυσσεὺς παρέπλει τὴν νῆσον τῶν Σειρήνων εἶχε πεφραγμένα ἢ βεβυσμένα τὰ ὦτα, ὅπερ ψευδέστατον. Τὸ ἀληθὲς εἶνε ὅτι κατὰ τὸν χρόνον ἐκεῖνον τῶν ἑταίρων τοῦ Ὀδυσσέως τὰ ὦτα ἦσαν ὑπ' αὐτοῦ κηρῷ ἐπαληλιμμένα, αὐτὸς δ' ὁ Ὀδυσσεὺς δεδεμένος ὀρθὸς ἐν τῇ ἱστοπέδῃ ἤκουε τὴν καλλίστην τῶν Σειρήνων φωνὴν ἢ ᾠδήν· ἐδέθη δ' ὑπὸ τῶν ἑταίρων ποιησάντων τὸ ὑπ' αὐτοῦ προσταχθέν.

Ὁ Ὅμηρος λέγει ἐν Ὀδυσσείας Μ, 47

«ἀλλὰ παρεξελάαν (παρὲξ ἐλάαν), ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσῃ
τῶν ἄλλων· ἀτὰρ αὐτὸς ἀκουέμεν αἴ κ' ἐθέλησθα,
δησάντων σ' ἐν νηὶ θοῇ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω,
ὄφρα γε τερπόμενος ὄπ' ἀκούσῃς Σειρήνοιιν·
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς,
οἱ δέ σ' ἔτι πλεόνεσσι τότ' ἐν δεσμοῖσι διδέντων».

(Πρβ. καὶ στίχ. 160 κέξ.) καὶ ἐν Μ, 177.

«ἐξείης δ' ἑτάροισιν ἐπ' οὔατ' πᾶσιν ἄλειψα·
οἱ δ' ἐν νηί μ' ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆπτον·
αὐτοὶ δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς».

(Πρβ. καὶ στίχ. 192 κέ). Ἴδε καὶ Βέργκιον ἐν τῇ Δ' ἐκδόσει τῶν Ἑλλήν. Λυρ. Ποιητῶν Τόμ. Γ', σελ. 52).

Φέρεται δὲ καὶ ἐν τοῖς τοῦ Ἀπολλοδώρου κατὰ τὴν ἔκδοσιν τοῦ Οὐαγνήρου σελ. 231,17 «Παραγενόμενος δὲ πρὸς Κίρκην ὑπ' ἐκείνης προπεμφθεὶς ἀνήχθη, καὶ τὴν νῆσον παρέπλει τῶν Σειρήνων. Αἱ δὲ Σειρῆνες ἦσαν Ἀχελῴου καὶ Μελπομένης, μιᾶς τῶν Μουσῶν θυγατέρες, Πεισινόη, Ἀγλαόπη, Θελξιέπεια. Τούτων ἡ μὲν ἐκιθάριζεν, ἡ δὲ ᾖδεν, ἡ δὲ ηὔλει, καὶ διὰ τούτων ἔπειθον καταμένειν τοὺς παραπλέοντας. Εἶχον δὲ ἀπὸ τῶν μηρῶν ὀρνίθων μορφάς. Ταύτας παραπλέων Ὀδυσσεύς, τῆς ᾠδῆς βουλόμενος ὑπακοῦσαι (γρ. ἐπακοῦσαι) Κίρκης ὑποθεμένης, τῶν μὲν ἑταίρων τὰ ὦτα ἔβυσε κηρῷ, ἑαυτὸν δὲ ἐκέλευσε προσδεθῆναι τῷ ἱστῷ. Πειθόμενος δὲ ὑπὸ τῶν Σειρήνων καταμένειν ἠξίου

λυθῆναι, οἱ δὲ μᾶλλον αὐτὸν ἐδέσμευον, καὶ οὕτω παρέπλει. Ἦν δὲ αὐταῖς Σειρῆσι λόγιον τελευτῆσαι, νεὼς παρελθούσης· αἱ μὲν οὖν ἐτελεύτων». Πρβ. καὶ Εὐστάθ. Παρεκβ. εἰς Διονύσ. Περιηγ. σελ. 280, 16 Διδ. «Ὅτι κατὰ μὲν Ὅμηρον αἱ Σειρῆνες δύο καὶ ἀνώνυμοι, κατὰ δὲ τοὺς ἄλλους ποιητὰς τρεῖς, καὶ ὀνόματα αὐταῖς Παρθενόπη, Λίγεια καὶ Λευκωσία, αἵ, παραπλεύσαντος αὐτὰς τοῦ Ὀδυσσέως καὶ μὴ θελχθέντος οἷς ἐμελῴδουν, νικηθεῖσαι τῇ ἀθυμίᾳ κατέρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν καὶ ἀποπνιγεῖσαι ἄλλη ἀλλαχοῦ ἐξεβράσθησαν».

Τοῦ πράγματος ἐμνήσθη καὶ ὁ Τζέτζης καὶ ὁ Συνέσιος καὶ ὁ Πολύαινος καὶ ὁ Λουκιανός.

Τζέτζης Ἱστορ. Χιλ. Α', 330 (σελ. 15 Κισλ.) «Μόνον δὲ ταύτας τὰς Σειρῆνας) παρελθεῖν φασιν τὸν Ὀδυσσέα, κηρῷ μὲν περιχρίσαντα τὰ τῶν ἑταίρων ὦτα, αὐτὸν δὲ κατακούοντα, κρεμάμενον ἱστίῳ» καὶ Σχολ. εἰς Λυκόφρ. σελ. 807 Μυλλ. «Κηρῷ γοῦν Ὀδυσσεὺς ἀλείψας τὰ ὦτα τῶν ἑταίρων παρέπλει αὐτός, ἐπὶ τοῦ ἱστοῦ ἐκκρεμὴς ὢν καὶ ἀκάλυπτα ἔχων τὰ ὦτα» (Πρβ. καὶ Θεοφύλ. Βοισσ. σελ. 9 καὶ σελ. 79).

Συνέσιος Ἐπιστολ. ΛΒ' (Ἐπιστολ. Ἑλλην. Ἐρχ. σελ. 654). «Ὁ μὲν οὖν Ὀδυσσεύς, ἵνα μὴ ὑφ' ἡδονῆς διαφθαρείη, τὴν Σειρήνων ἀκτὴν δεδεμένος παρήμειβεν».

Πολύαινος Στρατηγ. Α', α', 10 «Καὶ ὁ κηρὸς δὲ τοῖς ὠσὶ τῶν ἑταίρων ἐναλειφόμενος καὶ αὐτὸς ὀρθὸς ἐν ἱστοπέδῃ δεσμευόμενος, καὶ ταῦτα ἐκεῖνος ἐστρατήγει κατὰ τῆς ὀλεθρίου μουσικῆς».

Λουκιανὸς Χάρ. 21 «ὦ μακάριε, οὐκ οἶσθα ὅπως αὐτοὺς ἡ ἄγνοια καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα· τοσούτῳ κηρῷ ἔβυσαν αὐτά, οἷόν περ ὁ Ὀδυσσεὺς τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως» (Πρβ. καὶ Νιγρῖν. 19). Ἐν τῷ περὶ τοῦ μὴ ῥαδ. πιστεύ. διαβ. γράφει ὁ Λουκιανὸς § 30 «ὅπερ, οἶμαι, καὶ Ὅμηρος ἐν τῷ περὶ Σειρήνων μύθῳ ᾐνίξατο παραπλεῖν κελεύσας τὰς ὀλεθρίους ταύτας τῶν ἀκουσμάτων ἡδονὰς καὶ ἀποφράττειν τὰ ὦτα καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν τοῖς πάθει προειλημμένοις»· ἀποβλέπει δὲ προδήλως ὁ συγγραφεὺς εἰς τὸ περὶ τῶν ἑταίρων τοῦ Ὀδυσσέως ὑπὸ τοῦ ποιητοῦ εἰρημένον. Πρβ. καὶ Δίων. Χρυσόστ. Τόμ. Α' σελ. 224, 9 Διν δ. «ὁπότε ἄνθρωποί τινες σοφώτεροι γενόμενοι τῆς ἁπάσης σοφίας, οὐ κηρὸν ἐγχέαντες

τοῖς ὠσίν, ὥσπερ, οἶμαι, φασὶ τοὺς Ἰθακησίους ναύτας ὑπὲρ τοῦ μὴ κατακοῦσαι τῆς τῶν Σειρήνων ᾠδῆς» (Ἴδε Βυττεμβάχιον ἐν τῇ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου Τόμ. ϛʹ, σελ. 177 κέ.).

Ὁ Βαλκενάριος γράφει ἐν ταῖς εἰς τὸν Ἀμμώνιον Παρατηρήσεσι σελ. 89 Λιψ. «Ubi apud *Hom.* Od. M. v. 161. sese iubet constringi Ulysses ὀρθὸν ἐν ἱστοπέδῃ· posterior potius locum habet, quam tradit *Eustathius*, expositio: p. 472. Ἱστοπέδη δέ, inquit, ὁ τόπος, ᾧ ἐντίθεται ὁ ἱστός, ἢ ξύλον ὀρθόν, ᾧ προσδέδεται ὁ ἱστός. non aliter cepit *Hyginus* fab. 125. *Ulysses-sociis cera aures obturavit, seque ad arborem malum constringi iussit*: ubi legendum puto: *ad arborem mali*».

Μνημονεύομεν καὶ τὰ ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως γεγραμμένα Τόμ. Γʹ, σελ. 192, 1 Δινδ. «Ἀλλ', ὡς ἔοικεν, οἱ πλεῖστοι τῶν τὸ ὄνομα ἐπιγραφομένων καθάπερ οἱ τοῦ Ὀδυσσέως ἑταῖροι ἀγροίκως μετίασι τὸν λόγον, οὐ τὰς Σειρῆνας ἀλλὰ τὸν ῥυθμὸν καὶ τὸ μέλος παρερχόμενοι, ἀμαθίᾳ βύσαντες τὰ ὦτα, ἐπείπερ ἴσασιν οὐ δυνησόμενοι ἅπαξ ὑποσχόντες τὰς ἀκοὰς Ἑλληνικοῖς μαθήμασι μετὰ ταῦτα τοῦ νόστου τυχεῖν» καὶ τὸ ὑπὸ τοῦ Πλάτωνος Φαίδρ. σελ. 259, Αʹ «ἐὰν δὲ ὁρῶσι διαλεγομένους καὶ παραπλέοντας σφᾶς ὥσπερ Σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες» καὶ Συμποσ. σελ. 216, Αʹ «βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενος τὰ ὦτα οἴχομαι φεύγων, ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ καταγηράσω» (Πρβ. καὶ Βαλκενάριον ἐν *Opusc.* Τόμ. Βʹ, σελ. 287).

Ποιοῦμεν γνωστὸν ὅτι πρὸ τοῦ Δημ. Βερναρδάκη ἔγραψεν ὁ Ἐμμ. Ῥοΐδης ἐν τῷ μιαρωτάτῳ βιβλίῳ, ὅπερ ἐπιγράφεται Ἡ Πάπισσα Ἰωάννα, σελ. 209 «Πολλοὶ τούτων διαβαίνοντες πρὸ τοῦ ἀσκητηρίου ἐποίουν τὸ σημεῖον τοῦ σταυροῦ φράσσοντες τὴν μύτην των, *ὡς ἔφρασσε καὶ ὁ Ὀδυσσεὺς τὰ ὦτα,* ἵνα προφυλαχθῇ ἀπὸ τοῦ ᾄσματος τῶν Σειρήνων». Καὶ οὐδαμῶς μὲν παράδοξον ἡμῖν φαίνεται ὅτι ἠγνοεῖτο ὑπὸ τοῦ Ῥοΐδου καὶ τοῦ Βερναρδάκη πρᾶγμα σαφέστατα ὑπὸ τοῦ Ὁμήρου δεδηλωμένον, ἀδυνατοῦμεν δ' ὅμως νὰ μὴ θαυμάζωμεν ὅτι καὶ ὁ Κοραῆς εἶπεν ἐν ταῖς Ἐπιστολαῖς Τόμ. Αʹ, σελ. 587 Δαμ. «Εἰπέ τον λοιπὸν νὰ προσέχῃ καὶ νὰ φράσσῃ τὰ ὦτά του εἰς τὴν ἀκοὴν

τῶν Σειρήνων, καθὼς ἔκαμεν ὁ φρόνιμος Ὀδυσσεύς». Οὐκ ἀγνοητέον δ' ὅτι ἐλέχθη καὶ ὑπὸ τοῦ Βασιλείου ἐν τῷ πρὸς τοὺς νέους κτέ. Δ' (σελ. 4 Λοθ.) «ταῦτα δεῖ φεύγειν ἐπιφρασσομένους τὰ ὦτα οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα φασὶν ἐκεῖνοι τὰ τῶν Σειρήνων μέλη».

Ἐν τέλει παρατιθέμεθα ἃ ἔγραψεν ὁ Κωνσταντ. Κοντογόνης ἐν Ἐπιτομ. Ἑλλην. Μυθολ. σελ. 105 ἐκδ. γ' «Ἦτο δὲ εἰς τὰς Σειρῆνας δεδομένον νὰ ζῶσιν, ἕως ἂν διαπλεύσῃ τις ἐκεῖθεν, ὑπὸ τῆς μελῳδίας αὐτῶν ἀδάμαστος. Τοῦτο συνέβη πρῶτον μὲν ἐπὶ τῆς ἐκστρατείας τῶν Ἀργοναυτῶν, ὅτε ὁ Ὀρφεύς, κρούων τὴν λύραν καὶ ψάλλων τοὺς ὕμνους, ἀπέτρεψε τοὺς συμπλέοντας μετ' αὐτοῦ ἀπὸ τοῦ ν' ἀκούσωσι τὰς φωνὰς τῶν Σειρήνων· ἔπειτα δὲ καὶ ὁ Ὀδυσσεὺς παρέπλευσεν ἐκεῖθεν σῶος, **ἐμφράξας τὰ ὦτα αὐτοῦ** καὶ τῶν λοιπῶν συντρόφων μετὰ κηροῦ· τότε αἱ Σειρῆνες, ἀπελπισθεῖσαι, ὅτι ἡ δύναμις αὐτῶν ἔλαβε τέλος, ἔρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν, καὶ μετεμορφώθησαν εἰς σκοπέλους».

---

ὑπεραγόντως. Μακκαβ. Β', ζ', 20 (Παλ. Διαθ. Τόμ. Β', σελ. 727) «ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία». Πορφύρ. Ὁμ. Ζητ. εἰς Ἰλ. σελ. 221,11 Σραδ. «ἢ ὑπεραγόντως μεγάλην». Ἡσύχ. «Ἐσχάτως: ὑπεραγόντως, ἄκρως» καὶ «Ὑπερδέα: ὑπεραγόντως ἐνδεᾶ» καὶ «Ὑπερφυῶς: ὑπεραγόντως». Πρβ. καὶ «Ὑπεραέϊ: ὑπεράγοντι κατὰ τὴν πνοήν» καὶ «Ὑπέρβιον: ὑπεράγοντα τῇ βίᾳ, ὑπὲρ δύναμιν, πάνυ βιαίως» καὶ «Ὑπερμενέϊ: τῷ ὑπεράγοντι κατὰ τὸ μένος» καὶ Ἐρωτιαν. σελ. 128,13 Κλ. «Ὑπερτέρη: ὑπερβάλλουσα καὶ ὑπεράγουσα». Ὑπὸ

Διοδώρου τοῦ Σικελιώτου εἶνε εἰρημένον βιβλ. ΙΓ', πθ', 3 «αἳ τὴν συνήθη τρυφὴν εἰς ὁδοιπορίαν σύντονον καὶ κακοπάθειαν ὑπεράγουσαν μεταβαλλόμεναι διεκαρτέρουν» καὶ ϟ', 4 «καὶ γὰρ γραφαὶ παμπληθεῖς ηὑρέθησαν εἰς ἄκρον ἐκπεπονημέναι καὶ παντοίων ἀνδριάντων φιλοτέχνως δεδημιουργημένων ὑπεράγων ἀριθμός» καὶ ὑπὸ τοῦ Ἰωσήπου Τόμ. Γ', σελ. 374, 20 Νισ. «κάλλει δὲ σώματος καὶ τῷ περὶ τὰς ἐντεύξεις ἀξιώματι μειζόνως φράσαι τὰς κατ' αὐτὴν ὑπερῆγεν» καὶ ὑπὸ τοῦ Σουΐδα σελ. 1061 «Ὑπεράγοντα: ὑπερέχοντα· τὸν δὲ ὑψηλὸν ἡλικίᾳ ὄντα καὶ ὑπεράγοντα τὸν ἐπίσκοπον τὴν βλάβην τῇ κεφαλῇ δέξασθαι». Πρβ. καὶ Ἡσύχ. «Ὑπεράγον: διαφέρον».

ὑπερβαλλόντως. Ξενοφ. Ἀγησ. Α', 36 «ὑπερβαλλόντως ἄγασθαι αὐτοῦ» καὶ Πλάτ. Πολιτ. σελ. 492, Β' «ὑπερβαλλόντως ἑκάτερα καὶ ἐκβοῶντες καὶ κροτοῦντες» καὶ Νόμ. σελ. 657, Α', «νομοθετικὸν μὲν οὖν καὶ πολιτικὸν ὑπερβαλλόντως» καὶ σελ. 836, Α' «τὸ γὰρ μὴ πλουτεῖν τε ἐξεῖναι ὑπερβαλλόντως ἀγαθὸν πρὸς τὸ σωφρονεῖν οὐ σμικρὸν καὶ κτέ.». Ἰσοκρ. Παναθ. 8 «τῶν μὲν ὑπερβαλλόντως, τῶν δ' ἐξαρκούντως» καὶ 264 «ἀλλ' ἀνεβόησαν ὡς ὑπερβαλλόντως εἰρηκότος» (καὶ πρὸς Δημόν. 28 «μηδὲν ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν ἀγάπα»). Πρβ. καὶ Ὄθ. Σνειδῆρον εἰς Ἰσοκρ. Τόμ. Α', σελ. 19 ἐκδ. γ'. Παραδείγματα τοῦ προκειμένου ἐπιρρήματος βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου σελ. 2655, Γ' Λονδ. Πρβ. καὶ Πίν. σελ. 539. Ἐλέχθη δὲ καὶ ὑπὸ Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Β', σελ. 169 «ἑκάστη μέν γε τῶν ἀρετῶν ἐστι χρῆμα ἅγιον, εὐχαριστία δὲ ὑπερβαλλόντως». Λογγῖν. σελ. 188 Οὐεισκ. «ὑπερβαλλόντως ἄγαμαι καὶ φιλῶ». Πορφύρ. Ὁμηρ. Ζητ. εἰς Ἰλ. σελ. 189, 30 «οἷον ὑπερβαλλόντως καλὰ καὶ περικαλλῆ». Σχολ. Θεοκρ. σελ. 351,15 Ἀρ. «ὅτι ὑπερβαλλόντως τὸν Διοκλέα ἐτιμήσατε». Ὁμοίαν τῷ ἐπιρρήματι ὑπερβαλλόντως ἔννοιαν ἐμφαίνει τὸ εἰς ὑπερβολὴν καὶ τὸ καθ' ὑπερβολήν, οἷον Αἰσχίν. περὶ Παραπρ. 4 «εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι». Ἰσοκρ. Φιλίππ. 11 «καὶ θαυμάζειν αὐτὸν μᾶλλον τῶν καθ' ὑπερβολὴν ἐπαινούντων». Θεόφρ. Μικροφιλοτ. (σελ. 23, 30 Τευβν.) «ὡς καθ' ὑπερβολὴν εὐημερεῖ» καὶ περὶ Ὀσμ. 32 (σελ. 743 Σνειδ.) «καθ' ὑπερβολὴν δὲ καὶ πικρὰ νέα οὖσα» (Ἴδε καὶ Βαλ-

κενάριον εἰς Εὐριπ. Ἱππόλ. σελ. 284 Λιψ.) Παρατηρητέον δ' ὅτι ἐρρήθη ὑπὸ τοῦ Ἰσοκράτους ἐν τῷ Εὐαγόρᾳ 23 «καὶ ταῦτ' οὐ μέσως οὐδ' ὥσπερ ἑτέροις τισὶν ἀλλ' ἕκαστον αὐτῶν εἰς ὑπερβολήν», ὃ παραβλητέον τῷ κειμένῳ ἐν τῇ πρὸς Δημόνικον Παραινέσει 28 «πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν ἀγάπα». Περὶ τῆς γραφῆς ὑπερβαλόντως ἐποιησάμεθα λόγον ἐν ταῖς Γλωσσικαῖς Παρατηρήσεσι σελ. 254.

ὑπερεχόντως. Ἰάμβλ. Προτρ. σελ. 322 Κισλ. «κοσμίως καὶ μετρίως καὶ μὴ ὑπερεχόντως» Σιμπλ. Ὑπομ. εἰς Ἀριστοτέλ. Τόμ. ΙΑ', σελ. 257, 22 «οὐχὶ συστοίχως ἀλλ' ὑπερεχόντως». Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 4, 13 «εἴ τις εἴπῃ ὁ ῥήτωρ, ὁ Δημοσθένης εὐθὺς ὑπερεχόντως ἐνοήθη».

ὑπερζεόντως. Σιμπλίκ. Ἐξηγ. εἰς τὸ Ἐπικτ. Ἐγχειρ. σελ. 38,1 Διδ. «ποτὲ δὲ ὑπερζεόντως ἢ ἐλλειπόντως».

ὑπερoργώντως. Ἡσύχ. «Περιοργῶς: ὑπερoργώντως».

ὑποκοριζόντως. Τοῦ ἐπιρρήματος τούτου ποιεῖται μνείαν ὁ Κουμανούδης ἐν τῇ Συναγ. Ἀθησαυ. Λέξεων σελ. 359 «ὑποκοριζόντως. Ιω. ΓΕΝΕΣ. σελ. 65, 7. ἔ. Β».

φρονούντως. Αἰσχ. Ἱκέτ. 204 «φρονούντως πρὸς φρονοῦντας ἐννέπεις». Σοφ Ἀντιγ. 682 «λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι». Σημειωτέον δ' ὅτι ὁ Φ. Σμιδίτιος ἐν *Krit. Stud. zu den Griech. Dram.* Τόμ. Α', σελ. 20 ἀνέγνω «φρονῶν τοι πρὸς φρονοῦντας ἐννέπεις».

Ἐσφαλμένον πάντως εἶνε τὸ παρ' Ἡσυχίῳ φερόμενον «Καταχρηστικῶς: ὅταν καταχρῆταί τις ἀπὸ πράγματος εἰς πρᾶγμα καταστοχαζόντως»· γραπτέον δ' ἴσως καταστοχαζόμενος.

Ἐν τῷ Λεξικῷ τοῦ Πασσοβίου καὶ ἐν ἄλλοις μνημονεύεται ἐκ τῆς Ἀριστοτέλους Ῥητορικῆς τὸ ἐπίρρημα δυσχεραινόντως, περὶ οὗ ἴδε Σπέγγελον εἰς Ἀριστοτ. Ῥητορ. Τόμ. Β', σελ. 380.

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου εἶνε παρατεθειμένον ἐπίρρημα ὁμολογούντως ἐκ τοῦ Παιδαγωγοῦ Κλήμεντος τοῦ Ἀλεξανδρέως σελ. 230. Τὸ χωρίον τοῦ Κλήμεντος ἔχει κατὰ τὴν κοινῶς ἄλλοτ' ἐγκεκριμένην ἀνάγνωσιν ὧδε· «καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογούντως ἁμαρτάνειν ἐστίν»· φέρεται δὲ καὶ ἐν τοῖς Σχολίοις «ὁμολογούντως, ἀντὶ τοῦ ὁμολογουμένως».

Ἀλλ' ἡ ἀληθὴς γραφὴ εἶνε ὁμολογοῦντος, ὡς ἐδίδαξεν ὁ Κόβητος ἔν τε τῇ Μνημοσύνῃ 1862, σελ. 387 καὶ ἐν τῷ Λογίῳ Ἑρμῇ 1866, σελ. 234. Κεῖται δ' ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου καὶ «Ἀνθελκόντως: adv., ut ἀνθ. ἔχειν τισὶ Bud. usurpavit pro Adversari aliis, Repugnare aliis quasi in contrariam partem trahendo».

Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Τόμ. Δ', σελ. 483 «Ἐν οἷς δὲ τούτων ἀνωτέρω ἐσημειώσατο ὁ αὐτὸς Λεξικογράφος, «Ῥύδην, εὐκόλως, ἢ ἀθρόως ἐπιτρέχοντες» γραπτέον ἴσως . . . ἢ ἀθρόως, ἐπιτρεχόντως· καὶ ἔσται τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, Ἐπιτρεχόντως, συγγενὲς καὶ συνώνυμον ἐπίρρημα τῷ Ἐπιτροχάδην».

Ἐν τῇ τοῦ Κουμανούδη Συναγωγῇ Ἀθησαυ. Λέξεων βλέπει τις τὰ ἐπιρρήματα ἐγχωρούντως καὶ ῥωννύντως. Τὸ τελευταῖον ἐλήφθη ἐκ τοῦ Ψελλοῦ, παρ' ᾧ κεῖται «πρὸς τὴν τελεωτέραν ἐπιθυμίαν ῥωννύντως ἐρρώννυες» (Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Ε', σελ. 22). Ἀλλ' εἶνε πάντως παρεφθαρμένον, ὡς τὸ φερόμενον ἐν τοῖς εἰς Δημοσθένη Σχολίοις σελ. 43, 20 Δινδ. «τῆς γὰρ ἐλευθερίας ἀντιποιοῦνται προϊόντως».

Ὑπὸ τοῦ Ἡσυχίου μνημονεύεται ἐπίρρημα ἀκεόντως, «Ἀκεόντως: ἀψοφητὶ καὶ ἡσύχως». Πρβ. καὶ Σχολ. Ὀδυσσ. σελ. 650,1 Δινδ. «Ἀκέων: ἀκεόντως, ἡσύχως, ἀφανῶς» καὶ Εὐστάθ. Παρεκβ. εἰς Ὁμ. σελ. 1888, 42 «γίνεται δέ, φασίν, ἐκ τοῦ ἀκεόντως ἀποκοπὴν παθόν, εἶτα ἔκτασιν τοῦ Ο εἰς Ω». Περὶ τοῦ ἀκέων ἴδε Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 62.

Ἄξιον παρατηρήσεως εἶνε ὅτι ἐσχηματίσθη καὶ ἐπίρρημα ἑκόντως ἐκ τοῦ ἑκών καὶ ἀκόντως ἐκ τοῦ ἄκων.

ἑκόντως. Δίων Κάσσ. ΝΗ', ΙϚ', 3 «τῇ δ' αὐτῇ ἐκείνῃ διανοίᾳ, ᾗ τὰ τῶν ἑκόντως ἀποθνησκόντων χρήματα οὐκ ἀφῃρεῖτο». Νικήτ. Χωνιάτ σελ. 472,15 «μετὰ βραχὺ δὲ πρὸς τὰς δαπάνας ἀπειρηκὼς ἑκόντως ἀπέσχετο» καὶ σελ. 505,20 «οὐχ ἑκόντως ἐπηκολούθησε τῷ Βρανᾷ» καὶ σελ. 556,14 «δέον κρίναντες μὴ προσοβῆσαι τὸ θήραμα ἑκόντως» καὶ σελ. 630,19 «ἑκόντως ὑπέδυ τὸν πρεσβευτήν». Ὁ Λ. Δινδόρφιος δοξάζει ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 511, Α' ὅτι ἐγράφη ὑπὸ τοῦ Δίωνος «τῶν ἑκόν-

τΩΝ ἀποθνησκόντων». Παρ' Ἰωάννῃ τῷ Χρυσοστόμῳ. Ὁμιλ. εἰς Ματθ. σελ. 799, Δ' πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ «ἑκόντΟΣ ἑαυτὸν παραδιδόντος αὐτοῖς» φέρεται καὶ ἡ ἡμαρτημένη ἑκόντΩΣ.

ἀκόντως. Ξενοφ. Ἑλλην. Δ', η', 5 «οἱ μὲν δὴ ταῦτα ἀκούοντες οὐκ ἀκόντως ἀλλὰ προθύμως ἐπείσθησαν». Πλάτ. Πρωταγ. σελ. 333, Β' «ὡμολόγησε καὶ μάλ' ἀκόντως» (καὶ Ἱππ. Ἐλ. σελ. 374, Ε' «τὰς μὲν ἀκόντως κακὰ ἐργαζομένας ἀκτήτους εἶναι ὡς πονηρὰς οὔσας, τὰς δὲ ἑκουσίως κτητὰς ὡς ἀγαθὰς οὔσας»). Δίων Κάσσ. ΛΗ', κϛ', 5 «τοῦτο δέ, ἂν μὲν ἐθελονταὶ ποιῶμεν, οὐ λυπησόμεθα, ἂν δὲ ἀκόντως, οὔτε ἐκφευξόμεθά τι τῶν πεπρωμένων καὶ τὸ μέγιστον τῶν κακῶν προσεπικτησόμεθα, τὸ μάτην ἀνιᾶσθαι». Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 1343,34 «ἢ γὰρ δι' ἀσυνεσίαν, ὃ δηλοῦται διὰ τοῦ ἄφρων, ἢ ἀκόντως, ὃ δηλοῖ Ὅμηρος διὰ τοῦ ἄσκοπος» Γεώργ. Παχυμ. Τόμ. Α', σελ. 119,4 «ὅμως οἱ μὲν ἑκόντως, οἱ δὲ καὶ ἀκόντως πλὴν ὀλίγων καθυπεκλίνοντο». Γράφει δ' ὁ μὲν Κόβητος ἐν *Var. Lect.* σελ. 153 «Testimonium XENOPHONTI denuntiatur in *Hellen*. IV viii. 5. οἱ μὲν δὴ—οὐκ ἀκόντως ἀλλὰ προθύμως ἐπείσθησαν, qui incorruptus dixerat οὐκ ἄκοντες ἐπείσθησαν: additamentum est ἀλλὰ προθύμως ex eo genere, cuius plurima libros Xenophonteos, quos omnes neque vetustos neque bonae notae habemus, obsident». ὁ δὲ Στούρζιος ἐν τῇ ἐκδόσει Δίωνος τοῦ Κασσίου Τόμ. Α', σελ. 423 «Praecedens ἀκόντως in ἄκοντες mutavi, quia concinnitatis lex adiectivum poscit. et neque Dio neque alius unquam adverbio usus est». Ὁ Κελλῆρος ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος σελ 141 ἐτήρησε τὴν παραδεδομένην γραφήν, ὁ δὲ Βοισσεβαίνιος ἐν τῇ ἐκδόσει Δίωνος τοῦ Κασσίου Τόμ. Α', σελ. 448 ἐσημειώσατο «ἄκοντες St., cf. c. 24,4, ἀκόντως, *quod graecum non est*», ἀλλὰ Τόμ. Β', σελ. 603 ἐποιήσατο τὴν παρατήρησιν τήνδε· «τῶν ἑκόντως ἀποθνησκόντων: an ἑκόντων?, ἀκόντως tamen restituendum 38,26,5 coll. Plat. *Prot.* p. 333, B, *Hipp. min.* p. 374 Δ»

Ὁ Λ. Δινδόρφιος γράφει ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 511, Α' «Josepho A. Jud. 18.6.9. p. 894 male Hudsonus intulit pro ἑκόντων. Nec Dio fortasse scripserat 58,16: Τὰ τῶν ἑκοντως ἀποθνησκόντων χρήματα οὐκ ἀφῃρεῖτο, sed ἑκόντων,

Contrarium tamen adverbium ἀκόντως non solum Dio usurpavit sed etiam Attici».

Τῆς συντάξεως, καθ' ἣν λέγεται «τὰ τῶν ἑκόντων ἀποθνησκόντων χρήματα», οὐκ ὀλίγα μαρτύρια παρέχουσιν ἡμῖν παλαιοί τε καὶ μεταγενέστεροι.

Θουκυδ. Γ', 39,7 «τῶν τε ξυμμάχων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε». Παρατηρητέον δ' ὅτι ἐν βιβλ. Δ', ιθ', 4 ἔχουσι τἀντίγραφα «πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην διακινδυνεύειν»· ἀλλ' ἐν τοῖς Βεκκήρου Ἑλλ. Ἀνεκδότοις σελ. 126,1 εἶνε γεγραμμένον «Ἀνθησσῶ: Θουκυδίδης τετάρτῳ δοτικῇ· πεφύκασί τε τοῖς μὲν ἑκοῦσιν ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς». Εὐλόγως δ' ἴσως ὑπελήφθη ὑπό τινων ὅτι αὕτη εἶνε ἡ γνησία γραφή (Ἴδε Λοβέκκιον ἐν Παραλειπομ. σελ. 53 κέ. καὶ Κόβητον ἐν τῇ Μνημοσύνῃ 1880, σελ. 441 καὶ Ἑρουερδῆνα εἰς Θουκυδ. Τόμ. Γ', σελ. 17. Πρβ. καὶ Ἕρψτιον ἐν τῷ *Ueber C. G. Cobets Emendat. im Thukyd.* σελ. 22 κέ.

Λυσ. Ἐπιταφ. 29 «τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δ' ἑκόντων προδιδόντων».

Ψευδοπλ. Ἱππ. Ἐλ. σελ. 373, Γ' «πότεροί ποτε ἀμείνους, οἱ ἑκόντες ἢ οἱ ἄκοντες ἁμαρτάνοντες».

Δημοσθ. σελ. 231,20 «τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους;» καὶ σελ. 607, 44 «ἐπὶ μὲν δὴ τοὺς ἑκόντας τιθέντας οὐ δεῖσθε Ἀνδροτίωνος, ἐπὶ δὲ τοὺς ἐλλείποντας». Πρβ. καὶ σελ. 1046,25 «καλῶν γὰρ κἀγαθῶν ἐστι δικαστῶν τοὺς μὲν τῶν πολιτῶν ἐθέλοντας, ὅταν εὐπορῶσι, λειτουργοῦντας καὶ ἐν τοῖς τριακοσίοις ὄντας ἀναπαύειν» (Ἴδε Λοβέκκιον ἐν Παραλειπομ. σελ. 53 κέ.)

Λουκιαν. περὶ τοῦ μὴ ῥᾳδ. πιστ. διαβολ. 22 «ἀλλὰ τοῦ μὲν ἀκούοντος ἑκόντος ἑαυτὸν ἐνδιδόντος, τοῦ διαβαλλομένου δὲ τὴν ἐπιβουλὴν ἀγνοοῦντος».

Ἀππιαν. σελ. 57,11 Μενδ. «καὶ τόνδε μὲν ἐς Καρχηδόνα ἑκόντα ἐπανελθόντα ἔκτειναν» καὶ σελ. 75,17 «εἴ τις ἐθέλοι τῶν πρεσβυτέρων τὴν ἀρχὴν παραλαβεῖν, ἑκόντος αὐτοῦ παραδιδόντος» καὶ

σελ. 641, 5 «εὐθὺς ἐς τὰς πατρίδας διεδίδρασκον ὡς οὐ στρατεύσαντες ἑκόντες κατὰ πολιτῶν» καὶ σελ. 678.24 «ἑκόντα πρὸς αὐτὸν ἐλθόντα μετὰ πολλοῦ στρατοῦ» καὶ σελ. 752, 13 «αὐτὸν ἐπιτωθαζόντων ἐς φιλαρχίαν ὡς ἑκόντα βραδύνοντα» καὶ σελ. 1002,4 «ἑκόντα τὴν σφαγὴν ὑπέχοντα» καὶ σελ. 1037,16 «εἰδότες οὐ μαχούμενον ἑκόντα τὸν Βροῦτον» καὶ σελ. 1119, 2 «ἑκόντα ἐλθόντα ἐς Σικελίαν».

Ἀριστείδ. Τόμ. Α', σελ. 243 Δινδ. «ἀλλ' ἀμείνων μὲν ὁ ποιῶν, οἶμαι, τὰ δίκαια ἀναγκαίως τοῦ παραβαίνοντος ἑκόντος» καὶ σελ. 289 «ἑκὼν μεθεὶς καὶ σχεδὸν αὐτὸς αὑτῷ τῶν ἐγκλημάτων αἴτιος γεγονώς» καὶ σελ. 584 «καὶ τοῖς ἀρχαίοις ἑκόντας βλαπτομένους» καὶ σελ. 745 «τούτῳ συμπράττοντας ἑκόντας ὀφθῆναι» καὶ σελ.834 «ἀπονοίᾳ τινὶ καὶ τῶν διαφορῶν ἑκόντες ἡττώμενοι» καὶ Τόμ. Β', σελ. 251 «τὸ μὲν ἥδιστον ἑκόντος ὑπερβαίνοντος» καὶ σελ. 298 «οὔθ' ὡς οὐδὲν ἐπισταμένου τῆς τέχνης οὔθ' ὡς ἑκόντος ὑποστειλαμένου» καὶ σελ. 548 «εἶθ' ἑκόντες τοῦτ' ἀφέντες τὸ χεῖρον ἀλλάττονται» καὶ σελ. 565 «διπλασίαν τὴν ζημίαν ἐκτίνειν κελεύουσι τῶν ἀκόντων βλαψάντων» καὶ σελ. 660 «εἶθ' ἑκόντες ταῦτ' ἀφέντες ἃ μὴ προσῆκεν εἱλόμεθα» καὶ σελ. 661 «οὐδ' ἂν εἷς ἑκὼν ἀπατώμενος εἴη» καὶ σελ. 694 «τούτοις ἑκὼν ἐνεχόμενος κατ' αὐτὸς αὑτοῦ (αὐτοῦ) φέρει τὴν ψῆφον».

Πολύαιν. Στρατηγ. Β', α', 29 «καὶ αὐτῶν ἑκόντων ἀποστάντων» καὶ Η', 70 «καὶ πλείστας αὐτῶν ἀπέκτεινεν ἑκούσας ἐπὶ σφαγὴν θεούσας».

Ἀνδρόν. Ῥόδ. Ἀπόσπ. Ἑλλην.Φιλοσοφ.Τόμ. Γ', σελ. 437 Μουλλ. «ὁ μὲν κατὰ τὴν τέχνην ἑκὼν ἁμαρτάνων βελτίων τοῦ ἄκοντος ἁμαρτάνοντος».

Ἡρῳδιαν. Ἱστορ. Γ', ζ', 4 (σελ. 86, 27 Μενδ.) «διαβάλλουσι δὲ αὐτὸν ὡς καραδοκήσαντα τὴν ἀπόβασιν τῆς μάχης καὶ ἑκόντα βραδύναντα».

Ἰουλιαν. σελ. 602, 18 Ἑρτλ. «τοῖς μὲν οὖν ἑκοῦσι πειθομένοις ἐξαρκεῖ ταῦτα».

Ἡλιόδωρ. Αἰθιοπ. Ε', 16 «καί τινα καὶ ἑκὼν ὑπερβαίνων».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 52, 28 «πρῶτα μὲν οἷον ἀπολο-

γεῖται ὡς οὐχ ἑκὼν λαλῶν» καὶ σελ. 1896, 48 «ἑκὼν τερατευόμενος ποιητικώτερον».

Φώτ. Ἐπιστ. σελ. 261 Βαλ. «καὶ τὸ ἔργον ἑκὼν ὑπελθὼν» καὶ σελ. 289 «ἑκὼν ἀποστὰς τῶν κρειττόνων» καὶ σελ. 324 «ὡς ἑκόντες πρὸς τὰ τοῦ πνεύματος ἔργα καὶ τὸ φῶς ἀποτυφλώττοντες».

Γεώργ. Παχυμ. Τόμ. Β',σελ. 555, 18 «ἀνηλίσκοντο ἐς αὐτὸ πηδῶντες ἑκόντες».

Νικήτ. Χωνιάτ. σελ. 681, 1 «τοὺς δ' ὁμογενεῖς ἐκείνῳ προστιθεμένους ἑκόντας ἐπὶ τῶν σφετέρων μένειν ἐῶν».

Νικηφ. Γρηγ. Τόμ. Α', σελ. 457, 22 «τῶν οἰκητόρων προσερρυηκότων ἑκόντων» καὶ σελ. 545, 13 «προσερρυηκότων ἑκόντων αὐτῷ».

Ἰω. Γλυκ. περὶ Συντ. σελ. 3, 31 Ἰαν. «τῶν μὲν ἑκόντων ὑπερβάντων ἔν τισιν» καὶ σελ. 10,14 «ὡς τῆς αἰτίας ἑκὼν καθυφείς». Σημειοῦται δὲ ὁ ἐκδότης ἐν σελ.104 «Ne quis autem in eo offendat, quod χαίροντας adverbii potestate eodem casu cum καταλείποντας conjunctum est, conf.Glyc. p. 3,311 sq. τῶν μὲν ἑκόντων ὑπερβάντων. — Veteres quidem huiusmodi κακοφωνίαν diligenter evitasse videntur». Ἀλλ' ἀναλήθης ἐξελέγχεται οὖσα ἡ παρατήρησις αὕτη ἐξ ὧν ἐν τοῖς ἄνω παρεθέμεθα χωρίων παλαιῶν Ἑλλήνων.

ΣΗΜ. Ὑπὸ τοῦ Κουμανούδη μνημονεύονται ἐν τῇ Συναγωγῇ Νέων Λέξεων τὰ ἐπιρρήματα τάδε διαμενόντως (σελ. 280), ἐπειγόντως (σελ. 390), καλπαζόντως (σελ. 512), κατεπειγόντως (σελ. 533), ῥεόντως (σελ. 882), ὑπεραρκούντως (σελ. 1036). Πρβ. καὶ δευτερευόντως (σελ. 270).

---

## ΚΕΦ. ΟϚ'.

### Διαφερόντως.

Τοῦ ἐκ τῆς μετοχῆς διαφέρων παρηγμένου ἐπιρρήματος πολλὴ χρῆσις γίνεται ὑπό τε τῶν παλαιῶν καὶ τῶν μεταγενεστέρων.

Λέγεται διαφερόντως αἰσχύνεσθαι, διαφερόντως ἀσκεῖν,

διαφερόντως τιμᾶν, κτλ. Ἐν τῷ Κρίτωνι τοῦ Πλάτωνος σελ. 52, Β΄ κεῖται «μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε». Οὐκ ἀγνοητέον δ' ὅτι ὁ Κοβητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 245 περιέγραψε τὸ εἰ μή σοι διαφερόντως ἤρεσκε ὡς παρεμβεβλημένον (Πρβ. καὶ 1884, σελ. 102).

Ὡσαύτως λέγεται διαφερόντως ἀγαθός, διαφερόντως ὀρθή, διαφερόντως ἄξιον, πρᾶος διαφερόντως, τρυφερὸν διαφερόντως, κτλ. Περιβόητον κατέστη τὸ ὑπὸ τοῦ Πλάτωνος ἐν τοῖς Νόμοις σελ. 642, Γ΄ ῥηθὲν «ὅσοι Ἀθηναίων εἰσὶν ἀγαθοί, διαφερόντως εἰσὶ τοιοῦτοι». Παρὰ τῷ Σουίδᾳ σελ. 1128 Βεκκ. φέρεται ῥῆσις ἔχουσα ὧδε «Χοίδια: Σταμνία κατεσκεύασαν χοίδια τὸ μέγεθος, λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως». Ὀρθῶς δὲ τὸ «λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως μεθερμηνεύεται ῥωμαϊστὶ ὑπὸ τοῦ Τουπίου ἐν *Emendat.* Τόμ. Γ΄, σελ. 196 «arte admodum subtili fabricatas». Ἀναγνωστέον δὲ χοϊαῖα ἀντὶ τοῦ χοίδια, ὡς παρετηρήσαμεν ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ 1879, σελ. 97. Παρὰ τῷ Ἰουλιανῷ σελ. 123, Δ΄ ἀναγινώσκεται «ᾧ μοι δοκῶ καὶ αὐτὸς σφόδρα ἡσθῆναι διαφερόντως». Ὁ Ἑρτλῖνος ἐν τῇ ἐκδόσει τοῦ Ἰουλιανοῦ σελ. 159,7 ἀποφαίνεται ὅτι ἐξαλειπτέον εἶνε τὸ σφόδρα. Εἶνε δ' ὅμως ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1073,62 εἰρημένον «ὡς τοῦ Ἀπόλλωνος ἐκεῖ μάλιστα διαφερόντως τιμωμένου».

Σπανιώτατα εὑρίσκεται τὸ περὶ οὗ ὁ λόγος ἐπίρρημα συντεταγμένον ὑπερθετικῷ ἐπιθέτῳ, οἷον Πλάτ. Πρωταγ. σελ. 349, Δ΄ «εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν ὄντας — ἀνδρειοτάτους δὲ διαφερόντως» καὶ Τιμ. σελ. 23, Γ΄ «πολις ἀρίστη πρός τε τὸν πολεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως» καὶ Θουκυδ. Η΄, 68,3 «πάντων διαφερόντως προθυμότατον». Γράφει δ' ὁ Κοβητος ἐν τῇ Μνημοσύνῃ 1880, σελ. 278 «Idem genus mendi, quod est in ὡς μάλιστα λαθραιότατα eximendum est ex Platonis *Protagora* pag. 349 *d*: εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν — ἀνδρειοΤΑΤΟΥϹ δὲ διαφερόντως, imo vero ἀνδρείΟΥϹ δέ. Ex ipsa rei natura διαφερόντως quoque

requirit positivum. Plato *de Legibus* pag. 642: τὸ ὑπὸ πολλῶν λεγόμενον ὡς ὅσοι Ἀθηναίων εἰσὶν ἀγαθοὶ διαφερόντως εἰσὶ τοιοῦτοι» (Πρβ. καὶ σελ. 344 καὶ *Nov. Lect.* σελ. 596) καὶ ὁ Ἑρουερδὴν ἐν *Append. Lex. Graec.* σελ. 210 «σφόδρα, πάνυ, μάλα a sequioribus saepius iunguntur cum superlativo pro positivo. Idem valet de adv. διαφερόντως, quare Thucydidi VIII 60, 3 παρέσχε καὶ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον olim reddidi πρόθυμον, ut Cobet Nov. Lect. p. 596 Platoni Prot. p. 349 Δ restituit ἀνδρείους δὲ διαφερόντως pro ἀνδρειοτάτους». Ὁ Σχουάβιος ἐν *Beitr. Histor. Synt.* etc. Τόμ. Δ', γ', σελ. 375 νομίζει ὅτι συνετάττετο ὑπὸ τῶν Ἑλλήνων ὑπερθετικῷ ἐπιθέτῳ τὸ ἐπίρρημα διαφερόντως.

Ἐν τοῖς Βασιλέων καὶ Στρατηγῶν Ἀποφθέγμασι τοῦ Ψευδοπλουτάρχου σελ. 213, Ε' κεῖται «φιλοτεκνότατος δ' ὢν διαφερόντως, λέγεται ὅτι μικροῖς τοῖς παιδίοις κτέ». Σημειοῦται δ' ὁ Βυττεμβάχιος ἐν τῇ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου Τόμ. ϛ', σελ. 1156 «Harl. omittit διαφερόντως — Illud cum Superlativo habet usum rariorem quidem, sed tamen usum: veluti apud Thucydidem VIII. 68: παρέσχε δὲ καὶ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, ad quem locum similia usurpari monet Abreschius in *Dilucid. Thucyd.* p. 778 et *Animadv. ad Aesch.* p. 133». Οὐχὶ δ' ἀπίθανον ἡμῖν φαίνεται ὅτι ἐρρήθη ὑπὸ τοῦ Ψευδοπλουτάρχου «φιλοτεκνότατος δ' ὢν διαφερόντως», ὡς ὑπὸ τοῦ Ἰαμβλίχου περὶ Μυστηρ. σελ. 102,4 Παρθ. «ἡ γὰρ τοιάδε ἀρχηγική τέ ἐστιν αἰτία καὶ διαφερόντως κοινοτάτη» καὶ ἐν τῷ Στοβ. Ἀνθολ. Τόμ. Γ', σελ. 114,24 Μειν. «ὅρα γὰρ ὅτι καὶ παρ' ὅλον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως» καὶ ὑπὸ τοῦ Προκοπίου Τόμ. Γ', σελ. 270, 18 «Ἰουστινιανὸν βασιλέα προμηθέστατον γεγονέναι καὶ διαφερόντως ἐπιμελέστατον» καὶ σελ. 288,1 «ὃν δὴ ἐς φρούριον μέγα τε καὶ διαφερόντως ἐχυρώτατον ὁ καθ' ἡμᾶς βασιλεὺς μετεστήσατο». Πρβ. καὶ Νικήτ. Χωνιάτ. σελ. 830,19 «κράτιστον δ' ἦν τοῦτο διαφερόντως τῶν ἄλλων».

Ὡς δὲ μετέβαλεν ὁ Κόβητος τὸ ἐν τῷ Πρωταγόρᾳ τοῦ Πλάτωνος κείμενον ἀνδρειοτάτους δὲ διαφερόντως εἰς τὸ ἀνδρείους δὲ

διαφερόντως, οὕτω καὶ τὸ ἐν ταῖς Ἱστορίαις τοῦ Πολυβίου φερόμενον σελ. 1341,26 Οὐλσχ. «ἐκινδύνευσαν μὲν πάντες, ἔπταισαν δὲ τελέως ὀλίγιστοι» εἰς τὸ τελέως ὀλίγοι. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ μεγάλου κριτικοῦ γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1862, σελ. 36 «Non est Graecum quod editur XXXVIII. 1 b. (p. 89, 2 Heys) ἐκινδύνευσαν μὲν πάντες, ἔπταισαν δὲ τελέως ὀλίγιστοι. Non potest τελέως cum superlativo coniungi, et τελέως ὀλίγοι (et nonnumquam τελέως ὀλίγοι τινές) usitatum Polybio loquendi genus est, veluti XXXII. 16: πλὴν τελέως ὀλίγων τινῶν. Dixerat igitur Polybius ἔπταισαν δὲ τελέως ὀλίγοι, quemadmodum XV. 14: ὀλίγοι τελέως διέφυγον» (Πρβ. καὶ 1876, σελ. 372). Εἶνε δ' ὅμως ὑπὸ Σέξτου τοῦ Ἐμπειρικοῦ σελ. 715, 14 εἰρημένον «ὅπερ τελέως ἐστὶν ἀλογώτατον» καὶ ὑπὸ τοῦ Εὐναπίου σελ. 2 Βοισσ. «ἐπεὶ δὲ ὀλίγοι τε ἢ παντελῶς ἐλάχιστοί τινες ἦσαν οἱ περὶ τούτων γράφοντες». Πρβ. Ἱπποκρ. Τόμ. Α', σελ. 399 Ἑρμ. (Γαλην. Τόμ. Θ', σελ. 835 καὶ Τόμ. ΙΖ', β', σελ. 370 καὶ σελ. 372) «ἐσχάτως λεπτοτάτῃ διαίτῃ» καὶ Γαλην. Τόμ. Η', σελ. 468 πυκνοτάτους ἐσχάτως καὶ Τόμ. ΙΖ' β', σελ. 369 ἐσχάτως λεπτοτάτης καὶ σελ. 374 ἐσχάτως λεπτοτάτην καὶ σελ. 375 ἐσχάτως λεπτοτάτῃ καὶ Προκόπ. Τόμ. Α', σελ. 341, 13 «πολλά τε καὶ ἀξιολογώτατα ὑπερφυῶς ὄντα» καὶ Νικήτ. Χων. σελ. 752,2 «ἀνεκταὶ πάντως μηδὲ παντάπασιν ἀχθεινόταται».

Παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ ἁπαντᾷ Ι', γ', 4 «Πυθαγόρας πυθόμενος Φερεκύδην τὸν ἐπιστάτην αὐτοῦ γεγενημένον ἐν Δήλῳ νοσεῖν καὶ τελέως ἐσχάτως ἔχειν». Ἀποφαίνεται δ' ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 238 «Expunge τελέως absurde enim τελέως ἐσχάτως ἔχειν coniunguntur, et ἐσχάτως ἔχειν in ea re usitatum est».

Ἐφ' ὁμοίας τῷ ὑπερβαλλόντως ἀγαθός καὶ διαφερόντως ἀγαθός, κτλ. ἐννοίας γίνεται χρῆσις ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τοῦ ἀγαθὸς εἴπερ τις ἄλλος, κτλ. Εὑρίσκεται δὲ τοῦτο συντεταγμένον καὶ ὑπερθετικῷ ἐπιθέτῳ. Ὁ Σχουάβιος γράφει ἐν *Beitr. zur Histor. Synt.* etc. Τόμ. Δ', γ', σελ. 87 «Die Formel εἴπερ τις καὶ ἄλλος, εἴ τις ἄλλος haben wir im IV. Abschinitte unter

den syntaktischen Sprachmitteln, welche dem *Positiv* steigernde Bedeutung zu verleihen vermögen, aufzuzählen. Ein paarmal wird darnach auch pleonastisch der Superlativ gesetzt. *Eurip.* Androm. 5 ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ· νῦν δ' εἴ τις ἄλλη δυστυχεστάτη γυνή. *Thucyd* IV, 55,3 ἐς τὰ πολεμικά, εἴπερ ποτέ, μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο. Zur Erklärung verweisen wir auf die im Vorausgehenden angeführten Stellen und etwa noch Ps. Plato Hipp. mai 284 c εὖ ἴσθι, εἴπερ τις ἄλλος ἐκεῖθεν χρήματα ἔλαβεν πώποτε ἐπὶ παιδεύσει, καὶ ἐμὲ ἂν λαβεῖν πολὺ μάλιστα». Ὑπὸ τοῦ Σοφοκλέους εἶνε εἰρημένον ἐν ταῖς Τραχινίαις στίχ. 8 «ὄκνον ἄλγιστον ἔσχον εἴ τις Αἰτωλὶς γυνή». Ἐν τῷ χωρίῳ τοῦ Θουκυδίδου κεῖται οὐχὶ ὑπερθετικὸν ἐπίθετον ἀλλὰ συγκριτικόν, ὀκνηρότεροι. Ποιεῖται δὲ περὶ τούτου λόγον ὁ Σχουάβιος καὶ ἐν σελ. 72. Παρατηρητέον δ' ὅτι ὁ Κόβητος ἐν τῇ ἐκδόσει Λόγων τοῦ Ὑπερείδου σελ. 66 παρέγγραπτον ὑπολαμβάνει τὸ ἐν τῷ χωρίῳ τοῦ Θουκυδίδου κείμενον μάλιστα δή. Γράφει δὲ τάδε· «Affini mendo μάλιστα δή interpolatum est IV. 55: ἔς τε τὰ πολεμικά, εἴπερ ποτέ, [μάλιστα δή] ὀκνηρότεροι ἐγένοντο. Non tantum εἴπερ ποτέ, sed comparativus etiam ὀκνηρότεροι additum μάλιστα δή respuit. Solent εἴπερ ποτέ, εἴπερ πώποτε, εἴπερ ποτὲ καὶ νῦν animose dici pro μάλιστα aut μάλιστα δή. vid. Bergler. ad Aristoph. Pacem vs 302. Quis sanus igitur illis μάλιστα δή interponat?». Πρβ. καὶ Μνημοσ. 1880,94.

Περὶ τῆς διαφορᾶς τῶν ἐπιρρημάτων διαφερόντως καὶ διαφόρως ἐγένετο λόγος ὑπὸ τοῦ Κοβήτου ἐν *Nov. Lect.* σελ. 595 κέ. Πρβ. καὶ *Miscel. Crit.* σελ. 557, ἔνθα τὸ παρὰ Δημοσθένει φερόμενον σελ. 761,196 «οὔτ' ἄλλως πρᾷος καὶ φιλάνθρωπος σύ τις τῶν ἄλλων διαφόρως ὢν ἐλεεῖς αὐτούς» μετατυποῦται εἰς τὸ διαφερόντως. Τοῦ διαφερόντως ἐπὶ τῆς ἐννοίας τοῦ διαφόρως ἐποιήσατο χρῆσιν ὁ Γαληνὸς Τόμ. Η', σελ. 53 «ἀλλ' οὐ κατὰ τὸν αὐτὸν ἁπάντη τρόπον, οὐ μὴν οὐδὲ πάντη διαφερόντως ἢ εἰ τὰ νεῦρα βλαβείη» καὶ σελ. 758 «τινὰ μὲν ὁμοίως γίγνεται κατά τε τὰς ἀναπνοὰς καὶ τοὺς σφυγμούς, τινὰ δὲ ἑτέρως τε καὶ διαφερόντως» καὶ Τόμ. ΙΖ', α', σελ. 184 «τὴν ἀρχὴν τοῦ προκειμένου λόγου διαφερόντως γράφουσιν, ἔνιοι μὲν ὡδί πως—τινὲς δὲ ὡδί» καὶ σελ. 800

«ὥσπερ δ' ἐν τούτῳ, κἂν διαφερόντως γράφωσι, τὴν αὐτὴν τοῦ λόγου φυλάττουσι διάνοιαν, οὕτω κτέ.» καὶ Τόμ. ΙΖ', 6', σελ. 802 «γέγραπται μὲν οὖν ἡ τελευτὴ τοῦ ἀφορισμοῦ διαφεροντως ἐν τοῖς ἀντιγράφοις» καὶ Σέξτος ὁ Ἐμπειρικὸς σελ. 328,10 «οἷον τοῦ λευκοῦ χρώματος οὐκ ἄλλως μὲν οἱ Ἕλληνες ἀντιλαμβάνονται ἄλλως δὲ οἱ βάρβαροι, καὶ διαφερόντως μὲν οἱ τεχνῖται, ἐξηλλαγμένως δὲ οἱ ἰδιῶται» καὶ σελ. 340,8 «οὐ γὰρ ἄλλοις ἄλλως τὸ λευκὸν φαίνεται, οὐδὲ ἄλλοις ἄλλως τὸ μέλαν, οὐδὲ διαφερόντως τὸ γλυκύ, ἀλλ' ὁμοίως πάντας κινεῖ» καὶ σελ. 440,31 «μίαν μὲν γὰρ οὐκ ἔχει δύναμιν, ἐπείπερ, εἰ μίαν εἶχεν, ὤφειλε πάντα ὁμοίως διατιθέναι καὶ μὴ διαφερόντως» καὶ ὁ Μουσώνιος σελ. 242 Πεερλ. «Ἵππους μέν, ἔφη, καὶ κύνας ὁμοῦ οὐδὲν διαφερόντως παιδεύουσιν οἵ τε ἱππικοὶ καὶ οἱ κυνηγετικοὶ τοὺς ἄρρενας τῶν θηλειῶν, ἀλλ' αἵ τε κύνες αἱ θήλειαι παραπλησίως τοῖς ἄρρεσι διδάσκονται θηρᾶν». Πρβ. καὶ Στοβ. Ἐκλογ. Τόμ. Α', σελ. 377,16 Οὐαξμ. «πολὺ δὲ διαφερόντως ἔοικεν ὁ Τίμαιος τὴν πρώτην ὑπόστασιν τῶν ψυχῶν ποιεῖν» καὶ σελ. 385,2 «κατὰ ταὐτὰ δὴ οὖν καὶ περὶ τῶν μέσων οὐσιῶν ψυχῆς τε καὶ σώματος πολὺ διαφερόντως διατάττονται». Οὐδαμῶς ἐγκρίνομεν τὴν ὑπὸ τοῦ Φαβρικίου γενομένην μεταβολὴν τοῦ διαφερόντως εἰς τὸ διαφόρως ἐν τοῖς Βασιλικοῖς Τόμ. Α', σελ. 33 «ὅπερ δείκνυται ἐκ τῶν παρ' ἡμῶν γραφέντων διαφερόντως λόγων τε καὶ ἰδίκτων (ἠδίκτων)».

Ὁ Ἀντιαττικιστὴς λέγει σελ 90,18 «Διαφερόντως ἀντὶ τοῦ διαφόρως. Ἀντιδόσει Ἰσοκράτης». Ὑπὸ τοῦ Ἰσοκράτους ἐλέχθη ἐν τῷ περὶ Ἀντιδόσεως § 112, «καίτοι, τοιοῦτον ἔργον ἄν τις ἄλλος φανῇ πεποιηκώς, ὁμολογῶ ληρεῖν, ὅτι διαφερόντως ἐπαινεῖν ἐπιχειρῶ τὸν οὐδὲν περιττότερον τῶν ἄλλων διαπεπραγμένον». Δὲν ἰσοδυναμεῖ δὲ τὸ ἐν τῷ χωρίῳ τούτῳ διαφερόντως τῷ διαφόρως ἤτοι ἀνομοίως, ἀλλ' ἐμφαίνει τοιαύτην τινὰ ἔννοιαν, οἵαν τὸ περισσῶς, ὑπερβαλλόντως ἢ τὸ ἐξαιρέτως, μάλιστα. Πρβ. Ἐπιγρ. Ἑλλην. Τόμ. Β', σελ. 601,11 «ἐν ᾧ μηνὶ πανηγύρεις τε καὶ ἱερομηνίαι ἐπιτελοῦνται, διαφερόντως δὲ ἐν τῇ ἡμετέρᾳ πόλει» καὶ Στοβ. Ἐκλογ. Τόμ. Α', σελ. 380,17 Οὐαξμ. «κακάς τε εἶναι πάσας διισχυρίζονται καὶ διαφερόντως οἱ περὶ Κρόνιόν τε καὶ Νουμήνιον».

Ἀξία παρατηρήσεως εἶνε ἡ σύνταξις, καθ' ἣν λέγεται διαφερόντως

ἤ, οἷον Ξενοφ. Ἀπ. Γ', η', 5 «οὐδὲν διαφερόντως, ἔφη, ἀποκρίνει (-νῃ) μοι ἢ ὅτε σε ἠρώτησα κτέ.» (καὶ Ἀγησ. Α', 36 «ἐπείθετο τῇ πόλει οὐδὲν διαφερόντως ἢ εἰ ἐν τῷ ἐφορείῳ ἔτυχεν ἑστηκὼς μόνος παρὰ τοὺς πέντε») καὶ Λυσ. κατὰ Φιλ. § 20 «οὐ τοίνυν ἔγωγ' οἶδ' ὅ,τι ἡμᾶς διαφερόντως δεῖ γιγνώσκειν περὶ αὐτοῦ ἢ οἱ οἰκεῖοι γιγνώσκουσι» καὶ Πλάτ. Φαίδ. σ. 85, Β' «τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ» καὶ Πολιτ. σελ. 455, Γ' «οἶσθά τι οὖν ὑπὸ ἀνθρώπων μελετώμενον, ἐν ᾧ οὐ πάντα ταῦτα τὸ τῶν ἀνδρῶν γένος διαφερόντως ἔχει ἢ τὸ τῶν γυναικῶν;» καὶ Διογ. Λαέρτ. Β', 94 «μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας». Ποιεῖται δ' ὁ Ἄστιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ΙΑ', σελ. 660 τὴν παρατήρησιν τήνδε· «Sq. διαφερόντως ἢ est, ut constat, *magis quam*. Infra 95. B: ἐκεῖ εὖ πράξειν διαφερόντως, ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα. Polit. VII. 538. B. Legg. II. 669. al. Etenim διαφερόντως, proprie *excellenter* (in quo comparationis notio inest) in universum deinde ponitur comparationis sensu, ut sit i. q. *magis*, ἢ sequente vel genitivo substantivi Cf. *Abresch*. Auct. Dil. Thuc. p. 272». Πρβ. καὶ Σταλβαύμιον εἰς Πλάτ. Τόμ. Α', β', σελ. 128 ἐκδ. β' καὶ Κυνῆρον εἰς Ξενοφ. Ἀπομν. σελ. 342 ἐκδ. β'. Παρὰ τῷ Ψευδοπλάτωνι Ἐπιστ. Ζ', 330, Α' ἀπαντᾷ «ἐβούλετό με καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον ἢ ἐκεῖνον». Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Β', σελ. 1373. Τῷ διαφερόντως ἤ ἐχρήσατο καὶ ὁ Ἀριστείδης Τόμ. Β', σελ. 9 Δινδ. «οὐδὲν διαφερόντως ἢ εἰ χάριν ᾔτει τοὺς ἀκούοντας ταῦτα συγχωρῆσαι». Σημειωτέον δ' ὅτι ἐρρήθη καὶ διαφερόντως ἐκ πάντων ὑπὸ τοῦ Πλάτωνος Συμποσ. σελ. 196, Α' καὶ διαφερόντως ὑπὲρ ἅπαντας ὑπὸ τοῦ γραμματικοῦ Φρυνίχου Ἐκλογ. σελ. 1 Λοβ.

Εὑρίσκεται δὲ τὸ ἐπίρρημα διαφερόντως συγκριτικῷ ἐπιθέτῳ συντεταγμένον παρὰ τῷ Προκοπίῳ Τόμ. Γ', σελ. 293,2 Βόνν. «μεῖζόν τε κατεστήσατο καὶ διαφερόντως εὐρύτερον» καὶ παρ' Ἰωάννῃ τῷ Λυδῷ σελ. 300,1 Βόνν. «καὶ διαφερόντως ἐκδίδοσθαι ξηροτέρας» καὶ παρ' Ἰωάννῃ τῷ Πεδιασίμῳ Θ' (Ἀπολλόδ. Οὐαγν. σελ. 256, 14) «διαφερόντως εἰς μάχην ἐπικρατέστερον».

Παράδοξον δύναται νὰ φανῇ τὸ ὑπὸ τοῦ Ἀσωπίου εἰρημένον ἐν

τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 631 «ὡς τὸ διαφερόντως ὅπερ κυρίως σημαίνει διαφόρως μετέπεσεν εἰς τὴν σημασίαν τοῦ ἐξαιρέτως».

Σκαρλᾶτος ὁ Βυζάντιος γράφει ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς γλώσσης σελ. 301 «Διαφερόντως, ἐπίρ. (μὲ γεν.) Διαφορετικά, ἀλλέως. Διακονεῖσθαι μηδὲν διαφερόντως τῶν δούλων, Πλάτ. (ἢ δοτ.) Διαφερόντως ἑτέρῳ πρὸς ἕτερον, Θκ. (καὶ μετὰ τοῦ Ἤ) Διαφερόντως ἢ πρότερον, Πλάτ. 2) (χωρὶς πτ.) ἐξαιρέτως, κατ' ἐξοχήν. Ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι, Αἰσχ.». Πρῶτον μὲν παρατηροῦμεν ὅτι δεινῶς σφάλλεται ὁ Σκαρλᾶτος νομίζων ὅτι ἐν τῷ τοῦ Θουκυδίδου (βιβλ. Β', 51) «ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον» ἀναφέρεται ἡ δοτικὴ ἑτέρῳ εἰς τὸ διαφερόντως· εἶτα δ' ὅτι τὸ περὶ οὗ ὁ λόγος ἐπίρρημα ἔχον τὴν δευτέραν σημασίαν, ἐφ' ἧς ἀποκλίνει πολλάκις εἰς τὴν ἔννοιαν τοῦ μᾶλλον, τίθεται καὶ μετὰ πτώσεως, οἷον διαφερόντως τῶν ἄλλων, διαφερόντως τῶν ἄλλων ἀνθρώπων, κτλ. καὶ μετὰ τοῦ Ἤ, οἷον διαφερόντως ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, κτλ., ἔπειτα δ' ὅτι δὲν εἶνε τὸ διαφερόντως ἀντὶ τοῦ ἀνομοίως τεθειμένον οὔτ' ἐν τῷ «διακονεῖν μηδὲν διαφερόντως τῶν δούλων» (Πλάτ. Νόμ. σελ. 805, Ε') οὔτ' ἐν τῷ «πείθεσθαί τε αὐτοῖς διαφερόντως ἢ πρότερον» (Πολιτ. σελ. 538, Β'), ὡς δοξάζει ὁ Σκαρλᾶτος.

---

## ΚΕΦ. ΟϚ'.

### Ἐπιρρήματα εἰς ΩΣ ἐκ μετοχῶν ἐνεργητικῶν παρακειμένων γινόμενα.

Ἐποιησάμεθα λόγον ἐν κεφ. ΝϚ' περὶ τοῦ ἐκ τῆς μετοχῆς ἐγρηγορώς ἐσχηματισμένου ἐπιρρήματος ἐγρηγορότως. Οὐκ ὀλίγα δὲ φέρονται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπιρρήματα εἰς ΩΣ παρηγμένα ἐκ μετοχῶν ἐνεργητικῶν παρακειμένων.

ἀναβεβηκότως. Ἴδε Κουμαν. Συναγ. Ἀθησαυρ. Λέξ. σελ. 18. Πρβ. βεβηκότως.

ἀναπεπτωκότως. Πολυδ. Γ', 123 «βραδέως, ἀναπεπτωκότως, ἀναβεβλημένως». Πρβ. ὑποπεπτωκότως.

ἀντιπεπονθότως. Βεκκ. Ἑλ. Ἀνέκδ. σελ. 408,21 «Ἀντιπεπονθότως: ἀντικειμένως, ἐναντίως». Τὸ ἐπίρρημα τοῦτο ἀπαντᾷ παρ' Ἀρχιμήδει Τόμ. Β', σελ. 152,12 καὶ σελ. 158,5 καὶ σελ. 188,10 Εἱβ., παρ' Ἀνδρονίκῳ τῷ Ῥοδίῳ Ἀποσπ. Ἑλλην. Φιλοσοφ. Τόμ. Γ', σελ. 413,5 καὶ 23 Μουλλ., παρὰ Θέωνι τῷ Σμυρναίῳ σελ. 87, 10 καὶ 12 Τευβν., παρ' Ἀμμωνίῳ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Δ', γ', σελ. 18,21, παρ' Ἰωάννῃ τῷ Φιλοπόνῳ Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 487,2 καὶ σελ. 490,2., παρὰ Μιχαὴλ τῷ Ψελλῷ σ. 64 Βοισσ., παρὰ Γεωργίῳ τῷ Χοιροβοσκῷ σ. 330,25 καὶ παρ' ἄλλοις. Πρβ. καὶ Ἐτυμ. Μέγ. σ. 397,18 καὶ Σχολ. Ἱπποκρ. καὶ Γαλ. Τόμ. Β', σελ. 73 καὶ 228 καὶ 230 καὶ 471 Δειτζ. καὶ Σχολ. Εὐκλείδ. Τόμ. Ε', σελ. 612,16. Ἴδε Θησ. Στεφ. Τόμ. Α', β', σελ. 964, α' καὶ Λοβέκκιον εἰς Φρύν. σελ. 119.

ἀπεσκληκότως. Συνέσ. Ἐπιστ. σελ. 275, Γ' «πρὸς δὲ φιλοσοφίαν οὐκ οἶδ' ὅντινα τρόπον ἀπεσκληκότως ἔχει». Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τομ. Δ', σελ. 450 «ἀπεσκληκότως ἔχοντα πρὸς ἅπασαν προσβολήν». Πρβ. καὶ Τόμ. Ε', σελ. 221 καὶ 411 καὶ 453.

ἀπηρυθριακότως. Ἀπολλόδ. παρὰ Στοβ. Ἀνθ. ΜϚ', 15 «ὅθεν ἐπιχειρεῖ πάντ' ἀπηρυθριακότως». Ἐν τοῖς ἀντιγράφοις φέρεται ἀπερυθριακότως, ὅπερ βάρβαρον. Τὴν ὀρθὴν ἐκφορὰν ἀποκατέστησεν ὁ Ἅλμιος. Παραδοξότατον ἡμῖν φαίνεται ὅτι τὸ ἀνελλήνιστον ἐπίρρημα ἀπΕρυθριακότως ἐμνημονεύθη ὑπὸ τοῦ Κουμανούδη ὡς νέα λέξις ἐν τῇ Συναγωγῇ Νέων Λέξεων σελ. 121 «ἀπερυθριακότως Ν. Δούκ.».

ἀποδεδειλιακότως. Πολυδ. Ε', 123 «εὐτελὲς γὰρ τὸ δειλῶς, τὸ δὲ ἀποδεδειλιακότως δύσφθεγκτον».

ἀραρότως. Ἡσύχ. «ἀραρότως: ἁρμοδίως, προσηρμοσμένως, ἁρμοζόντως, ἀσφαλῶς Ὅθεν καὶ τὸ ἄραρεν παγίως δέδοκται». Αἰσχ. Ἱκέτ. 945 «ὡς μένειν ἀραρότως». Εὐριπ. Μηδ. 1192 «ἀραρότως σύνδεσμα χρυσὸς ἔχει». Πλάτ. Φαῖδρ. σελ. 240, Δ' «ὥστε μεθ' ἡδονῆς ἀραρότως αὐτῷ ὑπηρετεῖν». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Γαληνῷ Τόμ. Η', σελ. 637 «κατὰ δὲ τοὺς ἡγουμένους εἶναι βεβαίως

τε καὶ ἀραρότως γνωστὸν» καὶ παρὰ τῷ Ὠριγένει Τόμ. ΙΖ', σελ. 111 «τὸ μὴ ἀραρότως τόνδε τινὰ τὸν ἄνθρωπον καὶ βεβαίως βούλεσθαι τὰ κρείττονα» καὶ παρὰ Πρόκλῳ τῷ Διαδόχῳ εἰς Πλάτ. Τόμ. Β', σελ. 61 Κουσ. «οὔτε ὁ περὶ τῶν ἀναγκαίων εἰκαστικῶς λέγων οὔτε ὁ περὶ τῶν εἰκαστῶν ἀραρότως» καὶ παρὰ τῷ Προκοπίῳ Τόμ. Β', σ. 557,9 «εἰ δὲ ἀραρότως ταῦτα πανταχῇ πέφυκεν, κτέ.» καὶ παρὰ Γεωργίῳ τῷ Παχυμέρῃ (-μέρει) Τόμ. Α', σ. 332,7 «τῇ παραυτίκα τόλμῃ καὶ μόνῃ ἀραρότως ἐλπίζοντες καταπλῆξαι» καὶ σελ. καὶ 382,7 «ἀλλ' ἀραρότως ἔχειν» καὶ σελ. 432,17 «καὶ ἐπ' αὐτῷ πολὺν τὸν τοῦ εὖ πράξειν ἐλπισμὸν ἀραρότως εἶχον» καὶ σελ. 437,16 «οὐκ εἶχε δ' ἀραρότως πιστεύειν» καὶ Τόμ. Β', σελ. 221,14 «οὐκ εὔελπις ἀραρότως ὢν ἐπὶ τῷ τέλει» καὶ σελ. 392,4 «ὥστε καὶ ἀραρότως ἐπ' αὐτῇ πεποιθέναι» καὶ παρὰ τῷ Ἐφραιμίῳ 8127 (σελ. 327) «καὶ τοῖς ἐν αὐτῇ χωρίοις ἀραρότως» καὶ παρὰ Νικήτᾳ τῷ Χωνιάτῃ σελ. 364,9 «ὀχεῦσιν ἀραρότως ἐνηρμοσμέναι» καὶ σελ. 415,10 «ὡς ἀρκούντως ἤδη καὶ ἀραρότως τὰ πρὸς ἀντιμάχησιν διοικήσας» καὶ παρ' Ἰωάννῃ τῷ Κιννάμῳ σελ. 252,14 «ἐμοὶ γὰρ ἀραρότως ἔχειν συμβαίνει τὰ ἐς τὴν θεωρίαν ταυτηνί» καὶ παρὰ τῷ Εὐσταθίῳ Παρεκβ. εἰς Ὅμ. σελ. 893,58 «ὅτι καὶ διαστάντες τοπικῶς ὅμως ἀραρότως εἶχον» καὶ σελ. 1017,23 «τὸ δὲ ὑσμίνην ἤρτυνον ταὐτόν ἐστι τῷ ἀραρότως ἐμάχοντο». Πρβ. καὶ Χρον. Πασχ. σελ. 31,8 «ἀραρότως τοῦτο ποιεῖν προσήκει». Ἄλλα παραδείγματα ἐκ τοῦ μεταγενεστέρου ἑλληνισμοῦ βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', β', σελ. 1866-7, ἔνθα γίνεται μνεία καὶ τύπου ἀρηρότως ἐκ τοῦ Ἀλεξανδρείας Κυρίλλου. Παρατηρητέον δ' ὅτι τὸ ἐπίρρημα ἀραρότως ἐφέρετο καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ κατὰ πλημμελῆ ἀνάγνωσιν σελ. 752 Ποττ. «τὸν μέντοι Κώκαλον τὸν ποιηθέντα ἀραρότως τοῦ Ἀριστοφάνους υἱῷ Φιλήμων ὁ κωμικὸς ὑπαλλάξας ἐν Ὑποβολιμαίῳ ἐκωμῴδησεν»· ἀποκατέστησε δὲ τὴν ὀρθὴν γραφὴν Ἀραρότι ὁ Κασαύβων ἐν ταῖς εἰς τοὺς Ἀθηναίου Δειπνοσοφιστὰς Παρατηρήσεσι σελ. 168.

βεβηκότως. Μιχ. Ἀκομ. Τόμ. Β', σελ. 104,26 Λάμπρ. «οὕτω βεβηκότως ἔχων». Πρβ. ἀναβεβηκότως, ἐκβεβηκότως, ἐπαναβεβηκότως, συμβεβηκότως, ὑπεραναβεβηκότως.

γεγηθότως. Φίλ. Ἰουδ. Τόμ. Ε', σελ. 43 «ἐφ' οἷς ἄξιον γε-

γηθότως εὐχαριστεῖν». Ἡλιόδ. Αἰθιοπ. Ζ', 5 «τὰ λειπόμενα τῶν ὅπλων ἐν κόσμῳ τῷ γινομένῳ γεγηθότως ἀναλαμβάνοντος». Κεδρην. Τόμ. Α', σελ. 742,6 «ἐρασμίως καὶ γεγηθότως προσίενται». Οὐχὶ δ' ἀπίθανον ἡμῖν φαίνεται ὅτι ἔκειτο κατ' ἀρχὰς παρὰ τῷ Φίλωνι γεγηθότΑΣ.

δεδιότως. Δί. Κάσσ. ΜΒ', ιζ', 3 «τοῖς μὲν δεδιότως, τοῖς δὲ θαρσούντως ἐχρῶντο». Ἀριστείδ. Τόμ. Β', σελ. 612, 10 Δινδ. «ὅταν οὐ θαρρούντως οὐδ' ἐλευθέρως ἀλλὰ δεδιότως τε καὶ ὑπούλως καὶ μετὰ τοῦ πάνυ τοι λανθάνειν ἐθέλειν ἐπὶ ταῦτα χωρῇς». Ἠθέλησε δ' ὁ Ῥείσκιος ν' ἀποκαταστήσῃ τὸ προκείμενον ἐπίρρημα καὶ ἐν τῇ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ φερομένῃ ῥήσει «ἔτι μᾶλλον ἐβούλετο ἐπᾶραι καὶ θρασυτέρους ποιῆσαι, δόξαν οὐκ ἀληθῆ παρασχὼν ὡς ὀρρωδῶν εἰς χεῖρας ἰέναι πρὸς αὐτούς, καὶ πάντα δεδιότος ἐποίει» (Ῥωμ. Ἀρχ. σελ. 2278). Ἀλλὰ πολλῷ κάλλιον ἔχει ἡ παραδεδομένη γραφή. Εὑρέθη δὲ καὶ τύπος δεδοικότως παρὰ Φιλοστράτῳ Τόμ. Α', σελ. 139, 29 Καυσ. «ὁρῶντός τε ἐς αὐτὸ τοῦ Ἀπολλωνίου δεδοικότως τε καὶ ὀργίλως, φωνὰς ἠφίει τὸ εἴδωλον». Ὁ Βυττεμβάχιος ἔτρεψε τὸ δεδοικότως εἰς τὸ δεδορκότως, ἐνέκρινε δὲ τὴν μεταβολὴν ταύτην καὶ ὁ Λουκᾶς ἐν *Quaest. Lexil.* βιβλ. Α', σελ. 25· ἀλλ' ἄλλοι ἀναγινώσκουσι «ὁρῶντός τε εἰς αὐτὸ τοῦ Ἀπολλωνίου, δεδοικότως τε καὶ ὀργίλως φωνὰς ἠφίει τὸ εἴδωλον». Ἐξεδόθη δὲ καὶ παρὰ Ῥούφῳ τῷ Ἐφεσίῳ σελ. 196, 1 Δαρ. «θρασέως ἢ δεδοικότως» ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις δεδοικώς.

εἰδότως. Πολυδ. Ε', 144 «καὶ τὰ ἐπιρρήματα ἐμπείρως, ἐπιστημόνως — τάχα καὶ εἰδότως· Ὅμηρος δὲ ἐπισταμένως λέγει» Τοῦ περὶ οὗ ὁ λόγος ἐπιρρήματος ἔχομεν μαρτύρια τὸ τοῦ Αἰσχίνου κατὰ Τιμ. 111 «καὶ μάλα εἰδότως καὶ σαφῶς» καὶ τὸ τοῦ Ἀριστοτέλους Φυσ. Ἀκρ. Α', δ', 8 (Τόμ. Β', σελ. 253, 37 Διδ.) «οὐκ εἰδότως μὲν λέγεται» καὶ τὸ Μάρκου τοῦ Ἀντωνίνου Ϛ', 42 «πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως». Βάρβαρον εἶνε τὸ ἀσυνειδότως ἀντὶ τοῦ ἀσυνειδήτως, ὡς ἐδηλώθη ἐν ταῖς Γλωσσικαῖς Παρατηρήσεσι σελ. 256.

εἰκότως. Πολυδ. Θ', 131 «εἰκότως δὲ καὶ ἐοικότως, παρεοικότως» καὶ μετ' ὀλίγα «ἀνομοίως καὶ ἀπεοικότως». Συχνὸν ὑπάρ-

χει τὸ εἰκότως, οὗ ὁ Ἰωνικὸς τύπος εἶνε οἰκότως (Ἴδ. Γ. Δινδόρφιον ἐν *Comment. de Dialect. Herodot.* σελ. μα'). Τὸ ἐοικότως (=ὁμοίως) ἀπαντᾷ παρὰ τῷ Διοσκορίδῃ Τόμ. Α', σελ. 50 Σπρεγγ. «ἐοικότως δὲ καὶ τὸ βαλάνινον σκευάζεται» καὶ σελ. 165 «συμφύει ἐοικότως τοῖς ἐναίμοις» καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Γ', σελ. 94,5 «ἐοικότως βότρυϊ τῷ ὀρνέῳ» καὶ σελ. 94,8 «ἐοικότως βότρυϊ σταφυλῆς». Τὸ ἀπεοικότως κεῖται παρὰ τῷ Θουκυδίδῃ βιβλ. Ϛ', 55 «οὐδὲ τοῦτο ἀπεοικότως», ὡς καὶ τὸ ἐοικότες βιβλ. Γ', 38 «σοφιστῶν θεαταῖς ἐοικότες». Ἀλλά τινες μετέγραψαν εἰκότες καὶ ἀπεικότως. Ἐποιήσατο δὲ τρὶς χρῆσιν τοῦ τύπου ἀπεικότως ὁ Θουκυδίδης ἐν Α', 73 καὶ Β', 8 καὶ Η', 68. Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1877 σελ. 247 «Summa enim constantia Athenienses omnes semper et ubique εἰκώς, et προσεικώς εἰκέναι et προσεικέναι dicebant, et εἰκότως et ἀπεικότως, sed sequiores scriptores ex Homerico usu ἐοικώς, ἐοικέναι, προσεοικέναι, ἀπεοικότως et sim. dicere coeperunt, unde factum est ut in libros Thucydidis, Platonis, Xenophontis et in fabulas Tragicorum et Comicorum irreperent formae, quibus nemo Veterum usus esset umquam» (Πρβ. καὶ Ἑρουερδῆνα ἐν *Stud. Thucyd.* σελ. 124). Ἄξια ἀναγνώσεως εἶνε τὰ ὑπὸ τοῦ Σταλίου διειλημμένα ἐν *Quaest. Grammat. ad Thucyd. pert.* σελ. 66 ἐκδ. β'. Τὸ ἀπεικότως εὑρίσκεται καὶ παρὰ τῷ Γαληνῷ Τόμ. ΙΘ', σελ. 165 καὶ παρὰ τῷ Ἰουλιανῷ σελ. 506, 21 Ἑρτλ. καὶ παρὰ τῷ Λογγίνῳ περὶ Ὕψ. ΙΕ', 11 (σελ. 66 Οὐεισκ.), ἀλλὰ παρὰ τῷ Πορφυρίῳ πρὸς Μάρκελλ. Ε' (σελ. 276, 10 Ναυκ.) ἀπαντᾷ τὸ ἀπεοικότως. Πρβ. καὶ Πρόκλ. εἰς τὸν Τίμ. Πλάτ. σελ. 40 Σνειδ. ἐοικότως. Παρὰ Δίωνι τῷ Χρυσοστόμῳ κεῖται οὐ μόνον ἀπεικότως «οἷς οὐκ ἀπεικότως ἄν τις ἐπιπλήξειεν» (Τόμ. Α', σελ. 383, 30 Δινδ.) ἀλλὰ καὶ ἀπεοικότως καὶ προσεοικότως «ἔτι δὲ μᾶλλον ἀπεοικότως τὰ φυτά» καὶ «εἴτε εὐσχημόνως καὶ προσεοικότως γέγονεν» (Τόμ. Α', σελ. 223, 31 καὶ σελ. 231, 14). Παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 683, 13 ἄλλα μὲν τῶν ἀντιγράφων ἔχουσιν «εἰκότως ταῖς τίτθαις», ἄλλα δὲ ἐοικότως (ἢ ἐοικότος). Πρβ. Θησ. Στεφ. Τόμ. Α', β', σελ 1277, α. Ἴδε καὶ Εἰνιχένιον εἰς Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Τόμ. Α', σελ. 333 ἐκδ. β'.

εἰωθότως. Σοφοκλ. Ἠλ. 1456 «ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως». Πλάτ. Συμποσ. σελ. 218, Δ' «μάλα εἰρωνικῶς καὶ σφόδρα ἑαυτῷ εἰωθότως ἔλεξεν». Εὐστάθ. Παρεκβ εἰς Ὅμ. σελ. 606, 7 «οὔτε δὲ μάλιστα οὔτε εἰωθότως».

ἐπιβεβηκότως. Σιμπλίκ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙΑ', σελ. 52, 5 «τὸ γὰρ ἔμψυχον τῇ ψυχῇ ἐκβεβηκότως ὅμοιον». Πρβ. καὶ σελ. 224, 29.

ἐμπεφυκότως. Τίμ. Σοφ. Πλάτ. Λεξ. σελ. 47 «Ἀπρίξ: ἐμπεφυκότως». Σχολ. Θεοκρ. σελ. 395, 14 Ἀρ. «Ἀπρὶξ ἔχευ Εὐνόα: ἀντὶ τοῦ ἐμπεφυκότως». Ἡσύχ. Φῦ χειρί: ἐμπεφυκότως λαβοῦσα τῇ χειρί».

ἐνδεδηχότως. Βαχμανν. Ἑλλ. Ἀν. Τόμ. Α', σελ. 312, 15 «Ὀδάξ: τοῖς ὀδοῦσιν ἐνδεδηχότως».

ἐπαναβεβηκότως. Ὠριγέν. Τόμ. Γ', σελ. 37 «ἐπαναβεβηκότως νοηθέν». Πρβ. καὶ σελ. 246. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 1399, γ' μνημονεύονται καὶ ἐκ τοῦ Βασιλείου δύο παραδείγματα.

ἐπικεκυφότως. Ἴδε Κουμαν. Συναγ. Ἀθησαυ. Λέξ. σελ. 123.

ἐσπουδακότως. Ἀπολλών. Σοφ. Λεξ. Ὁμηρ. σελ. 67, 16 Βεκκ. «Ἐμμαπέως: ἐσπουδακότως». Ὑπὸ τοῦ Ἡσυχίου γίνεται ἐξήγησις τοῦ ἐπιρρήματος ἐμμαπέως διὰ τοῦ ἐσπουδασμένως».

(ἐστυκότως). Φιλήμ. παρ' Ἀθην. σελ. 569, ϛ'.

οὐκ εὖ σαυτοῦ τυγχάνεις ἔχων· ἔχεις
(ἐστυκότως) πως· ἡ θύρα 'στ' ἀνεῳγμένη
εἷς ὀβολός· εἰσπήδησον

Προσετέθη δὲ τὸ ἐστυκότως ὑπὸ τοῦ Βεντληίου (Ἴδε καὶ Κόβητον ἐν τῇ Μνημοσύνῃ 1876, σελ. 292).

ἑστώτως. Πρόκλ. εἰς Πλάτ. Τόμ. Β', σελ. 304 Κουσ. «καὶ ἑστώτως καὶ τεταγμένως προείληπται». Πρβ. καὶ συνυφεστώτως (Κουμαν. Συναγ. Ἀθησ. Λέξ. σελ. 331). Σημειωτέον δ' ὅτι ἀνεγινώσκετο ὑπό τινων ἐν Ἰλιάδος Τ, 79 ἑσταότως ἀντὶ τοῦ ἑσταότος, ὡς μανθάνομεν ἐκ τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Δ', σελ. 208, 21 Δινδ, «Τινὲς ἑσταότως ἀντὶ τοῦ εὐσταθῶς, ἡσύχως, ἀρκούντως, ἐθελόντως». Πρβ. καὶ Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σ. 1172,55 «Δεῖ δὲ εἰδέναι καὶ ὅτι τινὲς τοῦ ἑσταότος ἐκτείνοντες τὴν λήγουσαν καὶ

ἐπίρρημα λαβόντες αὐτὸ ἑσταότως φασὶ τὸ εὐσταθῶς καὶ ἡσύχως».

καθεστηκότως καὶ συνεστηκότως. Ἀριστοτ. Πολιτ. Η', ε', 8 (Τόμ. Β', σελ. 630, 20 Διδ) «ὀδυρτικωτέρως καὶ συνεστηκότως μᾶλλον» καὶ μετ' ὀλίγα «μέσως δὲ καὶ καθεστηκότως μάλιστα πρὸς ἑτέραν». Γαλην. Τόμ. Ε', σελ. 418 «εὖ μάλα καθεστηκότως εἶπεν». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου φέρεται σελ. 1728, 27 «ἐπισταδόν, ἀντὶ τοῦ ἑστηκότως, εἴπερ ἔστιν οὕτως ἓν ἀνθ' ἑνὸς φράσαι».

καταπεφρονηκότως. Ψευδοδημοσθ. σελ. 219, 28 «οὕτω πανταχόθεν καταπεφρονηκότως ἐκεῖνοι τῇ πόλει χρῶνται». Διόδ. Σικελ. ΙΔ', 17, 10 «ἐπιχειρήσαντος πολιορκεῖν καταπεφρονηκότως». Πρβ. καὶ ΙΕ', 32, 5 καὶ ΙΘ', 92, 3 καὶ 93, 2 καὶ 95, 5.

κατεπτηχότως. Πολυδ. Γ', 137 «συνεσταλμένως, κατεπτηχότως».

κεκμηκότως. Σχολ. Σοφοκλ. σελ. 111, 5 Τευβν. καὶ Σουίδ. σελ. 49 Βεκκ. «ἀκαμάτως καὶ ἀδιαλείπτως—ἢ οὐ κεκμηκότως».

κεχηνότως. Σχολ. Νικάνδρ. σελ. 28, 11 Κειλ. «χανδόν: ἀντὶ τοῦ πολὺ καὶ ἀθρόον ἢ κεχηνότως». Μοῖρ. σελ. 403 «Χανδὸν πιεῖν Ἀττικῶς, κεχηνότως καὶ ἀθρόως Ἕλληνες». Πρβ. καὶ Θωμ. Μάγιστρον σελ. 392, 9 Ῥισχ.

λεληθότως Ἡσύχ. «Λεληθότως: λανθανόντως». Πολυδ. ϛ', 209 «κεκρυμμένως, λεληθότως, λανθανόντως». Ὠριγέν. Τομ. ΙΘ', σελ. 135 «εἰ μὴ ἄρα λεληθότως διαβάλλειν βούλεται» καὶ Τόμ. ΚΕ', σελ. 145 «εἰ μὴ ἄρα διὰ τούτων λεληθότως βούλεται ὁ Κελσος— ὁμοειδῆ εἶναι πᾶσαν ψυχήν». Ἀνδρόν. Ῥοδ. Φιλοσόφ. Ἑλλ. Ἀποσπ. Τόμ. Γ', σελ. 470 Μουλλ. «λεληθότως γὰρ εἰσέρχεται καὶ οὐκ ἀθρόον». Γνωστὸν εἶνε τὸ ἐν τοῖς Ἀνακρεοντείοις κείμενον «τὸ λεληθότως σύνοφρυ». Ἄλλα παραδείγματα βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ε', σελ. 182, ε'. Παρ' Ἀπολλωνίῳ τῷ Σοφιστῇ Λεξ. Ὁμηρ. σελ. 109. 12 ἀντὶ τοῦ «ἀπὸ τοῦ λυγαίως βαίνειν, ὅ ἐστι σκοτεινῶς καὶ λεληθότως» ἔχει ὁ κῶδιξ λεληθῶς. Ὁ Ψευδηρῳδιανὸς ἐν τῷ Φιλεταίρῳ σελ. 433 ἀποδοκιμάζει τὸ λεληθότως λέγων «Τὸ λεληθότως οὐ γέγραπται· κρύφα οὖν χρὴ λέγειν». Παρ' οὐδενὶ τῶν δοκίμων εὑρέθη τὸ περὶ οὗ ὁ λόγος ἐπίρρημα.

μεμελετηκότως. Πολυδ. Α', 157 «συγκεκροτημένως, μεμελετηκότως». Περὶ τοῦ παρὰ τῷ Ξενοφῶντι Ἱππαρχ. Ζ', 14 φερομένου μεμελετηκότως ἴδε Κόβ. ἐν *Nov Lect.* σελ. 798. Πρβ. καὶ Λ. Δινδόρφιον εἰς Ξενοφ. Ἱππαρχ. σελ. 123.

μεμηνότως. Ἰώσηπ. Τόμ. Δ', σελ. 33, 20 Νισ. «ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως». Βοισσον. Ἑλλ. Ἀνεκδ. Τόμ. Ε', σελ. 460 «τοῖς ὠμοτάτοις θηρίοις μεμηνότως διήρπασται».

μεμυκότως. Φώτ. Λεξ. σελ. 281, 21 «Οἱ δὲ ἀνέγνωσαν μυσικαρφί, ὡς ἀκονιτί· τὸ μεμυκότως καὶ ξηρῶς, μὴ ἐκ φανεροῦ γελᾶν». Πρβ. καὶ Ἡσύχ. λ. μυσικαρφί.

νενηφότως Θωμ. Μάγ. σ. 245,8 «Νενηφότως καὶ ἐγρηγορότως, οὐκ ἐγρηγόρως». Πρβ. καὶ Βοισσον Ἑλλ. Ἀν. Τόμ. Ε', σ. 456

πεποιθότως. Δίων Χρυσόστ. Τόμ. Α', σελ. 220, 29 Δινδ. «ὡς ἐκεῖνος μάλιστα ἐναργῶς καὶ πεποιθότως ἐν τοῖς ἔπεσιν εἴρηκεν» (Πρβ. καὶ Γεέλιον εἰς Δί. Χρυσ. Ὀλυμπ. σελ. 64). Ζαχαρ. ΙΔ', 11 (Παλ. Διαθ. Τόμ. Β', σελ. 388 Διδ.) «κατοικήσει Ἱερουσαλὴμ πεποιθότως». Ὠριγέν. Τόμ. ΙΑ', σελ. 437 «τῷ δικαιοπραγοῦντι δὲ πεποιθότως ἔστιν ἐλπίσαι». Ἑρμογ. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Γ', σελ. 385, 6 «διὰ τὸ μὴ πεποιθότως μηδὲ ἀληθινῶς προφέρεσθαι τὸν λόγον». Νικήτ. Χων. σελ. 534, 16 «οἱ δ' Ἀλαμανοὶ πεποιθότως ἐβάδιζον τὴν διὰ λείου πεδίου εἰς τὸ Ῥωμαϊκὸν στρατόπεδον φέρουσαν». Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 1440, 14 «ὁ πεποιθότως προλέγων». Πρβ. καὶ Βασίλ. Τόμ. Α', σελ. 128, δ'.

περιγεγονότως. Ἴδε Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 800.

πεφροντικότως. Βασίλ. Τόμ. Β', σελ. 578, δ' «οὐκ ἀδοκιμάστως δὲ ἀλλὰ πεφροντικότως».

πεφυκότως. Ἀριστοτ. Ῥητορ. Γ', β', 4 (Τόμ. Α', σελ. 386, 47 Διδ.) «διὸ δεῖ λανθάνειν ποιοῦντας καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως ἀλλὰ πεφυκότως».

προσπεφυκότως. Ἡσύχ. «Ἀπρίξ: προσπεφυκότως». Ἐτυμ. Μέγ. σελ. 132,53 «Ἀπρίξ: — ἀσφαλῶς, προσπεφυκότως, κατόχως». Σχολ. Σοφ. Τόμ. Β', σ. 206,23 Δινδ. «ἀσφαλῶς, προσπεφυκότως». Πρβ. Τούπιον ἐν *Emendat.* Τόμ. Γ', σελ. 224.

σεσηρότως. Πολυδ. Γ', 132 «πανούργως, σεσηρότως». Πρβ. καὶ Βοισσον. Ἑλ. Ἀνέκδ. Τόμ. Ε', σελ. 455.

συμβεβηκότως. Νικόμ. Γερασ. Ἀριθμ. Εἰσ. σελ. 3, 4 Τευβν. «συμβεβηκότως δὲ μετέχει καὶ παραπολαύει τῶν περὶ τὸ ὑποκείμενον σῶμα παθῶν· τῶν δὲ τοιούτων ἐξαιρέτως ἐπιστήμη ἐστὶν ἡ σοφία, συμβεβηκότως δὲ καὶ τῶν μετεχόντων αὐτῶν».

συμπροεληλυθότως. Ἴδε Κουμαν. Συναγ. Ἀθησ. Λεξ. σελ. 322.

συνεστηκότως. Ἴδε καθεστηκότως.

συνηκολουθηκότως. Χρύσιππ. παρὰ Γαλην. Τόμ. Ε', σελ. 352 «διὰ δὲ τὴν κατάποσιν συνηκολουθηκότως λέγεται καὶ εἰς τὴν κοιλίαν ἀποτίθεσθαι αὐτά».

τεθαρρηκότως. Πολλάκις ἀπαντᾷ τὸ ἐπίρρημα τοῦτο παρὰ τῷ Ὠριγένει, οἷον Τόμ. Α', σελ. 41. Τόμ. Γ', σελ. 62 καὶ 399. Τόμ. Δ', σελ. 37. Τόμ. ΙΕ', σελ. 309. Τόμ. ΙΗ', σελ. 113 (Τόμ. ΚΕ', σελ. 111). Τόμ. Κ', σελ. 175. Κεῖται δὲ καὶ παρὰ τῷ Πλουτάρχῳ Ῥωμ. ΙΒ'. καὶ Ἀγησ. ΚΗ' καὶ Κάτ. ΚΖ' καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ Β', 19, 3 καὶ ΙΑ', 30, 2 καὶ 36, 3 καὶ παρὰ τῷ Λουκιανῷ Ἀποκηρυττ. 4 καὶ παρὰ τῷ Διοσκορίδῃ Τόμ. Β', σελ. 66 καὶ παρὰ τῷ Γαληνῷ Τόμ. ΙΘ', σελ. 192 καὶ παρὰ τῷ Ὀρειβασίῳ Τόμ. Β', σελ. 337 Δαρ. καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 12, 2 Διδ. Εὑρέθη δὲ καὶ ἐν τῷ περὶ Εὐσεβείας τοῦ Φιλοδήμου ΙΗ', 6 «ὥστ' ἔγωγε κἂν τεθαρρηκότως εἴπαιμι τούτους Διαγόρου μᾶλλον πλημμελεῖν». Παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχαιολ. σελ. 327 κατά τε τὴν ἔκδοσιν τοῦ Κισλιγγίου καὶ τὴν τοῦ Ἰακώβυος ἀναγινώσκεται «καὶ οἱ Σαβῖνοι τεθαρρηκότΕΣ ἐδίωκον»· φέρεται δ' ὅμως καὶ γραφὴ τεθαρρηκότΩΣ. Ὁ Πολύβιος λέγει οὐ μόνον «ῥᾳδίως ἐχρήσατο τῇ πολιορκίᾳ καὶ τεθαρρηκότως» καὶ καὶ «ἤδη τεθαρρηκότως προσέκειντο τοῖς Καπυανοῖς» (σελ. 114, 27 καὶ σελ. 674, 23 Οὐλσχ.) ἀλλὰ καὶ «ῥᾳθύμως καὶ κατατεθαρρηκότως ἀναστρεφόμενον» καὶ «ἐξάραντες παντὶ τῷ στρατεύματι κατατεθαρρηκότως ὥρμησαν» (σελ. 101, 4 καὶ σελ. 129, 30. Πρβ. καὶ σελ. 270, 15). Φέρεται δὲ τὸ σύνθετον κατατεθαρρηκότως καὶ παρὰ τῷ Πλουτάρχῳ Ἀντων. ΚΖ' «ἀνειμένως ἤδη καὶ κατατεθαρρηκότως».

τετολμηκότως. Πολυβ. σ. 28,12 Οὐλσχ. «ἐνέβαλον οἱ πρῶτοι πλέοντες τετολμηκότως» καὶ σ. 668,15 «ἔμενε δ' ἐν τῇ παρεμβολῇ

τετολμηκότως» καὶ σελ. 961, 27 «διεμάχοντο τοῖς πολεμίοις οὕτω τετολμηκότως» καὶ σελ. 965, 33 «ἐπικείμενοι θρασέως καὶ τετολμηκότως». Ἔγραψε δ' ὁ Λ. Δινδόρφιος καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. ΙΓ', 79, 1 «ταῖς πρῴραις ἐπέβαινον τετολμηκότως» ἀντὶ τοῦ τετολμηκότΕΣ.

ὑπεραναβεβηκότως Ἴδε Θησ. Στεφ. Τόμ. Η', σελ 169, α.

ὑποβεβηκότως Ὄκελλ. Λευκ. π. Πάντ. Φύσ. Α', 14 (Ἀποσπασμ. Ἑλλ. Φιλοσόφ. Τόμ. Α', σελ. 393 Μουλλ.) «οἱ δὲ ἄνθρωποι καὶ τὰ λοιπὰ ζῷα μᾶλλον ὑποβεβηκότως τοῦ καθόλου ὅρον τῆς φύσεως ἀμείβουσιν». Σιμπλίκ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙΑ', σελ 11, 16 «ὅτι μὴ ἀπροσδιορίστως καὶ ἁπλῶς ἐστιν ἐντελέχεια ἀλλ' ὑποβεβηκότως

ὑποπεπτωκότως. Πολυδ. Δ', 51 «ταπεινῶς, ὑποπεπτωκότως». Ἀριστείδ. Τόμ. Α', σελ. 234 Δινδ. «πρὸς δὲ τὰς Ἑλληνικὰς — ὑποπεπτωκότως». Ἰω. Γλυκ. περὶ Συντάξ. σελ. 22, 16 Ἰαν. «δεομένως καὶ ὑποπεπτωκότως καὶ οἱονεὶ λατρευτικῶς προσέρχομαί σοι».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου εἶνε κατακεχωρισμένον καὶ τὸ ἐπίρρημα ἀνεῳγότως ἐκ γλωσσαρίου (Τόμ. Α', β', σελ. 733, δ'). Φέρεται δ' ἐν αὐτῷ καὶ τὸ ἀπεγνωκότως, ἀπεγνωκότως ἔχειν (Τόμ. Α', β', σελ. 1233) ἀλλὰ δὲν μνημονεύεται ὁ συγγραφεύς, ἐξ οὗ ἐλήφθη.

ΣΗΜ. Ἐν τῷ Περιοδικῷ Συγγράμματι Πλάτωνι 1883, σελ. 296 ἐμνημονεύσαμεν τὸ χωρίον Φίλωνος τοῦ Ἰουδαίου «ἐφ' οἷς ἄξιον γεγηθότως εὐχαριστεῖν» καὶ ἐποιησάμεθα τὴν παρατήρησιν τήνδε· «οὐχὶ δ' ἀπίθανον ἡμῖν φαίνεται ὅτι ἔκειτο κατ' ἀρχὰς παρὰ τῷ Φίλωνι γεγηθότΑΣ». Ἐν τῇ νέᾳ ἐκδόσει Φίλωνος τοῦ Ἰουδαίου εἶνε γεγραμμένον Τόμ. Ε', σελ. 132 (1906) «ἐφ' οἷς ἄξιον γεγηθότας εὐχαριστεῖν»· σημειοῦται δ' ὁ ἐκδότης «γεγηθότας M Nicetae cod. Coisl. (Tisch): γεγηθότως ν (Vat. Mon. et Hoesch. cod.)».

## ΚΕΦ. ΟΖ'.

### Περὶ τῆς τῶν τελικῶν μορίων ἵνα καὶ ὅπως καὶ ὡς συντάξεως μεθ' ὁριστικῆς ἐγκλίσεως χρόνου παραγομένου.

Ὁ Δημ. Βερναρδάκης γράφει ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 262 «ΣΗΜ. Ὁ *ἵνα* καὶ σπανιώτερον ὁ *ὡς*, *ὅπως*, φέρεται καὶ πρὸς παραγόμενον ὁριστικῆς, ἀλλ' ἀνωμάλως καὶ κατ' ἐξαίρεσιν, οἷον: *Πρὸ πολλοῦ ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι* ταῦτα, ἵν', εἰ ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιέπεσες».

Ἀποροῦμεν τί νὰ εἴπωμεν περὶ τοῦ θαυμασίου τούτου ἀνθρώπου, ὅστις περὶ ὁμαλωτάτης καὶ κανονικωτάτης συντάξεως λόγον ποιούμενος ἀποφαίνεται ὅτι ἀνωμάλως αὕτη καὶ κατ' ἐξαίρεσιν γίνεται.

Πολλὰ παλαιῶν τε καὶ μεταγενεστέρων ἔχομεν νὰ μνημονεύσωμεν χωρία, ἐν οἷς τὸ τελικὸν μόριον ἵνα εἶνε ὁριστικῇ ἐγκλίσει συντεταγμένον χρόνου παραγομένου

Σοφοκλ. Οἰδ. Τ. 1387 «οὐκ ἂν ἐσχόμην τὸ μὴ ἀποκλῇσαι τοὐμὸν ἄθλιον δέμας, ἵν' ἦ τυφλός τε καὶ κλύων μηδέν». Περὶ τοῦ τύπου ἦ ἴδε Λόγιον Ἑρμῆν 1867, σελ. 398.

Εὐριπ. Ἱππολ. 645 «χρῆν δ' εἰς γυναῖκα πρόσπολον μὲν οὐ περᾶν, ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη θηρῶν, ἵν' εἶχον μήτε προσφωνεῖν τινα μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν» καὶ Ἰφιγ. Ταύρ. 357 «ἀλλ' οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε, οὐ πορθμίς, ἥτις διὰ πέτρας Συμπληγάδας Ἑλένην ἀπήγαγ' ἐνθάδ', ἥ μ' ἀπώλεσε, Μενέλεων θ' ἵν' αὐτοὺς ἀντετιμωρησάμην».

Ἀριστοφάν. Ἐκκλησιαζ. 421 «εἰ δ' ἐκεῖνά γε προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν, τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας δεῖπνον παρέχειν ἅπασιν, ἢ κλάειν μακρά, ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν» καὶ 151 «ἐβουλόμην μὲν ἂν ἕτερον τῶν ἠθάδων λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος» καὶ Σφ. 960 «ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα, ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον». Ἀποφαίνεται δ' ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 104 «corrige sodes ἔγραφεν pro ἐνέγραφ', nisi quid sit λόγον ἐγγράφειν in tali re

expedire potes» (Ἴδε καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Σφηκῶν σελ. 116).

Μένανδρ. Ἀποσπ. 319,14 Κοκκ. «εἰ μὴ καθήγιζέν τις ἅμα τὴν ἔγχελυν, ἵνα Καλλιμέδων ἀπέθανεν εἷς τῶν συγγενῶν» καὶ 349,3 «ὡς δῆτ' ἐχρῆν—πλεῖν τοῦτον ἤδη διὰ τέλους καὶ μηδ' ἐπιβαίνειν γῆς, ἵν' οὕτως ᾔσθετο οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο».

Μάχ. παρ' Ἀθην σελ. 578, Ε «ἔδωκ' ἄν, ἵν' εἶχες, φήσ', ἀποψᾶσθαι, τάλαν».

Ἀνθολ. Παλατ. ΙΕ', 17 «εἰ ζωγραφεῖν τις ἤθελέν σε, Παρθένε, ἄστρων ἐδεῖτο μᾶλλον ἀντὶ χρωμάτων, ἵν' ἐγράφης φωστῆρσιν, ὡς φωτὸς πύλη».

Πλάτ. Θεαιτ. σελ. 161, Γ' «τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς Ἀληθείας ὅτι πάντων χρημάτων μέτρον ἐστὶν ὗς ἢ κυνοκέφαλος ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν, ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν» καὶ Εὐθυδ. σελ. 304, Ε' «Καὶ μήν, ἔφη, ἄξιόν γ' ἦν ἀκοῦσαι. Τί δέ; ἦν δ' ἐγώ. Ἵνα ἤκουσας ἀνδρῶν διαλεγομένων, οἳ νῦν σοφώτατοί εἰσι τῶν περὶ τοὺς τοιούτους λόγους» καὶ σελ. 335, Γ' «ἀλλὰ σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα συνουσία ἐγίγνετο» καὶ Συμποσ σελ. 181, Δ' «χρῆν δὲ καὶ νόμον εἶναι μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο». Σημειοῦται δ' ὁ Ἄστιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Ι', σελ. 134 «Particula ἵνα, ut solet, cum indicativo imperf., plusquamperf. vel aoristi iuncta indicat quod fieri debebat, sed non factum est. Cf. *Marcl.* ad Lys p. 43. *Heindorf.* ad Theaet p. 348. *Mattihaeus* Gramm. gr. p. 997. et *Schäfer.* Appar. ad Demosth. I. p. 351». Γνωστοτάτη εἶνε ἡ ἐν τῷ Κρίτωνι τοῦ Πλάτωνος σελ. 44, Δ' κειμένη ῥῆσις «εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν αὖ καὶ ἀγαθὰ τὰ μέγιστα, καὶ καλῶς ἂν εἶχε». Ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 104 ἀναγινώσκει μὲν «τἀγαθὰ τὰ μέγιστα», ὑπολαμβάνει δὲ τὸ «καλῶς ἂν εἶχε» ὑποβολιμαῖον λέγων «quis non perspicit insiticia et spuria esse verba tam frigida quam supervacua καὶ καλῶς ἂν εἶχε, quae vel in negligentissimo scriptore reprehendi debebant ea in *Platone* feremus?». Πρβ. καὶ Σχάν-

ζιον ἐν *Nov. Comment. Plat.* σελ. 103 «Tum verba καὶ καλῶς ἂν εἶχε cum Cobeto suspecta habeo (V. L. p. 104); sed adversor ei τἀγαθὰ pro ἀγαθὰ scribenti». Τῇ γνώμῃ τοῦ Κοβήτου ἐναντιοῦται ὁ Σταλβαύμιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Α', σελ. 206 (1858). Παρατηρητέον δ' ὅτι ἐν τῷ Μένωνι τοῦ Πλάτωνος σελ. 89, Β' φέρεται «Καὶ γὰρ ἂν που καὶ τόδ' ἦν· εἰ φύσει οἱ ἀγαθοὶ ἐγίγνοντο, ἦσάν που ἂν ἡμῖν οἳ ἐγίγνωσκον τῶν νέων τοὺς ἀγαθοὺς τὰς φύσεις, οὓς ἡμεῖς ἂν παραλαβόντες ἐκείνων ἀποφηνάντων ἐφυλάττομεν ἐν ἀκροπόλει, κατασημηνάμενοι πολὺ μᾶλλον ἢ τὸ χρυσίον, ἵνα μηδεὶς αὐτοὺς διέφθειρεν, ἀλλ' ἐπειδὴ ἀφίκοιντο εἰς τὴν ἡλικίαν, χρήσιμοι γίγνοιντο ταῖς πόλεσιν». Ἐποιήσατο δ' ὁ Μαδβίγιος ἐν *Adversar Crit.* Τόμ. Α', σ. 413 τὴν παρατήρησιν τήνδε. «Rectum esset διέφθειρεν. si hoc significaretur. tunc neminem eos corrupturum fuisse, quod nunc fiat (synt. Gr § 131 not), h. e., effectus praesentis temporis non verus. Sed h l. significari tantum consilium actionis in condicione positae relatum ad tempus praeteritum (hypotheticum). ostendit clarissime γίγνοιντο et cum eo coniunctum ἀφίκοιντο. Scribendum igitur διαφθείρειεν. abiecta illa quam Hermannus praef. vol I. p. VII fingit, enallaga». Τὴν ὑπὸ τοῦ Μαδβιγίου γενομένην μεταβολὴν τοῦ διέφθειρεν εἰς τὸ διαφθείρειεν ἐνέκρινεν ὁ Σχάνζιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Η', σελ. 143.

Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. φόνου 41 «εἶτα δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς μόνος καταλειφθῆναι καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο;» καὶ 42 «καίτοι γε εἰ προῄδειν (Κόβ. προῄδη), οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν' ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (Κόβ. εἰσῇα) κτέ.» καὶ πρὸς Σίμ. 21 «ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες τἀληθῆ ῥᾳδίως ἔγνωτε τὰ δίκαια» καὶ περὶ Τραύμ. 3 «ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος κρίνας τὴν ἐμὴν φυλὴν νικᾶν» καὶ περὶ τοῦ Σηκ. 17 «ἵν', εἴ τις αὐτοὺς ᾐτιᾶτο, εἶχον ἀνενεγκεῖν ὅτῳ παρέδοσαν» (Ἴδε Φροβεργῆρον εἰς Λυσ. Τόμ. Β', σελ. 185).

Ἰσοκρ. Εὐαγόρ. 5 «Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' αὐτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν» καὶ πρὸς Καλλίμ. 51 «ἐβουλόμην δ' ἂν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν αὐτόν, ἵν' αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε» καὶ Ἐπιστολ. Β', 12 «πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας, ἵν', εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιέπεσες, εἰ δ' ἠπίστησας, μὴ συμβουλεύειν ἐδόκουν ταὐτὰ τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις».

Δημοσθ. σελ. 47,27 «οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν, ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις;» καὶ σελ. 599,21 «καί φησι δεῖν ἡμᾶς, εἴπερ ἐπιστεύομεν εἶναι ταῦτ' ἀληθῆ, πρὸς τοὺς θεσμοθέτας ἀπαντᾶν, ἵν' ἐκεῖ περὶ χιλιῶν ἐκινδυνεύομεν, εἰ καταψευδόμενοι ταῦτ' ἐφαινόμεθα» καὶ σελ. 602,28 «ὅτι χρῆν σε ἀπάγειν, ἵν' ἐκινδύνευες περὶ χιλιῶν» καὶ σελ. 635,48 «οὐκοῦν ταὐτά γε δήπου προσῆκε προσγράψαι ἐάν τις ἀποκτείνῃ γράφοντα, ἄκων ἢ ἑκών, ἀδίκως ἢ δικαίως, ξένος ἢ πολίτης, ἵν' ὅτῳ ποτὲ τοὔργον ἐπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια» καὶ σελ. 837,5 «ἀλλ' ἐχρῆν, ἐπειδὴ τάχιστ' ἐτελεύτησεν ὁ πατήρ, εἰσκαλέσαντας μάρτυρας πολλοὺς παρασημήνασθαι κελεῦσαι τὰς διαθήκας, ἵν', εἴ τι ἐγίγνετο ἀμφισβητήσιμον, ἦν εἰς τὰ γράμματα ταῦτ' ἐπανελθεῖν καὶ τὴν ἀλήθειαν πάντων εὑρεῖν» καὶ σελ. 849,17 «ἔτι δὲ τὸ πρᾶγμ' ἂν ἐξελέγξαι ζητῶν ἐξῄτησεν ἄν με τὸν παῖδα τὸν γράφοντα τὰς μαρτυρίας, ἵν', εἰ μὴ παρεδίδουν, μηδὲν δίκαιον λέγειν ἐδόκουν» καὶ σελ. 958,47 «ταῦτα ἀντὶ τοῦ κοσμεῖν καὶ περιστέλλειν, ἵνα καὶ τοῖς δοῦσιν ὡς εὐσχημονέστατα ἐφαίνετο καὶ τοῖς λαβοῦσιν ὑμῖν, ἄγεις εἰς μέσον, δεικνύεις, ἐλέγχεις, μόνον οὐκ ὀνειδίζεις οἷον ὄντα σε ἐποιήσαντο Ἀθηναῖοι» καὶ σελ. 1106,17 «οὐκοῦν εἴ περ ἀληθὲς ἦν, ἐχρῆν αὐτὸ τὸ γραμματεῖον εἰς τὸν ἐχῖνον ἐμβαλεῖν καὶ τὸν παρέχοντα μαρτυρεῖν, ἵν' ἐκ τῆς ἀληθείας καὶ τοῦ τὰ σημεῖα ἰδεῖν οἱ μὲν δικασταὶ τὸ πρᾶγμα ἔγνωσαν, ἐγὼ δέ, εἴ τις ἠδίκει με, ἐπὶ τοῦτον ᾖα» καὶ σελ. 1180,47 «ταῦτ' ἐχρῆν αὐτόν, ὦ ἄνδρες δικασταί, εἴ περ τι ἦν ἀληθὲς ὧν λέγει, καὶ

μόνον προσιόντα τῷ 'Ανδροκλείδῃ διαμαρτύρασθαι καὶ μετὰ μαρτύρων πολλῶν, ἵν' αὐτῷ πολλοὶ ἦσαν οἱ συνειδότες» καὶ σελ. 1254,24 «ἡγούμην τε δεῖν τὴν ἀρχὴν ἢ τοὺς ᾑρημένους ὑπὸ τῆς βουλῆς γράφεσθαι καὶ κατασημηναμένους τὰς βασάνους, ὅ τι εἴπαιεν οἱ ἄνθρωποι, παρέχειν εἰς τὸ δικαστήριον, ἵν' ἀκούσαντες ἐκ τούτων ἐψηφίσασθε ὁποῖόν τι ὑμῖν ἐδόκει» καὶ σελ. 1273,5 «–, ἵν', εἰ μὲν ἐβούλετο παύσασθαι, μηδὲν ὑμῖν ἦν δυσχερὲς πρὸς ἀλλήλους, εἰ δ' ὠλιγώρησε καὶ συνέβη τι τοιοῦτον, μάρτυσιν εἶχες τότε παραγενομένοις χρῆσθαι» καὶ 6 «καὶ νὴ Δί' ἐπιδεῖξαί σε ἔδει πᾶσιν ἀνθρώποις χαράδραν οὖσαν, ἵνα μὴ λόγῳ μόνον, ὥσπερ νῦν, ἀλλ' ἔργῳ τὸν πατέρ' ἀδικοῦντ' ἀπέφαινες» καὶ σελ. 1303,15 «εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφίζεσθαι, ἵν' ἀπηλλαγμένοι ἦσαν ποιήσαντες τὰ ὑμῖν ἐψηφισμένα» (Πρβ. καὶ σελ. 715 48 καὶ σελ. 1105,13) καὶ Ψευδοδημοσθ. σελ. 1434 «οὐδὲν ἔδει κοινῇ ποιεῖν ὧν ἰδίᾳ μέμφεσθε, ἵνα μὴ συνέβαινεν ὅπερ νυνὶ γίγνεται» καὶ σελ. 1438 «ἐγὼ δὲ ἡδέως μὲν ἂν ἑώρων ἃ καὶ συνοίσειν ἔμελλε, ταῦτ' ἐν ἡδονῇ πράττειν ὅνθ' ὑμῖν, ἵνα καὶ χαριζόμενος καὶ χρηστὰ λέγων ἐφαινόμην» καὶ σελ. 1441 «ἠβουλόμην ἄν, ὦ ἄνδρες 'Αθηναῖοι, τὴν ἴσην σπουδὴν ἐνίους τῶν λεγόντων ποιεῖσθαι ὅπως τὰ βέλτιστ' ἐροῦσιν, ὅσην περ ὅπως εὖ δόξουσι λέγειν, ἵν' οὗτοι μὲν ἀντὶ τοῦ δεινοὶ λέγειν ἐπιεικεῖς ἐνομίζοντο εἶναι, τὰ δ' ὑμέτερα, ὥσπερ ἐστὶ προσῆκον, βέλτιον εἶχε» καὶ σελ. 1444 «ἔδει μέν, ὦ ἄνδρες 'Αθηναῖοι, καὶ δίκαιον ἦν τότε πείθειν ὑμᾶς ὅ,τι ἄριστον ἕκαστος ἡγεῖτο, ὅτε ἐβουλεύεσθε τὸ πρῶτον περὶ τούτων, ἵνα μὴ συνέβαινεν ἃ δὴ δύο πάντων ἐστὶν ἀλυσιτελέστατα τῇ πόλει» ("Ιδε Γ. Οὐετνῆρον ἐν *Act. Sem. Phil. Erl.* Τόμ. Δ', σελ. 143 καὶ Ναβῆρον ἐν *Mnemos.* 1903, σελ. 11-12). 'Εγράψαμεν «ἀπηλλαγμένοι ἦσαν» ἀκολουθήσαντες τῷ Κοβήτῳ, ὑφ' οὗ εἶνε ἐν *Nov. Lect.* σελ. 345 τάδε γεγραμμένα «Coepit iam ita facere Dindorfius in paucis idoneus harum rerum iudex, qui in Demosthenis editione Lipsiensi ἤεμεν, ἤετε, ἤεσαν cum compositis omnibus expulit et formas Atticas in lucem vitamque revocavit, rectissime, nisi quod imprudens pag. 216. retinuit πρὸς τὰ τείχη προσήεσαν οἱ πολέμιοι, et contra festinantius pag. 1303, ubi Codices exhibent: εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφίζεσθαι ἵν' ἀπηλλαγμένοι εἴησαν (SQ. ειεσαν, F. ἤιεσαν) ποιήσαντες τὰ ὑμῖν ἐψηφισμένα, in Oxoniensi

editione dedit ἀπηλλαγμένοι ἦσαν, in Lipsiensi ἦσαν. Neque hoc neque illud sanum aut probum est. Sententia loci postulat ἵν' ἀπηλλαγμένοι ἦσαν, quemadmodum apud Dinarchum κατὰ Δημοσθένους recte legitur § 10. ἐχρῆν αὐτοὺς ζητεῖν ἵνα—ἀπηλλαγμεθα τούτου τοῦ δημαγωγοῦ, idque unus omnium optime ipse Dindorfius intelliget requiri». Ὁ Οὐηδῆρος σημειοῦται ἐν τῇ ἐκδόσει τοῦ κατ' Ἀριστοκράτους λόγου τοῦ Δημοσθένους σελ. 214 «Inest conditio non impleta, ex qua quia apta sunt proxima ἵν'—ὑπῆρχε, non debebat Taylor coniunctivum ὑπάρχῃ ponere, «a Marklando iam refutatus exemplis ad Lysiam t. I. p. § 43. expromptis».

Αἰσχίν. κατὰ Κτησιφ. 2 «ἐβουλόμην μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι καὶ τοὺς νόμους οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας ἰσχύειν, ἵνα ἐξῆν πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι προστάττουσι — τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν».

Δείναρχ. κατὰ Δημοσθ. 10 «δυοῖν γὰρ θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε, δόντος δίκην τοῦ θηρίου τούτου — ἀπηλλάγμεθα (=ἀπηλλαγμένοι ἦμεν) τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος».

Δημοκράτ. παρὰ Στοβ. Ἀνθολ. Τόμ. Α', σελ. 262, 10 «Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, ἄθλιε, εἶπε, τί γὰρ τὰ μικρὰ ἔκλεπτες ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες;». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 111 «Male correxerunt homines docti locum Plutarchi in Floril. 6, 43: Θηρίον ἐστὶ δουλαγωγὸν ἡδονὴ ἀλλ' οὐκ ἄγριον, εἴθε γὰρ ἦν, φανερῶς ἂν πολεμοῦσα ταχέως ἑάλω. Abest ἂν in optimo codice A · qui addiderunt debuerant simul γὰρ de suo interponere; sed non est haec Plutarchi manus, qui dederat; εἴθε γὰρ ἦν ἵνα φανερῶς πολεμοῦσα ταχέως ἑάλω. Noto usu ἵνα cum indicativo ponitur ubi pendet ex ἐβουλόμην ἄν, ἐχρῆν, εἴθε γὰρ et sim., de qua re diligenter notavimus in Mnemos. Vol. III. p. 100. Aliud huius compositionis exemplum est in Floril. 13, 30:

τί γὰρ τὰ μικρὰ ἔκλεπτες ἀλλ' οὐ τὰ μεγάλα ἵνα καὶ σὺ ἄλλους ἀπῆγες;».

Πολύβ σελ. 1363.19 Οὔλσχ. «ὅπερ ἔδει καὶ τοὺς τοιούτους ἱστοριογράφους, ἵνα μὴ κατετόλμων τοῦ καλῶς ἔχοντος».

Πλούτ. Κάτ. Νεωτ. Γ' «τί οὖν, εἶπεν, οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵνα αὐτὸν ἀνελὼν ἀπήλλαξα δουλείας τὴν πατρίδα;». Πρβ. καὶ Καίσ. ΜϚ' «τοῦτο ἐβουλήθησαν, εἰς τοῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάιος ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τα στρατεύματα, κἂν κατεδικάσθην». Σημειοῦται δ' ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Δ', σελ. 490 «Ἵνα κἂν κατεδικάσθην: Ἐπὶ τοῦ, Ὅπου ἐκδεκτέον εἶναι τὸ, Ἵνα, ἐνθάδε οἱ ΠΡ ἐσημειώσαντο. Ἔχοι δ' ἂν καὶ ἀντὶ τοῦ, Ὥστε, ἐκλαμβάνεσθαι. Εἰς τοσαύτην ἀνάγκην με ὑπηγάγοντο, ὥστε καὶ κατεδικάσθην ἄν, εἰ προηκάμην τὰ στρατεύματα».

Διονύσ. Ἀλικαρν. Ῥωμ. Ἀρχ. σελ. 1888 «ἐβουλόμην μὲν ἂν καὶ θεοῖς εὐξάμην, ἵνα ἧττον ἦσαν ἐπίσκηνοι λυπηροὶ τῇ πόλει».

Δίων Χρυσόστ. Τόμ. Α', σελ. 118, 16 Δινδ. «εἴθε γὰρ ἦν ἔχειν ἡμᾶς ὅσα οὗτος ἔλεγεν ἀγαθά, ἵνα καὶ ὑμῖν ἐδώκαμεν καὶ αὐτοὶ τῶν μακαρίων ἦμεν».

Δίων Κάσσ. Τόμ. Β', σελ. 211 Δινδ. «ἐξόν σοι τότε εὐθὺς καθ' ἕκαστον αὐτῶν τὴν προσήκουσαν παρ' αὐτοῦ δίκην εἰληφέναι, ἵν' αὐτός τε φιλόπολις ὡς ἀληθῶς ὢν ἐπεφήνεις καὶ ἡμεῖς καὶ ἀβλαβῆ καὶ ἀσφαλῆ τὴν τιμωρίαν παρ' αὐτὰ τὰ ἀδικήματα ἐπεποιήμεθα».

Φιλόδ. περὶ Κακ. ΚΓ' (σελ. 58.28 Οὔσσ.) «νέος ὤφελον εἶναι καὶ μὴ γέρων, ἵν' ἐμαυτὸν ὑπέταξά σοι».

Νουμήν. παρ' Εὐσεβ. Προπαρ. Εὐαγγ. Τόμ. Β', σελ. 278,28 «πολλὴν δῆτ' ἔχων ἤδη τὴν διαίσθησιν ὑπερεπεθύμει, εὖ οἶσθ' ὅτι, τῶν ἐλεγξόντων τυχεῖν, ἵνα μὴ ἐδόκει μετὰ νῶτα βαλὼν αὐτὸς ἑκὼν φεύγειν».

(Πλωτῖν. Τόμ. Β', σελ. 392. 22 Κιρχ. «οὐδὲ γὰρ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ μετεῖχεν» καὶ σελ. 399, 5 «οὐ γὰρ λέγεται κακὴ τῷ ποιότητα ἔχειν, ἀλλὰ μᾶλλον τῷ ποιότητα μὴ ἔχειν, ἵνα μὴ ἦν ἴσως κακὴ εἶδος οὖσα»).

Εὐνάπ. Ἱστορ. Ἑλλ. Μικρ. Τόμ. Α', σελ. 219,16 Δινδ. «εἴθε

ἔζη μοι, ἔφη, ὁ παῖς ἵνα σοι δοθεὶς ὅμηρος, ὦ Καῖσαρ, δουλείαν ηὐτύχει τῆς ἐμῆς βασιλείας εὐδαιμονεστέραν».

Ἀριστείδ. Τόμ. Α΄, σελ. 439 Δινδ. «ἐβουλόμην ἄν, ὦ θαυμάσιε, μάλιστα μὲν τὴν πόλιν οἵαν κατέλιπες τοιαύτην φανῆναι· εἰ δὲ μή, παρὼν αὐτὸς ποιεῖσθαι τοὺς λόγους, ἵν' ἀμφοτέρως ἐκέρδαινον» καὶ Τόμ. Β΄, σελ. 203 «ἐβουλόμην δ' ἂν καὶ πρὸς ἄλλον τινά μοι τὸν ἀγῶνα τυγχάνειν ὄντα καὶ μὴ πρὸς Πλάτωνα, καὶ περὶ τούτου λέγω καὶ περὶ τῶν ἄλλων, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην θαρρούντως καὶ μὴ συνέβαινέ μοι παραπλήσιον κτέ.».

Γαλην. Τόμ. Γ΄, σελ. 380 «ἐχρῆν δήπου σμικρὰ πᾶσιν αὐτοῖς δοθῆναι τὰ νεῦρα κατὰ μόνην ἔτι τὴν τρίτην χρείαν, ἵν' ἦν διαγνωστικὰ τῶν λυπησόντων».

Ἀχιλλ Τάτ. Ε΄, 15, 4 «ὄφελον εἶχε τὴν αὐτὴν φύσιν τῷ κοινῷ πυρί, ἵνα σοι περιχυθεῖσα κατέφλεξα». Ὁ Ἰακώψιος γράφει ἐν τῇ ἐκδόσει τοῦ συγγραφέως τούτου σελ. 793 «ἵνα σοι περιχυθεῖσα κατέφλεξα: καταφλέξω Commel. *Dio Chrys*. Or. VII. p. 234. 15· εἴθε γὰρ ἦν ἔχειν ἡμᾶς ὅσα οὗτος ἔλεγεν ἀγαθά, ἵνα καὶ ὑμῖν ἐδώκαμεν. Illustravit hanc structuram *Heindorf*. ad Platon. T. II. p. 348».

Λιβάν. Λόγ. Τόμ. Δ΄, σελ. 294,5 Ῥεισκ. «ὤφελον μὲν γὰρ — τὸν Ἰσοκράτους — ἑλέσθαι βίον, ἵν' ἐν ἡσυχίᾳ καὶ γαλήνῃ καὶ τὸν ἔμπροσθεν ἐβίουν χρόνον». Ἐν τῷ Οὐϊνδοβονησίῳ Λεξικῷ σελ. 105,7 Ναυκ. λέγεται «Καὶ ἵνα ἀντὶ τοῦ καὶ διὰ τοῦτο, ὅπερ καὶ μετὰ παρεληλυθότος συντάσσεται. Λιβάνιος· ὦ κατάρατε καὶ ὑπὲρ τὸ δέον φιλότιμε, ἐγὼ μόνος ἐδυστύχουν ἀφόρητα, ἵνα μοι δυστυχέστερον τῆς νόσου τὴν ὑγείαν ἀντέδωκας». Ἐδηλώθη δ' ὑπὸ τοῦ Ναυκίου ὅτι τὸ χωρίον τοῦτο τοῦ Λιβανίου κεῖται ἐν Τόμ. Δ΄, σελ. 665,22.

Θεοδώρητ. Τόμ. Δ΄, σελ. 881 «καὶ αὐτὰς ἂν ὑμῖν τῶν θεσπεσίων προφητῶν τὰς προρρήσεις παρέθηκα, ἵνα ἀκριβέστερον διὰ τῶν πραγμάτων ἐμάθετε τὴν τῶν ῥημάτων ἀλήθειαν».

Μῦθ. Αἰσώπ. 155, β΄ (σελ. 75 Ἀλμ.) «τῆς δὲ οἰκίας, ὅτι μὴ τροχοὺς σιδηροῦς αὐτῇ ἐποίησεν, ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει καὶ γείτονα πονηρὸν ἐξέφευγεν».

Φώτ. Ἐπιστολ. σελ. 502 Βαλ. «οὐκ ἔδει σε κακουργεῖν, ἵνα σου τὸ ἁμάρτημα ἡ τῶν ἠθῶν ἁπλότης ἐδείκνυ κουφότερον» καὶ Λόγ.

καὶ Ὁμιλ. Τόμ. Α΄, σελ. 270 Ἀριστ. «εἴθε τὸν ὑμέτερον, ὡς καὶ πρόσθεν, ἐπλήρουν κατάλογον, ἵνα μηδεμία μοι περιῆν ἀνάγκη λογοθετεῖν τὰ ἀλλότρια, ἵνα μηδεμία μοι ἐπηκολούθει ποινή, τὰ τῶν ποιμαινομένων παρορῶντι ἐλαττώματα, ἵνα τὰ ἐμὰ μόνον περισκοπεῖν ἐξῆν, καὶ περὶ μηδενὸς τῶν ἄλλων αἱ φροντίδες ἐπεκάθηντο» καὶ Τόμ. Β΄, σελ. 218 «ταῦτα ὁρῶν πῶς οὐ πάντων ἀπέστης, δι' ὧν σεαυτῷ συνῆγες τὰ σκάνδαλα, καὶ τὴν γνώμην ἐτραυμάτιζες, καὶ πολλῇ σπουδῇ καὶ δρόμῳ καταφυγὼν πρὸς μετάνοιαν ἐπεδείξω τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς καὶ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ἐκέρδησας;». Φέρεται δὲ καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 20,5 «εἴθε πολλοὺς ἐγράψω, ἔφη, εἴθε πολλοὺς ἐλύπησας, ἵνα πλείους καταλελοιπὼς ἐτύγχανες λόγους» καὶ σελ. 185,4 «ἀλλ' ἔδει, φασί, τὸν ἄνθρωπον ἀπ' ἀρχῆς καλόν τε καὶ ἀγαθὸν ὑφιστάναι, ἵνα μήτε πράγματα τοσαῦτα παρεῖχε κτἑ» καὶ σελ. 538,20 «ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι καὶ ἐξῆς, ἀντὶ τοῦ ἤθελον, φησίν, ἐγὼ ἐν κατακρίσει γενέσθαι, μόνον ἵνα ἐπέστρεψαν οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸν κύριον». Πρβ. καὶ σελ. 219,9 «ἢ ἐχρῆν ὑπευθύνως οὕτω βιοῦντας εὐδαιμονίας ἀπολαύειν, ἵνα τε πλέον θεὸς ἠγνοήθη καὶ προθυμότερον πρὸς τὰ πάθη καταφερώμεθα;»

Ἰωσὴφ Ῥακενδ. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Γ΄, σελ. 531,10 «ὥστε καὶ αἰτιῶνται οἱ παλαιοὶ τεχνικοὶ τὸν εἰπόντα οὕτως, ὁ ποταμὸς πολὺς ῥεῖ· οὐδὲ γὰρ ἐτήρησε, φασί, τὸ πρέπον τὸ πολύρρουν τοῦ ποταμοῦ συστεῖλαι διὰ τῆς ῥεῖ βραχυλεξίας· ἔδει γὰρ εἰπεῖν ὁ ποταμὸς πολὺς σύρεται, ἵν' ἡμετέρα λέξις τὴν τοῦ πράγματος ἐμιμήσατο φύσιν». Γραπτέον δ' ἴσως «ἵν' ἡ μακροτέρα λέξις κτἑ».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Δ΄, σελ. 462 «ἐβουλόμην ἐλευθερίαν τῶν ἐλέγχων ἔχειν ἐνταῦθα, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην» καὶ Τομ. Ε΄, σελ. 16 «ἐβουλόμην ἀλλοτρίους εἰδέναι τὰ σά, εἶτα δὴ καὶ ἐγκωμιάζειν βούλεσθαι, ἵνα μή σου ὁ ἔπαινος ὑπωπτεύετο· ὤφελον ὑπὸ ἀδεκάστοις λέγειν κριταῖς καὶ ἀνυπόπτοις διαιτηταῖς, ἵνα μηδεὶς τὸν λόγον ὑφεωρᾶτό μοι».

Μιχ. Ἀκομιν. Τόμ. Α΄, σελ. 240,8 Λάμπρ. «Τίς ἀγαθὸς ἐκείνου θεράπων τῆς δίκης αὐτῷ παραπήλαυσεν, ἵνα, ὅπου ἐκεῖνος ἦν, καὶ ὁ θεράπων ἐκείνου κατὰ λόγον ἦν καὶ μηδ' ἐν Ἅδου διίσταντο» καὶ Τόμ. Β΄, σελ. 46,2 «ὡς εἴθε καὶ πρὸς τοὺς ἐμοὺς καὶ οὐκ ἐμοὺς

κατωτικοὺς ἀπεστάλη, ἵνα πολλῶν ἀδίκων γούνατ᾽ ἔλυσεν» καὶ σελ. 109,6 «τοῦ παντὸς ἂν εἱλόμην τὸ καὶ αὐτοπτῆσαι καὶ διομιλήσασθαί σοι τῷ ἐμψύχῳ τροπαίῳ Χριστοῦ, ἵνα τύπον ἔμπνουν ἀπεμαξάμην ἀνδρείας τε καὶ καρτερίας ἐν τοῖς δεινοῖς» καὶ σελ. 240,29 «εἴπερ ἐδυνάμην, μετέβην ἂν ἐντεῦθεν, ἵνα καὶ οὗτοι οἱ ἄνθρωποι ἀνέπνευσαν τῆς περὶ ἡμᾶς καὶ δι᾽ ἡμᾶς ὀχλήσεως καὶ ἡμεῖς τῆς παρὰ τῶν μοχθηροτέρων κληρικῶν» καὶ σελ. 405,13.

Ἄνν. Κομν. Τόμ. Α', σελ. 218,18 Βόνν. «εἴθε γὰρ ἐλευθέρα ἦν τοῦ πάθους τούτου τοῦ πατρικοῦ καὶ ἀπόλυτος, ἵνα καθάπερ ὕλης ἀμφιλαφοῦς δραξαμένη τὴν σοβάδα γλῶσσαν ἐνεδειξάμην ὁπόσην ἔχει περὶ τὰ καλὰ οἰκείωσιν».

Νικηφ. Γρηγορ. Τόμ. Α', σελ. 347,19 Βόνν. «νῦν ἔδει πᾶσαν ἀνθρωπίνην γλῶτταν τὴν ἐμὴν ἀνειληφέναι γνώμην, πρύτανιν τῶν λεγομένων, ἵνα ἦν ἐντεῦθεν καὶ κοινή τις τελετὴ καὶ πανήγυρις καὶ συμφωνία παγκόσμιος ὑπὲρ σοῦ καὶ τῶν σῶν» καὶ σελ. 379,19 «οὐ γὰρ μιξοβάρβαρον μέν, εὔρυθμον δὲ τὸν ἦχον προύφερον, ἵνα τις ἦν καὶ αὐτός, ὥσπερ οἱ Μιξολύδιοι καί, εἰ δεῖ λέγειν οἱ Μιξοφρύγιοι» καὶ Τόμ. Γ', σελ. 552,19.

Θεοφάν. Χρονογρ. σελ. 188,9 Λιψ. «εἴΘΟΙΣ Σαββάτης μὴ ἐγεννήθη, ἵνα μὴ ἔσχεν υἱὸν φονέα».

Ἰω. Κανταχουζ. Τόμ. Α', σελ. 287,5 Βόνν. «ἐβουλόμην μὲν οὖν μὴ ἀπὸ Ῥωμαίων ἀλλ᾽ ἀπὸ βαρβάρων ἑστηκέναι τὸ τρόπαιον τοῖς ἡμετέροις, ἵνα εἶχον τῆς νίκης καθαρὰν τὴν ἡδονήν».

Θεόδ. Στουδ. Μεγάλ. Κατηχ. σελ. 41,21 Κεραμ. «ὡς ὤφελέν γε τοὺς τοιούτους καὶ σπληνιᾶσαι καὶ ἡπατιᾶσαι καὶ ὑδεριᾶσαι καὶ τεθνάναι, ἵνα τοῦ μεγίστου τῶν ἀρρωστημάτων, κακίας καὶ ἀχαριστίας, ἀπηλλάγησαν».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 200,37 «ἐχρῆν γὰρ εἰπεῖν πρότερον τὸ εἰπὼν ἢ φάμενος ἤ τι τοιοῦτον καὶ τότε ἐπαγαγεῖν τὸ δαιμόνιε, ἵνα ἦν ὁ λόγος τοιοῦτος» καὶ σελ. 1241,28 «ὤφειλε γὰρ εἰπεῖν κνίΣΣην μετὰ τοῦ Ν ἐν πτώσει αἰτιατικῇ, ἵνα ἔλεγεν ὅτι τήκων ὁ λέβης τὴν κνίΣΣαν» καὶ σελ. 1315,9 «τὸ δὲ δεύτερα ὤφειλε μὲν δεύτερον εἶναι ὡς πρὸς τὸ ἀέθλιον, καθὰ καὶ προδεδήλωται, ἵνα ἦν δῶμεν ἀέθλιον δεύτερον» καὶ σελ. 1451,56 «ὡς εἰ μὴ τοῦτο ἦν τάχα ἂν καὶ διενυκτέρευσαν ἐν τῷ πότῳ, ἵνα καὶ ἑωλοκρασίαν ἔθεντο» καὶ σελ. 1614,4 «ὤφειλεν

ἡ ἀπ' αὐτῆς Κίρκη ἔχειν καὶ τρίτην ΑΙ, ἵνα ᾖν Αἰαιαίη» καὶ σελ. 1917,29 «Τὸ δὲ βλημένου ὤφειλε μὲν δοτικὴ εἶναι, ἵνα ᾖν δέπας δέ οἱ ἔκπεσε χειρὸς βλημένῳ». Πρβ. καὶ σελ. 390,7 καὶ σελ. 930,48 καὶ σελ. 1035,5 καὶ σελ. 1079,33 καὶ σελ. 1228,60 καὶ σελ. 1236,36 καὶ σελ. 1277,33 καὶ σελ. 1539,46 καὶ σελ. 1750,55 καὶ σελ. 1759,50 καὶ σελ. 1895,52.

Σχολ. Ὀδυσσ. σελ. 600,4 Δινδ. «αἴθε οὕτως ἀκμάζοιμι ὡς καὶ τὸ πάλαι, ἵν' αἰδεσθείς τις τὸ γενναῖον τῆς νεότητος ἔδωκέ μοι χλαῖναν».

Σχολ. Λουκιαν. σελ. 159,4 Ἰακ. «ἀλλ' εἴπερ ἄρα, οὕτως ἐχρῆν εἰπεῖν· τῇ Ῥωμαίων εἰσεγράψατο πολιτείᾳ, ἵνα τῷ πλάτει τοῦ ἀορίστου περιελαμβάνετο καὶ αὐτός».

Πολλῷ εὐαριθμητότερα εἶνε τὰ χωρία ἐν οἷς εἶνε τὸ τελικὸν μόριον ὅπως ἢ ὡς ὁριστικῇ ἐγκλίσει συντεταγμένον χρόνου παραγομένου.

Αἰσχύλ. Προμηθ. 750 «τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας, ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων ἀπηλλάγην;» καὶ Χοηφ. 195 «εἶθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην, ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην». Παρασημειωτέον δ' ὅτι μετετυπώθη τὸ εὔφρον' ὑπὸ μὲν τοῦ Αὐράτου εἰς τὸ ἔμφρον' ὑπὸ δὲ τοῦ Φ. Σμιδιτίου ἐν *Krit. Stud zu den Griech. Dram.* Τόμ. Α', σελ. 59 εἰς τὸ ἢ φρέν'.

Σοφοκλ. Ἠλ. 1131 «ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον, πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν κλέψασα ταῖνδε κἀνασώσασθαι φόνου, ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ». Περὶ τοῦ ταῖνδε ἴδε Γ. Δινδόρφιον ἐν τῷ Σοφοκλείῳ Λεξικῷ σελ. 329, β'.

Ἀριστοφ. Εἰρ. 135 «οὔκουν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν, ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος;».

Πλάτ. Πολιτ. σελ. 378, Α' «εἰ δὲ ἀνάγκη τις ᾖν λέγειν, δι' ἀπορρήτων ἀκούειν ὡς ὀλιγίστους, θυσαμένους οὐ χοῖρον ἀλλά τι μέγα καὶ ἄπορον θῦμα, ὅπως ὅ,τι ἐλαχίστοις συνέβη ἀκοῦσαι».

Δημοσθ. σελ. 950,20 «δεύτερον δέ, τίς οὐκ ἄν, ἡνίκα ὁ Πασικλῆς ἀνὴρ γεγονὼς ἐκομίζετο τὸν λόγον τῆς ἐπιτροπῆς, εἰ δι' αὐτοῦ τὰ γράμματ' ὤκνει τὴν μητέρα αἰτιᾶσθαι διεφθαρκέναι, τούτῳ ταῦτ' ἐδήλωσεν, ὅπως διὰ τούτου ταῦτ' ἠλέγχθη;» (Ἴδε Οὐεστνῆρον ἐν *Act. Sem. Phil. Erl.* Τόμ. Δ', σελ. 120).

Βίος Ἐπιφαν. (Ἐπιφάν. Τόμ. Α', σελ. 33, 22 Δινδ.) «διὰ τί οὐ

ποιεῖς φροντίδα τοῦ σοῦ παιδός, ὅπως καὶ οἱ δύο ὀφθαλμοὶ τούτου ἦσαν ὑγιεῖς;»= ἔδει σε ποιεῖν (ποιεῖσθαι) φροντίδα τοῦ σοῦ παιδός, ὅπως καὶ οἱ δύο ὀφθαλμοὶ τούτου ἦσαν ὑγιεῖς».

Αἰσχ. Προμηθ. 152 «εἰ γάρ μ' ὑπὸ γῆν — ἧκεν — ὡς μήτε θεὸς μήτε τις ἄλλος, τοῖσδ' ἐπεγήθει». Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ 103. «*Atheniensibus* non est in usu γηθεῖν sed γεγηθέναι, non γηθῶν dicebant sed γεγηθώς. Igitur ἐπιγηθεῖν e vitio natum est et rescribendum τοῖσδ' ἐγεγήθει, id est οὕτω γὰρ ἂν οὐδεὶς τοῖσδ' ἐγεγήθει sive ἔχαιρεν». Ἐγεγήθει ἀντὶ τοῦ ἐπεγήθει ἀνέγνω πρὸ τοῦ Κοβήτου ὁ Ἐλμσλήιος (Ἴδε καὶ Γ. Δινδόρφιον ἐν τῷ Αἰσχυλείῳ Λεξικῷ σελ. 126). Ἄξια ἀναγνώσεως εἶνε καὶ ἃ ἔγραψεν ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1862, σελ. 250. Σημειωτέον δ' ὅτι ἐν ταῖς Χοηφόροις τοῦ Αἰσχύλου στ. 772 κεῖται «ἄνωχθ' ὅσον τάχιστα γηθούσῃ φρενὶ» κατ' ἀνάγνωσιν τοῦ Παουβίου ἀντὶ τοῦ τάχιστ' ἀγαθούσῃ. Οὐδαμῶς δ' ἡμεῖς ἐγκρίνομεν τὴν γνώμην καθ' ἣν τὸ γηθούσῃ εἶνε μετοχὴ τοῦ βαρυτόνου ῥήματος γήθω. Περὶ τῶν ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ φερομένων τύπων οὐδένα λόγον νῦν ποιούμεθα.

Σοφ. Οἰδ. Τ. 1391 «τί μ' οὐ λαβὼν ἔκτεινας εὐθύς, ὡς ἔδειξα μήποτε ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦ γεγώς;».

Εὐριπ. Ἱππολ. 925 «χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν, ὅστις τ' ἀληθής ἐστιν ὅς τε μὴ φίλος· δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν, τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν, ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα» καὶ 1078 «εἴθ' ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον στάνθ', ὡς ἐδάκρυσ' οἷα πάσχομεν κακά» καὶ Ἀποσπ. 402 Ναυκ. «νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι· χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν — ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων, τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο». Ἴδε Βαλκενάριον ἐν τῇ ἐκδόσει τοῦ Εὐριπίδου Ἱππολύτου σελ. 282 Λιψ.

Ἀστυδ. Ποιητ. Λυρ Ἑλλ. Τόμ. Β', σελ. 326 Βεργκ. «εἴθ' ἐγὼ ἐν κείνοις γενομην ἢ κεῖνοι ἅμ' ἡμῖν, οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν, ὡς ἐπ' ἀληθείας ἐκρίθην ἀφεθεὶς παράμιλλος».

Θεόκρ. Εἰδ. Ζ', 86 «αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες εἶμεν, ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας φωνᾶς ἐσαΐων» καὶ

ΙΑ', 55 «ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα, ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τευς ἐφίλησα (ἐφίλασα)».

Ξενοφ. Ἀναβ. Ζ', ϛ', 23 «ἔδει τὰ ἐνέχυρα (Κοβ. τἀνέχυρα) τότε λαβεῖν, ὡς, μηδ' εἰ ἐβούλετο, ἐδύνατο ἐξαπατᾶν» (Ἴδε Ῥεδάντζιον ἐν τῇ Δ' ἐκδόσει τῆς Ἀναβάσεως Τόμ. Β', σελ. 220).

Νικόλ Προγυμν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 327, 14 «ἅπαντας μὲν οὖν ἔδει πολίτας μιμητὰς τὴν ἐμῆς καταστῆναι φωνῆς καὶ δημηγορεῖν ἅπαντας, ὡς ἅπαντες κινδύνων ὑπεξηρέθησαν».

Περὶ τῆς προκειμένης τῶν τελικῶν μορίων συντάξεως ἐποιήσατο λόγον ὁ Γ. Ἑρμαννὸς ἐν ταῖς εἰς τὸν Βιγῆρον Σημειώσεσι σελ. 847 ἐκδ. δ' καὶ ἐν τοῖς Μικροῖς Συγγράμμασι Τόμ. Δ', σελ. 54 καὶ ὁ Κλότζιος ἐν ταῖς εἰς τὸν Δεβάριον Σημειώσεσι σελ. 631 καὶ ὁ Γέρθιος ἐν τῇ ἐκδόσει τῆς τοῦ Κυνήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Τόμ. Β', β', σελ. 389-390. Πρβ. καὶ Ἀσώπιον ἐν Εἰσαγ. εἰς τὴν Ἑλλην. Σύνταξιν σελ. 372-373 καὶ ἐν Συντακτ. Περ Β', σελ. 409 ἐκδ. β'.

Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Κοβήτου παρατετηρημένα ἐν *Var. Lect.* σελ. 102 «Habet ἵνα indicativum qunm pendet ab ea re, quam quis factam oportuisse dicit quamve vellet factam, aut quam dicit facturum fuisse aliquem at non fecisse, omnino ab ea re, quae facta non esse dicatur, at si facta fuisset id fuisse eventurum quod in ἵνα cum indicativo significatur. Perpetuum hoc est in ἵνα (rarius in ὅπως et ὡς et fere apud poëtas) ubi pendet coniunctio ab ἐχρῆν, ἔδει. ὤφελον, εἴθε, εἰ γάρ, ἐβουλόμην ἂν et si quid est ex genere eodem, in quibus omnibus indicativus necessarius est, optativus aut ἂν additum orationem et soloecam facit et sensu vacuam. Exempla ubique satis magno numero obvia sunt apud Tragicos et Comicos, apud Platonem Demosthenem et Oratores omnes — multa, quae multi collegerunt: satis erit Valckenaerium inspexisse in *Diatr.* p 149. et Elmsl. ad *Oed T* 1389. Plato in *Prot.* scribit p. 335 c. σὲ ἐχρῆν συγχωρεῖν, ἵνα συνουσία ἐγίγνετο, in *Symp.* p. 181. e. χρῆν δὲ καὶ νόμον εἶναι, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο, in quibus haec fere inest sententia: εἰ σὺ συνεχώρεις συνουσία ἂν ἐγίγνετο, et εἰ νόμος ἦν οὐκ

ἂν εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο, et quod tempus in hac forma requiritur, imperfectum, aoristus aut plusquamperfectum, idem in illa forma cum ἵνα (ὡς, ὅπως) coniungitur. Ubi dici poterat: εἰ ἡ βουλὴ ἐζήτησεν, ἀπηλλάγμεθ' ἂν τοῦ δημαγωγοῦ τούτου, Dinarchus *contra Demosth.* § 20 maluit dicere ἐχρῆν ζητεῖν, ἵν' ἀπηλλάγμεθα».

Ὑπὸ τοῦ Ναβήρου ἐγράφη ἐν τῇ Μνημοσύνῃ 1903, σελ. 12 «Illud quoqve Cobeti copiis addi poterit similiter ὄφρα usurpatum esse ab Apollonio Rhodio Α 281:

αἴθ' ὄφελον κεῖν' ἦμαρ, ὅτ' ἐξειπόντος ἤκουσα
δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμήν,
αὐτίκ' ἀπὸ ψυχὴν μεθέμεν κηδέων τε λαθέσθαι
ὄφρ' αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσίν».

Ἐλέχθη δὲ καὶ ὑπὸ Κοίντου τοῦ Σμυρναίου Δ', 30 «ὡς ὄφελον μένος ἦεν ἔθ' Ἕκτορος, ὄφρ' ἅμα πάντας Ἀργείους σφετέρῃσιν ἐνὶ κλισίῃσιν ὄλεσσεν» καὶ Ε', 206 «ὡς ὤφελον καὶ ἐμεῖο θρασὺ σθένος ἐν δαῒ κείνῃ αὐτὸς Ζεὺς ἐφόβησεν ἀπ' αἰθέρος, ὄφρα σε Τρῶες ἀμφιτόμοις ξιφέεσσι διὰ μελεϊστὶ κέδασσαν» καὶ 219 «ὡς ὄφελον τόδε νῶιν ἐνὶ πτολέμῳ τις ἄεθλον θῆκεν — ὄφρ' ἐκ δυσμενέων με καὶ ἀργαλέοιο κυδοιμοῦ ἔδρακεν ἔντεα καλὰ ποτὶ κλισίας φορέοντα αὐτῷ ὁμῶς Ἀχιλῆι δαΐφρονι» καὶ Ζ', 700 «εἴθέ μιν, ὦ Ἀγάμεμνον, ἔτι ζώοντα κίχανον, ὄφρα καὶ αὐτὸς ἄθρησεν ἑὸν θυμήρεα παῖδα». Ἴδε Κοιχλῦν ἐν τῇ ἐκδόσει Κοίντου τοῦ Σμυρναίου σελ. πη'.

Πᾶς τις ἐκ τῶν διειλημμένων πείθεται ὅτι εὐλογώτατα ἡμεῖς ἐν ἀρχῇ τοῦ κεφαλαίου τοῦδε ἐγράψαμεν «Ἀποροῦμεν τί νὰ εἴπωμεν περὶ τοῦ θαυμασίου τούτου ἀνθρώπου, ὅστις περὶ ὁμαλωτάτης καὶ κανονικωτάτης συντάξεως λόγον ποιούμενος ἀποφαίνεται ὅτι ἀνωμάλως αὕτη καὶ κατ' ἐξαίρεσιν γίνεται».

Προσφυέστατα δέ, νομίζομεν, δύναται νὰ ῥηθῇ ὑπό τινος «εἰ γράμματα Βερναρδάκης ἠπίστατο, οὐκ ἂν τηλικοῦτον ἡμάρτανεν ἁμάρτημα» ἢ «εἴθε γράμματα Βερναρδάκης ἠπίστατο, ἵνα μὴ τηλικοῦτον ἡμάρτανεν ἁμάρτημα».

## ΚΕΦ. ΟΗ'.

### § 1. Ἶν' ἦσαν: ἵν' ὦσι.

Χωρίον τοῦ Εὐριπίδου εἶνε καὶ ὀρθῶς γεγραμμένον «φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν» καὶ πλημμελῶς «φεῦ φεῦ τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ὦσι μηδὲν οἱ δεινοὶ λόγοι» (Ἴδε τὴν ὑπὸ τοῦ Ναυκίου φιλοπονηθεῖσαν συναγωγὴν τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Τραγικῶν σελ. 494, 439 ἐκδ. β'). Γελοιοτάτη περὶ τοῦ χωρίου τούτου παρατήρησις ἐγένετο ὑπὸ τοῦ Δημ. Βερναρδάκη ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Β', σελ. 132 «Τὸ ἐν Εὐριπ. ἀποσπ. 442 φεῦ φεῦ τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν' τελικὸν ἵν' ἦσαν' εἶνε ἀπόδοσις ὄχι τοῦ 'φεῦ τὸ μὴ ἔχειν', ἀλλ' ὅρου ὑποθετικοῦ ὑπακουστέου ἐκ τῆς συνεπείας, ἤτοι: ἵνα τῶν πραγμάτων φωνὴν ἐχόντων [=εἰ φωνὴν εἶχΟΝ τὰ πράγματα], ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν». Φανερώτατον μὲν ὑπάρχει ὅτι διὰ τῆς ῥήσεως «φεῦ φεῦ τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνὴν» ὑποδηλοῦται τὸ «ἐχρῆν τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνὴν» ἢ τὸ «εἴθε τὰ πράγματ' ἀνθρώποις εἶχε φωνήν», φανερώτατον δ' ὅτι, τούτου οὕτως ἔχοντος, εὐλογώτατα ἐπηνέχθη ἡ φράσις «ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν».

### § 2. Ἵνα ἠπίστασθε: ἵνα ἐπίστησθε.

Παρὰ τῷ Λυσίᾳ πρὸς Σίμ. § 44 ἡ παραδεδομένη γραφὴ εἶνε «ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε ὅτι πολὺ ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο ἢ ἑτέρους ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη». Ἀλλ' ἡ ὑποτακτικὴ ἐπίστησθε κεῖται πάντως καθ' ἡμαρτημένην ἀνάγνωσιν. Ὁ Σχείβιος ἀποκαταστήσας ἐν τῇ ἐκδόσει τοῦ Λυσίου σελ. 35 τὸ ὑγιῶς ἔχον «ἵνα ἠπίστασθε» ἔγραψε σελ. ιβ' «ἠπίστασθε Bernhardy synt. Cr. p. 375: ἐπίστησθε libri (Bk. Turr.)». Ἱκανὸν λόγον ὁ Κόβητος ποιεῖται ἐν *Orat. de Art. In-*

*terpret.* etc. σελ. 100 κέ., ἵν ἀποδείξῃ ὅτι ἐρρήθη ὑπὸ τοῦ Λυσίου «ἵν' ἠπίστασθε», οὐχὶ «ἵνα ἐπίστησθε».

## § 3. Ὅπως-προῄδειτε-ὅπως-προειδῆτε.

Παρὰ τῷ Ἀνδοκίδῃ περὶ τῆς ἑαυτ. καθ. 21 φέρεται κατὰ τἀντίγραφα «ἐδεξάμην δ' (ἂν) ἀντὶ πάντων χρημάτων εἶναι ἐν ἀσφαλεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ εἰσήγγειλα, ὅπως αὐτόθεν προειδῆτε». Εὖ ποιῶν ὁ Βεκκῆρος μετέβαλε τὴν ὑποτακτικὴν προειδῆτε εἰς τὴν ὁριστικὴν προῄδειτε. Εὐλόγως δ' ἡ μεταβολὴ αὕτη ἐγένετο ἀποδεκτὴ ὑπό τε τοῦ Λιψίου καὶ ὑπὸ τοῦ Βλασσίου.

Παρατηρητέον δ' ὅτι ἀπαντᾷ παρὰ τῷ Δημοσθένει σελ. 623. 7 «ταῦτ' ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρουν, ἵν' εἰδῆτε πολλοῦ δεῖν ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουί». Ἀποφαίνεται δ' ὁ Δοβραῖος ἐν *Advers.* Τόμ. Α', σελ. 470 «Syntaxis, ni fallor, postulat ἵν' ᾔδειτε». Τῷ Δοβραίῳ δ' ἀκολουθήσας ὁ Βλάσσιος ἀποκατέστησεν ἐν τῇ ἐκδόσει τοῦ Δημοσθένους τὴν ὁριστικὴν ἔγκλισιν ᾔδειτε.

## § 4. Ἵνα ἦν: ἵνα ᾖ.

Ἐν τοῖς ἐκ τῶν τοῦ Οἰνομάου παρατεθειμένοις ὑπὸ τοῦ Εὐσεβίου ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ ὀρθῶς μὲν εἶνε εἰρημένον Τόμ. Α', σελ. 264, 11 Δινδ. «εἴθε ὤφελες τὰ μὲν τοιαῦτα ἀγνοεῖν, ἐκεῖνο δὲ εἰδέναι ὅτι ἡ πυκτικὴ τῆς λακτιστικῆς οὐδὲν διαφέρει, ἵν' ᾖ καὶ τοὺς ὄνους ἀπηθανάτους ᾖ κτέ.» καὶ σελ. 265, 6 «εἴθε οὖν, ὦ μάντι, ὡς ἔφην, ἐάσας τὴν ψάμμον καὶ τὴν ἅλμην ἀντ' αὐτῶν ἐξέμαθες ὁπόσου ἄξιόν ἐστιν ἡ πυκτική, ἵνα καὶ τοὺς πύκτας ὄνους θεοὺς ἐνόμιζες καὶ τοὺς ὀνάγρους τῶν θεῶν τοὺς ἀρίστους», πλημμελῶς δὲ σελ. 267, 14 «ὡς δὲ ὤφελες, ὦ μάντι, ἀλείπτης ἡμῖν ἀντὶ μάντεως γενέσθαι ἢ καὶ μάντις ἅμα καὶ ἀλείπτης ἵν' ᾖ ὥσπερ χρηστήριον Δελφικόν, οὕτω καὶ γυμναστήριον». Ἐπηνωρθώθη δὲ τὸ ᾖ μετατυπωθὲν εἰς τὸ ἦν ὑπὸ τοῦ Μουλλαχίου ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Φιλοσόφων Τόμ. Β', σελ. 378.

Σημειωτέον δ' ὅτι ἀναγνοὺς ὁ Φραγκένιος ἐν τῇ ἐκδόσει τοῦ Αἰ-

σχίνου σελ. 119 «ἐβουλόμην μὲν οὖν, ὦ Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας, ἰσχύειν, ἵνα ἐξῇ πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι — τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν» ἔγραψε σελ. ιζ' «ἔξει α, ἐξὸν ἢ θ, ἐξῆν z idque *Bekkerus* coniecerat, ἐξείη coni. edd. Turicc». Οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι ἡ γνησία γραφὴ εἶνε «ἵνα ἐξῆν».

Ἄξιον σημειώσεως προσέτι εἶνε ὅτι καὶ τοῦ «ἵνα μὲν ἐξῆν» (=«ὅπου μὲν ἐξῆν») ἐγένετο ἐσφαλμένη ἀνάγνωσις «ἵνα μὲν ἐξῇ» παρὰ τῷ Ἀντιφῶντι περὶ τοῦ Χορ. 9 «ἵνα μὲν ἐξῇ αὐτοῖς, εἴ τι ἠδίκουν ἐγὼ τὴν πόλιν ἢ ἐν χορηγίᾳ ἢ ἐν ἄλλοις τισίν, ἀποφήνασι καὶ ἐξελέγξασιν ἄνδρα τε ἐχθρὸν τιμωρήσασθαι καὶ τὴν πόλιν ὠφελῆσαι, ἐνταῦθα μὲν οὐδεὶς πώποτε οἷός τε ἐγένετο αὐτῶν οὔτε μικρὸν οὔτε μέγα ἐξελέγξαι ἀδικοῦντα τόνδε τὸν ἄνδρα τὸ πλῆθος τὸ ὑμέτερον». Τρανότατα δ' ἐκ τῆς κακῆς ταύτης ἀναγνώσεως δηλοῦται ἡ ἐσχάτη τῶν βιβλιογράφων ἠλιθιότης.

## § 5. **ὥς τυ πάταξα - ὥς τυ πατάξω.**

Παρὰ τῷ Θεοκρίτῳ Εἰδυλλ. Δ', 49 ἀναγινώσκεται «αἴθ' ἦν (Μειν. ἧς) μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω». Φέρεται δὲ καὶ γραφὴ ὥς τυ πάταξα, ἥτις πάντως εἶνε ἡ γνησία. Ὁ Μεινέκιος σημειοῦται ἐν τῇ τρίτῃ ἐκδόσει τῶν Βουκολικῶν ποιητῶν σελ. 227 «Augmentum si omitti potest de quo iustam dubitandi causam non video, coniecerim ὥς τυ πάταξα, ut haec iam rediens ad Corydonem dicat: *si pedum mihi praesto esset, quam te feriissem*!». Ἥκιστ' ἀποδεκτὴ ἡμῖν φαίνεται ἡ ἀνάγνωσις τοῦ Ἀρνησίου «πεῖ θήν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω» (Πρβ. καὶ Morsbach ἐν *Stud. Curt.* Τόμ. Ι', σελ. 28-29.

Ἐν τῷ λόγῳ τοῦ Λυκούργου κατὰ Λεωκράτους § 141 κεῖται «ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὖν γε περὶ προδοσίας κρίνοντας οὕτως ὅσιον εἶναι τοῦτο πράττειν, ὅπως ὁπόσοι τοῦ κινδύνου μετεῖχον, ἐν ὀφθαλμοῖς

ὄντες καὶ ὁρώμενοι (Ναβ. θεώμενοι) καὶ ἀναμιμνήσκοντες ὅτι τοῦ κοινοῦ παρὰ πᾶσιν ἐλέου οὐκ ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις κατὰ τοῦ ἀδικοῦντος παρασκευάζωσιν». Ἰσχυρίζεται δ' ὁ Ἕσιος ἐν *Adnot. ad Lycurg. Orat. in Leocr.* σελ. 67 ὅτι ἐγένετο ὑπὸ τοῦ Λυκούργου χρῆσις οὐχὶ τῆς ὑποτακτικῆς παρασκευάζωσιν ἀλλὰ τῆς ὁριστικῆς παρεσκεύαζον. Ὁ Ῥεδάντζιος τηρεῖ τὴν παραδεδομένην γραφὴν ἐν τῇ ἐκδόσει τοῦ κατὰ Λεωκράτους λόγου τοῦ Λυκούργου σελ. 95 (Ἴδε καὶ Γέρθιον ἐν τῇ ἐκδόσει τῆς τοῦ Κυνήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Τόμ. Β', β', σελ. 390). Πρβ. Εὐριπ. Ἀνδρομ. 423 «εἰς ξύμβασιν δὲ χρῆν σε παῖδα σὴν ἄγειν, Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων».

Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 602, Α' φέρεται «Στρατόνικος δὲ τὸν ἐν Σερίφῳ ξένον ἠρώτησεν ἐφ' ὅτῳ τῶν ἀδικημάτων φυγὴ τέτακται παρ' αὐτοῖς ἐπιτίμιον· ἀκούσας δ' ὅτι τοὺς ῥᾳδιουργοὺς φυγαδεύουσιν· τί οὖν, ἔφη, οὐκ ἐρρᾳδιούργησας, ὅπως ἐκ τῆς στενοχωρίας ταύτης μεταστῇς;». Γράφει δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 384 «Non est Graeca oratio ὅπως μεταστῇς sed μετΕστης, quia ὅπως pendet ab ea re, quae facta *non* est, notissimo et frequentissimo usu, ut apud Aristophanem in Pace vs. 135. οὔκουν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν, ὅπως ἘΦΑΙΝΟΥ τοῖς θεοῖς τραγικώτερος; et sic sexcenties apud omnes ἵνα et ὅπως cum *indicativi* imperfecto et aoristo componuntur» (Πρβ. καὶ *Var. Lect.* σελ. 359). Εὐοδοῦται ἴσως ἡ ὑποτακτικὴ μεταστῇς, ἂν ἡ προκειμένη ῥῆσις «τί οὖν, ἔφη, οὐκ ἐρρᾳδιούργησας ὅπως ἐκ τῆς στενοχωρίας ταύτης μεταστῇς» νοηθῇ ὧδέ πως «ῥᾳδιούργησον οὖν, ὅπως ἐκ τῆς στενοχωρίας μεταστῇς». Εἶνε δ' ὑπὸ τοῦ Πλουτάρχου καὶ ἐν ἑτέρῳ τόπῳ τῶν Ἠθικῶν σελ. 150, Β' εἰρημένον «καὶ ὁ Θαλῆς ἐμὲ προσαγορεύσας ἐπάνω τοῦ Βίαντος κατακείμενον τί οὐκ ἔφρασας, εἶπεν, ὦ Διόκλεις, Βίαντι τὸν Ναυκρατίτην ξένον ἥκοντα μετὰ προβλημάτων βασιλικῶν αὖθις ἐπ' αὐτόν, ὅπως νήφων καὶ προσέχων ἑαυτῷ τὸν λόγον δέχηται;». Πρβ. Ζηνόβ. Παροιμ. ϛ', 17 (Ἀποσπ. Ἀττικ. Κωμ. Τόμ. Α', σελ. 622 Κοκκ.) «τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ» ἤγουν ἄπαγξαι, ἵνα Θήβησιν ἥρως γένῃ». Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Πλάτωνος Πρωταγ. σελ. 317, Δ' «τί οὖν, ἔφην ἐγώ, οὐ καὶ Πρόδικον

καὶ Ἱππίαν ἐκαλέσαμεν καὶ τοὺς μετ' αὐτῶν, ἵνα ἐπακούσωσιν ἡμῶν;», τουτέστι «καλέσωμεν οὖν, ἔφην ἐγώ, καὶ Πρόδικον καὶ Ἱππίαν καὶ τοὺς μετ' αὐτῶν, ἵνα ἐπακούσωσιν ἡμῶν» (Ἴδε Ἄστιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Ι', σελ. 14 καὶ Τόμ. ΙΑ', σελ. 394. Πρβ. καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Σφηκῶν σελ. 219).

Ἄξια μνείας εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 159 «Offendo in limine. Prima orationis verba haec sunt pag. 63. Ἔδει μὲν ἑτέρους τῶν ἄρχειν ἤδη λαχόντων ὑπόθεσίν μου γενέσθαι τοῖς λόγοις ἵνα—ἐφάμιλλον οὕτως ὑμῖν ἀκονήσω τὴν γλῶτταν καὶ μή μοι συμβῇ παραπλήσιον κτέ. Aut Choricius Graecae compositionis prorsus ignarus fuit aut scripsit ἵνα—ἠκόνησα pro ἀκονήσω. Praecedente enim ἔδει, ἐχρῆν, ἐβουλόμην ἄν, εἴθε, εἴθ' ὤφελον et sim. ἵνα et ὅπως semper et ubique cum *indicativo* componuntur, ut ipsa cuiusque loci sententia requirit; namque manifesto hoc dicit Choricius: εἰ μὲν ἑτέρους τῶν ἀρχόντων πρότερον ἐπῄνεσα, ἠκόνησα ἂν οὕτω τὴν γλῶτταν et ἵνα μή μοι συμβῇ, ut illud ad tempus *praeteritum* referatur, hoc ad futurum. Euripides in Phoenissis 92:

προὐξερευνήσω στίβον
μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
κἀμοὶ μὲν ἔλθῃ φαῦλος ὡς δούλῳ ψόγος
σοὶ δ' ὡς ἀνάσσῃ.

et Choricius ipse pag. 74· μή τις ἐξάπτῃ τὸν δῆμον εἰς ταραχήν, μή που λανθάνουσι κεκρυμμένοι σπινθῆρες».

Ἐν τῇ τοῦ Παύλου πρὸς Κορινθίους Ἐπιστολῇ Α', δ', 8 ἀπαντᾷ «καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν». Ποιεῖται δὲ περὶ αὐτοῦ ὁ Ναβῆρος ἐν τῇ Μνημοσύν 1878, σελ. 98 τὴν παρατήρησιν τήνδε «Paulus aut scripsit aut scribere debuit συνεβασιλεύσαμεν». Δηλοῦμεν δ' ὅτι ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις σελ. 462, 33 Βεκκ. φέρεται «ἄμεινον εἶχεν φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο βοῶν εὐποιητάων, ἔξω τοῦ ΤΕ συνδέσμου, ἵν' ᾖ ῥινὸς βοῶν», μνημονεύων δὲ τὴν ῥῆσιν ταύτην ὁ Ναβῆρος ἐν *Quaest Homer*. σελ. 116 γράφει «ἵν' ἦν ῥινὸς βοῶν». Σημειωτέον δ' ὅτι κεῖται ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις καὶ «εἰ δὲ τὸ πρᾶγμα ἠβουλό-

μεθα παραλαβεῖν, ψεύδεσιν ἀνέγνωμεν (γρ. ἂν ἀνέγνωμεν) ὡς βέλεσιν, ἵνα ἀπ' εὐθείας ᾖ ἡ κλίσις» (Τόμ. Α', σελ. 181, 29 Δινδ.) καὶ «καίτοι μᾶλλον ἐχρῆν καὶ βοηθόν τινα ἐκ θεῶν τούτῳ ἀναπλάσαι, ἵν' ἡμεῖς προτρεπώμεθα ἐπὶ τὸ φιλόξενον» (Τόμ. Γ'. σελ 276,21). Πρβ. καὶ Ἀπολλών. Ἀλεξανδρ. περὶ Ἀντων. σελ. 19, Γ' Βεκκ. «ἐκ γὰρ τοῦ ἐναντίου ἐχρῆν, ἵνα διασταλῇ τὸ γένος». Λέγει δ' ὁ ἐκδότης σελ. 158 «ἵνα διασταλῇ τὸ γένος: Oportebat ἵνα διεστάλη, quo tamen modo certum est non scripsisse Auctorem, quippe cui ἀσύστατον τὸ ἵνα ἀνέγνων de Syntaxi p. 269. 29»

Τῆς τοιαύτης συντάξεως οὐκ ὀλίγα παραδείγματα ἔχομεν συνηγμένα ἐκ μεταγενεστέρων, μνημονεύομεν δὲ νῦν ἓν μόνον τὸ ἀπαντῶν ἐν τοῖς Ποιμενικοῖς τοῦ Λόγγου Α', ιδ', 3. «Εἴθε αὐτοῦ σῦριγξ ἐγενόμην, ἵν' ἐμπνέῃ μοι· εἴθε αἴξ, ἵν' ὑπ' ἐκείνου νέμωμαι». Περὶ τοῦ χωρίου τούτου ἐποιήσατο λόγον ὁ Ναβῆρος ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 202.

---

## ΚΕΦ. ΟΘ'.

### § 1. **Ἵνα-ἀπηλλάττετο: ἵνα-ἀπαλλάττοιτο.**

Παρὰ τῷ Λουκιανῷ Ἀλ. 2 ἐφέρετο ἄλλοτε «καὶ μὴν ἄριστον ἦν καθάπερ τινὰ Πενθέα ἢ Ὀρφέα λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον, ἵν' ἂν καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπαλλάττοιτο». Ὁ Φρίσχιος ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', α', σελ. 75 ἀναγνοὺς «ἵνα καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπηλλάττετο» ἐσημειώσατο «ἵνα καὶ Α (ita A) Ψ. ἵναν καὶ Β. ἵν' ἂν καὶ Φ. ἵνα ἂν καὶ v. ἂν h. l delendum esse Cobetus V. L. p 103 intellexit. ἀπηλλάττετο Ψ diserte· ἀπηλλάττετο καὶ (puncta pr m) A. ἀπηλλάττετο καὶ (?). ἀπαλλάττετο Φ. ἀπαλλάττοιτο v.»

Οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι τῆς ὁριστικῆς χρῆσις ὑπὸ τοῦ Λουκιανοῦ ἐγένετο, ἵνα-ἀπηλλάττετο οὐχὶ τῆς εὐκτικῆς, ἵν' ἌΝ-ἀπαλλάττοιτο.

## § 2. Ἵνα-ἰασάμην: ἵνα-ἰασαίμην.

Παρὰ τῷ Λουκιανῷ Ἀποκηρυττ. 1 ἐξέδωκεν ὁ Ἰακωβίτζιος Τόμ. Β', σελ. 129 «ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν καὶ τοιοῦτόν τι ἔχειν φάρμακον—ἵνα καὶ τοῦτο τοῦ πατρὸς τὸ νόσημα ἰασαίμην» καὶ ἔγραψε τὴν σημείωσιν τήνδε «ἰασαίμην: ἰασάμην a».

Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 104 «Aliis locis necessarium indicativum, quoniam quid sibi vellet non capiebant, in optativum mutarunt. Fecere hoc 29.1 ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν καὶ τοιοῦτόν τι ἔχειν φάρμακον, ἵνα καὶ τοῦτο τοῦ πατρὸς τὸ νόσημα ἰασαίμην, sensu vacuum est ἰασαίμην, necessarium est ἰασάμην, ut initio loci ἐβουλόμην μὲν ἄν, *vellem*, quod dicunt in ea re, quam fieri non posse sentiant, ut apud Lysiam iv. § 3. ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος: est autem ἰασαίμην perinde absurdum atque in Lysia foret γένοιτο pro ἐγένετο».

Πρὸ τοῦ Κοβήτου ἀνέγνω ἰασάμην ἀντὶ τοῦ ἰασαίμην ὁ Φρίσχιος. Παρατιθέμεθα τὰ ὑπ' αὐτοῦ γεγραμμένα ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', β', σελ. 78 «Quum igitur structuram ne Hemsterhusio quidem intellectam explicarem, correxi in Hermot. 60 σπάσαις pro σπάσαιο, in Piscat. 2 ἀπηλλάττετο pro ἀπαλλάττοιτο, in Abdicat 1 ἰασάμην pro ἰασαίμην, quae praeter extremum omnia Jacobitius tacitus fecit lucri: mallem etiam extremum in Abdicat. 1, ubi ἰασάμην nunc post me emendat Cobetus V. L. p. 104».

## § 3 ὡς-ἦμεν: ὡς-εἴημεν.

Παρὰ τῷ Λουκιανῷ Συμποσ. ἢ Λαπ. ἡ παραδεδομένη γραφὴ εἶνε «εἰ δὲ δεῖ καὶ γυναικείου γάμου, κατὰ τὰ Πλάτωνι δοκοῦντα κοινὰς εἶναι ἐκείνων τὰς γυναῖκας, ὡς ἔξω ζήλου εἴημεν».

Ἀνεγνώσθη δ' ἀντὶ τοῦ ἐκείνων ὑπ' ἄλλων μὲν ἐχρῆν, ὑπ' ἄλλων δὲ ἔδει, ὡς καὶ ὑπὸ τοῦ Κοβήτου, ὅστις καὶ τὴν εὐκτικὴν εἴη-

μεν μετετύπωσεν εἰς τὸν παρατατικὸν ἦμεν. Μνημονεύομεν ἃ ἔγραψεν ὁ μέγας κριτικὸς ἐν *Var. Lect.* σελ. 104 «Iterum librarii in Luciano sic peccarunt 71,39. εἰ δ' ἔδει (lege εἰ δὲ δεῖ) καὶ γυναικείου γάμου κοινὰς εἶναι ἔδει τὰς γυναῖκας, ὡς ἔξω ζήλου εἴημεν, compone cum his verba DEMOSTHENIS p. 1273: ἐπιδεῖξαί σε ἔδει — ἵνα μὴ λόγῳ τὸν πατέρ' ἀδικοῦντ' ἀπέφαινες et videbis quam necessarium sit ὡς ἔξω ζήλου ἦμεν».

Τῷ Κοβήτῳ συμφωνήσας ὁ Φρίσχιος ἀποκατέστησεν ἐν τῷ χωρίῳ τοῦ Λουκιανοῦ τὸν παρατατικὸν ἦμεν. Ὑπὸ τοῦ Ἑρουερδῆνος ἐγράφη ἐν τῇ Μνημοσύνῃ 1879, σελ. 395 «C. 39 extr. syntaxis requirit: ὡς — ἦμεν pro εἴημεν post ἔδει ἡμῶν, ut pro ἐκείνων recte correxit Fritzschius». Ὁ Φρίσχιος ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', β', σελ. 120 μεταδοξάσας ἀνέγνω «κοινὰς εἶναι ἔδει ἡμῖν τὰς γυναῖκας»· καὶ πάλιν δὲ μεταγνοὺς ἐνέκρινε τὸ «κοινὰς εἶναι ἐχρῆν τὰς γυναῖκας». Παρατιθέμεθα καὶ ἃ ἐγράφησαν ὑπὸ τοῦ Ἑρουερδῆνος ἐν τῇ Μνημοσύνῃ 1879, σελ. 358 «P. 453 extr. ὥστ' ἔγωγε ἂν εὐξαίμην, εἴπερ ἦν ἐν δυνατῷ, γενέσθαι Θηραμένης — ἵνα — βαδίζοιτε. Syntaxis postulat εὐξάμην — ἐβαδίζετε». Πρβ. καὶ 1874, σελ. 309 «Epigr. 174.

Εὕδεις, Ζηνοφίλα, τρυφερὸν θάλος. Εἴθ' ἐπὶ σοὶ νῦν
ἄπτερος εἰσῄειν Ὕπνος ἐπὶ βλεφάροις.
ὡς ἐπὶ σοὶ μηδ' οὗτος ὁ καὶ Διὸς ὄμματα θέλγων
φοιτήσαι, κάτεχον δ' αὐτὸς ἐγώ σε μόνος.

Vs. quarto soloecus est optativus, neque ipsius poetae errorem esse apparet e sequenti Indicativo, qui certa lege sequitur post votum non expletum. Quantocius reponendum:

φοίτησεν, κάτεχον δ' αὐτὸς ἐγώ σε μονος.

Similiter supra ep. 84,2 sermonis ratio postulat: εἴθε-γενόμην-ὄφρα-χαρίσω pro χαρίσῃ». Παρατηρητέον δ' ὅτι φοίτησεν ἀντὶ τοῦ φοιτήσαι ἀνέγνω καὶ ὁ Ἐμπέριος. Ἴδε Stadtmueller ἐν τῇ ἐκδόσει τῆς Ἑλληνικῆς Ἀνθολογίας Τόμ. Α', σελ. 151.

Ἰσχυρίζεται δ' ὁ Κόβητος ὅτι καὶ ἐν τῇ Ἀναβάσει τοῦ Ξενοφῶντος Ζ', ζ', 10 ἡ γνησία γραφὴ εἶνε ἐχαρισάμην, οὐχὶ χαρισαίμην, ὡς φέρεται ἐν τοῖς ἀντιγράφοις. Μνημονεύομεν ἃ ἔγραψεν ὁ ἀνὴρ ἐν *Nov. Lect.* σελ. 508 «In eadem § 10 aliud mendum

inveteravit in verbis οὐδὲν ἐμὲ παρακαλέσαντες — ὅπως ὥσπερ ἀπηχθανόμην αὐτοῖς ὅτε πρὸς ὑμᾶς ἦγον οὕτω καὶ χαρισαίμην νῦν ἀποδιδούς. nempe requiritur indicativus οὕτω καὶ ἐχαρισάμην. Loquitur enim Xenophon de ea re quae *facta fuisset*, si Thraces erga se servassent fidem: ἔδει γὰρ ὑμᾶς δι' ἐμοῦ παραδοῦναι τὸ στράτευμα τοῖς Λακεδαιμονίοις, ὅπως ἐχαρισάμην ἀποδιδοὺς ὥσπερ τότε ἀπηχθανόμην πρὸς ὑμᾶς ἄγων τοὺς ἄνδρας. Nemo dubitabit quin in hac forma orationis ὅπως ἐχαρισάμην legitima et necessaria constructio sit, et ὅπως χαρισαίμην vitiosa et soloeca. Sed prorsus idem alia loquendi forma dicere Xenophontem manifestum est. Continent enim verba οὐδὲν ἐμὲ παρακαλέσαντες hanc ipsam exprobrationem neglecti erga se officii fideique violatae, et significationem illius rei quam fieri debuisse ait ὅπως ἐχαρίσατο τοῖς Λακεδαιμονίοις, ut gratificari Lacedaemoniis potuisset. Quam saepe ὅπως, ἵνα, et ὡς cum indicativis coniuncta ab indoctis Graeculis corrupta aut interpolata fuerint exemplis alibi demonstravimus».

Παρατηρητέον δ' ὅτι φέρεται παρὰ τῷ Γαληνῷ Τόμ. Η', σελ. 941 «ἐβουλόμην ἄν μοι τοῦτο παντὸς μᾶλλον ὑπάρχειν, ἵνα μὴ πράγματα ἔχοιμι» καὶ παρὰ Μιχαὴλ τῷ Ψελλῷ Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Ε', σ. 103 «ἔδει μὲν οὖν, ὦ φιλότης — ἴχνη τινὰ ἡμῖν καταλελοιπέναι καὶ σπέρματα ἐν ταῖς σαῖς τῶν λόγων πραγματείαις τῆς σῆς ἀρετῆς, ἵν' ἔχοιμεν ἐκεῖθεν πρὸς τὰς τελεωτέρας ἐργασίας δύναμίν τινα ἐρανίζεσθαι». Καὶ ἄλλα δὲ τοιαῦτα παραδείγματα ἔχομεν συνειλεγμένα, ἃ δὲν θέλομεν νῦν νὰ μνημονεύσωμεν.

Καὶ τοῦτο δ' ἄξιον παρατηρήσεως ὑπάρχει, ὅτι παρὰ τῷ Προκοπίῳ Τόμ. Γ', σελ. 96,18 εἶνε γεγραμμένον «ᾧ δὴ στελλομένῳ βασιλεὺς μὲν ἐπέστελλεν ἅπερ μοι ἐν τοῖς ἐγκαίροις δεδιήγηται λόγοις, ἵνα δή μοι τῶν πεπραγμένων ἐκπύστους ποιεῖσθαι τὰς ἀληθείας δέει τῆς βασιλίδος ἀδύνατα ἦν» ἀντὶ τοῦ εἴη. Καὶ ἐν τοῖς τοῦ Τέλητος παρὰ Στοβ. 'Ανθολ. Τόμ. Δ', σελ. 51,23 φέρεται «τούτου γὰρ ἕνεκά σε, φησίν, ἐγέννησα, ἵνα χρήσιμος καὶ βοηθὸς ἦσθα τᾷ Σπάρτᾳ». Ποιεῖται δ' ὁ Μεινέκιος σελ. ιβ' τὴν παρατήρησιν τήνδε «μῆτερ-τούτου-ἐγέννησα-βοηθός: restituendae videntur formae doricae-**ἦσθα: εἴησθα?**».

## ΚΕΦ. Π′.

### «Ὅπως — ἀτιμώρητος ἊΝ κακῶν ἁμαρτημάτων ἐγίγνετο» καὶ «ἵνα μᾶλλον ἊΝ ἐπιστεύετο ὑφ' ὑμῶν»

Ἐν τοῖς Νόμοις τοῦ Πλάτωνος φέρεται σελ. 959, Β′ «ζῶντι γὰρ ἔδει βοηθεῖν πάντας τοὺς προσήκοντας, ὅπως ὅ τι δικαιότατος ὢν καὶ ὁσιώτατος ἔζη τε ζῶν καὶ τελευτήσας ἀτιμώρητος ἂν κακῶν ἁμαρτημάτων ἐγίγνετο μετὰ τὸν ἐνθάδε βίον».

Ποιεῖται δ' ὁ Σταλβαύμιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Ι′, γ′, σελ. 405 τὴν παρατήρησιν τήνδε· «Dein post ἀτιμώρητος importune ἂν infercitur, quod *Astius* delendum censet; sed melius de Baiteri sententia scripseris παγκάκων. Winckelmannus coniecit: ἀτιμώρητος ἀνιάτων».

Παρὰ τῷ Ἰσαίῳ περὶ τοῦ Ἁγν. κλήρ. 6 κεῖται «καίτοι τόν γε πράττοντά τι δίκαιον οὐ προσῆκεν ἀπορεῖν ἀλλ' εὐθὺς λέγειν, καὶ μὴ μόνον τοῦτο ποιεῖν ἀλλὰ καὶ διόμνυσθαι καὶ τοῦ γένους παρέχεσθαι μαρτυρίας (μάρτυρας), ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν».

Ὁ Δοβραῖος ἐν *Adversar.* Τόμ. Α′, σελ. 309 ἐξήλειψεν ἐκ τοῦ χωρίου τούτου τὸ δυνητικὸν μόριον ἌΝ. Ὁ Σχοιμαννὸς ἐν τῇ ἐκδόσει τοῦ Ἰσαίου σελ. 460 ὑπερμαχεῖ τῆς παραδεδομένης γραφῆς λέγων «Quod sequitur: ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν. non tam hoc significat: *quo magis ei fides a vobis haberetur*, quam: *quod si fecisset*, *magis ei fides haberetur*. Nam ἵνα cum indicativis praeteritorum, sed sine ἄν, construi, ubi res indicatur, quam quis voluit fieri, sed quae facta non est propter condicionem, unde suspensa erat, non impletam, notum est in vulgus et a multis incultatum. Vid. Herm. ad Viger. p. 850. Matth. gr. Gr. p. 997. Schaefer. App. crit. ad Demosth. I p. 351. Markland. ad Lys. p. 43. Additur autem ἂν ubi praevalet conditionis notio (*wo — in welchem Falle*), obscurata consilii ac voluntatis notione. Ita Lucian. Toxar. cap. 18 extr.: καὶ εἴθε γε, ὦ Μνησιππε, ἀνώμοτος ὢν ταῦτα ἔλεγες, ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην αὐτοῖς. Quamquam

rariora sunt huius generis exempla». Ἐπισυνάπτομεν τούτοις τὰ ὑπὸ τοῦ Κλοτζίου ἐν ταῖς εἰς τὸν Δεβάριον Σημειώσεσι σελ. 631 γεγραμμένα «Quorum explicationi hoc unum addi poterit, videri, quamvis raro admodum, interdum in eius modi locis post ἵνα particulam etiam additum esse ἄν, uti condicionis ratio non solum in primo membro ponatur, sed efferatur etiam in ipsa effectus, qui non evenit, quia prima caussa cessavit, significatione. Conferatur Luciani *Toxaris* § 18. Καὶ εἴθε γε ὦ Μνήσιππε ἀνώμοτος ὢν ταῦτα ἔλεγες, ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην αὐτοῖς κτέ., ad quem locum recte C. Jacobitzius assimulavit eiusdem Luciani *dialog. mortuorum* VI. § 3. Ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον». Πρβ. καὶ Φρίσχιον ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', β', σελ. 78 καὶ Γέρθιον ἐν τῇ ἐκδόσει τῆς τοῦ Κυνήρου Διεξοδ Γραμματικῆς τῆς Ἑλλ. Γλώσσης Τόμ. Β', β', σελ. 390.

Ἐδηλώθη ἐν τοῖς ἄνω ὅτι παρέγγραπτον ὑπελήφθη τὸ δυνητικὸν μόριον ΑΝ ὑπὸ τοῦ Ἀστίου ἐν τῷ χωρίῳ τοῦ Πλάτωνος «ὅπως — ἀτιμώρητος ἂν κακῶν ἁμαρτημάτων ἐγίγνετο» καὶ ὑπὸ τοῦ Δοβραίου ἐν τῷ τοῦ Ἰσαίου «ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν».

Γράφει δὲ καὶ ὁ Κοβητος ἐν *Var. Lect.* σελ. 103 «Ecquis est, qui putet in his ἐγίγνετο, ἀνηλίσκετο cet. salva sententia et *Graecitate* aut in γίγνοιτο et ἀναλίσκοιτο mutari posse, aut ἂν adiici? Nemo opinor. Cur igitur aequis animis ferre potuerunt vitia manifesta, quale legitur in Isaei oratione xi. 6. προσῆκε παρέχεσθαι μαρτυρίας (leg. μάρτυρας), ἵνα μᾶλλον ἂν ἐπιστεύετο, aut in *Sisypho*, incerti auctoris dialogo, qui in Platonicis circumfertur p. 387. χθὲς σε πολὺν χρόνον ἀνεμείναμεν ὅπως ἂν ξυνηκροῶ ἡμῖν ἀνδρὸς σοφοῦ, et sic saepe peccatur apud veteres et probatos *Graecitatis* auctores. Nempe ἂν addebant isti, qui quid sibi vellent ἐπιστεύετο, ξυνηκροῶ, similia, non satis assequebantur. Apud Lucianum, cuius causa haec praemisi, semel tantum *Graeca* et genuina forma evasit 3, 32. ὑπὸ τῇ ῥινὶ ἐχρῆν στέφεσθαι, ἵν' ὡς πλεῖστον ἀνέσπων τῆς ἡδονῆς. Quis nunc non videt manifestum mendum in his 10, 6, 2. εἰ-

δέναι ἐχρῆν πότε καὶ τεθνήζεται τῶν γερόντων ἕκαστος ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον? satin certum est ἂν delendum esse? Non magis eiden voculae parcendum 15, 2. ἄριστον ἦν — ἵν' ἂν καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπηλλάττετο et 41, 18. εἴθε γε ἀνώμοτος ὢν ταῦτ' ἔλεγες ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην. Non est ovum ovo similius, quam est horum locorum primus loco Platonis: ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο poteratque parasitus his ipsis verbis uti pro suis ἵνα μὴ μάτην ἐνίους ἐθεράπευον. Scioli quartum ἂν de suo inferserunt 46, 21. ἵν' αὐτῶν τὴν περίεργον ἂν γλῶτταν διέφυγον». καὶ σελ. 359 «Idem remedium Theophrasto adhibendum apud Porphyrium *de Abstin.* IV. 20. εἴθε τὴν μυθευομένην ἄλιμον καὶ ἄδιψον εὔπορον ἦν κεκτῆσθαι ἵν' ἄν τις τὸ διαρρέον τοῦ σώματος ἐπισχὼν δι' ὀλίγου πρὸς τοῖς ἀρίστοις ἦν, scripsit philosophus ἵνα τις. In Babrii fabula 58. corrigo vs. 10. ἵνα βλέπων ἔτυπτεν pro ὡς ἂν βλέπων et vs. 12. ἵν ἔβλεπέν τις τὸν πέλας, pro ὡς ἂν βλέποιτο τὸν πέλας» (Πρβ. καὶ *Mmemos.* 1883, σελ. 432).

Καὶ ὁ Γ. Δινδόρφιος ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ ἐξήλειψεν ἐκ τῶν ὑπὸ τοῦ Κοβήτου παρατεθεισῶν αὐτοῦ ῥήσεων τὸ δυνητικὸν μόριον ΆΝ (Πρβ. καὶ Ἑρουερδῆνα ἐν τῇ Μνημοσύνῃ 1879, σελ. 361 καὶ Ναβῆρον ἐν τῷ αὐτῷ συγγράμματι 1901, σελ. 252). Ἀλλ' ἄλλοι τοῦ Λουκιανοῦ ἐκδόται ἐτήρησαν αὐτό. Ὁ Φρίσχιος ἐν τῇ ἐκδόσει τοῦ συγγραφέως τούτου Τόμ. Γ', α', σελ 206 «ἐσημειώσατο «μάτην ἄν: ἂν delebat Cobetus Orat. p 101 et V. L. p. 103, frustra».

Ἄξια μνείας εἶνε τὰ ὑπὸ τοῦ Οὐαγνήρου γεγραμμένα ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἑλλην. Τραγικῶν Τόμ. Β', σελ. 214 «Heath *soloece* ἐξέβαλλ' ἂν δωμάτων. cf. Valck. ad Hippol. 928. et Diatr. p. 176. Matth. Cr. Cr. § 519». Οὐ μόνον δ' ἐν τῷ χωρίῳ τοῦ Εὐριπίδου ἀνέγνω ὁ Ἑάθιος «ὡς τὴν κακὴν μὲν ἐξέβαλλ' ἂν δωμάτων» ἀντὶ τοῦ ἐξέβαλλε ἀλλὰ καὶ ἐν τῷ τοῦ Σοφοκλέους Οἰδ. Τυρ. 1391 «ὡς ἔδειξ' ἂν μήποτε ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἠ γεγὼς» ἀντὶ τοῦ ἔδειξα. Καὶ ἐνέκρινε μὲν τὴν ἀνάγνωσιν τοῦ Ἑαθίου ὁ Μουσγράβιος, ἀλλ' ὀρθότατα ἀπεφήνατο ὁ Βρούγκιος «Imperite Heathius particulam ἂν inserit» (Ἴδε

Ἐρφούρδιον ἐν τῇ ἐκδόσει τοῦ Σοφοκλέους Τόμ. Ε', σελ. 466).

Παρατιθέμεθα χωρία μεταγενεστέρων, συγγραφέων, ἐν οἷς τῷ τελικῷ μορίῳ τῷ συντεταγμένῳ ὁριστικῇ ἐγκλίσει χρόνου παραγομένου πρόσκειται τὸ δυνητικὸν μόριον ΑΝ.

Πλωτῖν. Τόμ. Α'. σελ. 121, 6 Κιρχ. «καὶ οὐ μεταβάλλει ἄλλη πρᾶξις εἰς ἄλλην, ἵνα ἂν ἦν καὶ αὐταῖς ὕλη» καὶ σελ. 272, 25 «οὐ γὰρ ὡς κείμενοι ἦσαν τύποι, ἵνα ἂν ἦν ἴσως ἄτοπον τὸ συμβαῖνον» καὶ Τόμ. Β', σελ. 28, 13 «τούτου δὲ οὐκέτι ἄλλο, ἵν' ἂν ἦν ἐν αὐτῷ» καὶ σελ. 31, 26 «αὐτὸς δὲ οὐκ ἦν τὰ πάντα, ἵν' ἂν ἐδεήθη αὐτῶν» καὶ σελ. 49, 11 «ἀλλ' ὅλως οὐκ ἦν, ἵν' ἂν καὶ εἶδεν» καὶ σελ. 77, 12 «οὐ τοίνυν οὔτε σύνοδος οὔτε σχίσις τὰ δύο, ἵν' ἂν ἦν σχέσις» καὶ σελ. 159, 4 «οὔτ' οὖν αὐτὴ ἠθέλησε τὸ οὕτως, ἵνα ἂν εἵπετο, οὔτε ἄλλος πεποίηκεν οὕτως» καὶ σελ. 316, 21 «οὐ γὰρ δὴ τῆς φυτικῆς, ἵν' ἂν καὶ ἐφήψατο σώματος» καὶ σελ. 430, 7 «ὅτι πρακτικὸς ἀλλ' οὐ θεωρητικὸς ἦν, ἵνα ἂν ὅλος ἦν ἐκεῖ».

Σιμπλίκ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. ΙΑ', σελ. 162, 10 «τὸ δὲ ζῶν ἐπὶ τῶν γενητῶν καὶ φθαρτῶν σῶμα οὐχ οἷόν τε ἢ ἀέριον ἢ ὑδάτινον εἶναι, ἵνα ἦν ἂν ὅμοιον τοῖς ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἀλλοτρίοις μεταξὺ γινομένοις» καὶ σελ. 325, 9 «οὐ γάρ, ἐπειδὴ εἰς ἄλλο πρότερον δρᾷ τὸ πρώτως κινοῦν, οὐχὶ καὶ εἰς τὸ αἰσθητικὸν ἡ ἀπ' αὐτοῦ διαβαίνει κίνησις, ἵνα ἄν τις ὑπενόησε μηδ' ὅλως ἡμᾶς αἰσθάνεσθαι τοῦ πρώτως κινοῦντος».

Γρηγ. Νύσσ. Τόμ. Γ', σελ. 116, Δ' «εἴθε πως οἷόν τε ἦν κἀμοί τι γενέσθαι πλέον ἐκ τῆς τοιαύτης σπουδῆς, ὡς μετὰ πλείονος ἂν τῆς προθυμίας τὸν περὶ τούτων πόνον ἐνεστησάμην».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Ε', σελ. 380 «εἴθε ἀμβροσίας εὐπόρουν, εἴθε νέκταρος, εἴθε τινὸς ἄλλου βρώματος ἢ πόματος ἀθανάτου, δέσποτά μου καὶ βασιλεῦ, ὡς ἂν αὐτός σοι τὸ ἀθάνατον βρῶμα παρέθηκα καὶ αὐτήν σοι τὴν ἀθάνατον πόσιν ἐκέρασα».

Γεώργ. Παχυμ. Βοισσ. σελ. 157 «ἔδει μὲν καὶ ὡς σῶν ἐκείνων ἀντιποιεῖσθαι καὶ ὑπὲρ πατρικῶν φορτίων τῷ κλύδωνι διαμάχεσθαι, ὡς ἂν ἐπανεσώζετο τὰ ἴδια τῷ πατρί».

Δοξοπατρ. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Β', σελ. 479, 11 «ὤφειλε λοιπὸν πρῶτον τὴν σύγκρισιν τὸ γύμνασμα διδάξαι καὶ οὕτω τὸν κοινὸν τόπον καὶ τὸ ἐγκώμιον καὶ τὸν ψόγον, ὡς ἂν προμαθόντες δι'

αὐτῆς τοὺς τρόπους, καθ' οὓς ἡ σύγκρισις γίνεται, εὐχερῶς εἴχομεν καὶ τὰς ἐν ἐκείνοις συγκρίσεις ποιεῖν».

πειρᾶται ἀποδεῖξαι ὅτι τὸ πρῶτον μέρος τοῦ πολέμου, ὁ Ἀρχιδάμειος καλούμενος πόλεμος, ἦν συνεχὴς καὶ ὑπερέβη μάλιστα ἡμέραις τισὶ τὴν διάρκειαν τοῦ Τρωϊκοῦ πολέμου, ἵνα δή, εἴ ποτέ τις ἐθελήσειε μὴ θεωρῆσαι, ὡς ἦν εὔλογον, τὰς διακοπὰς τοῦ πολέμου ὡς πόλεμον καὶ συνέχειαν τοῦ πολέμου, ἔχοι ὁ Πελοποννησιακὸς πόλεμος ἓν μέρος καὶ μεμονωμένως λαμβανόμενον μακρότερον τοῦ Τρωϊκοῦ πολέμου τοῦ μακροτέρου καὶ συνεχοῦς ὑφ' Ἑλλήνων γενομένου τῶν προτέρων πολέμων, ἐν δὲ τῷ 26ῳ ὅτι τὴν ἐπακολουθήσασαν τῇ Νικιείῳ εἰρήνῃ ἑπταετῆ ἀποχὴν ἀπὸ τῶν ἐχθροπραξιῶν οὐ δεῖ θεωρηθῆναι εἰρήνην, ἐπειδὴ κατ' αὐτὴν συνέβησαν γεγονότα τινὰ παρὰ τοῖς συμμάχοις τῶν ἀντιπάλων πόλεων ἀντειρηνικά. Ταύτῃ δὲ τῇ γνώμῃ ἵνα προσδῷ περισσοτέραν πειθώ, λέγει ὅτι ἀπ' ἀρχῆς δῆθεν τοῦ πολέμου χρησμός τις, ὁ καὶ μόνος, ὡς αὐτὸς βεβαιοῖ, ἐπαληθεύσας, προήγγελλεν ὅτι ὁ ἀρξάμενος πόλεμος μέλλοι διαρκέσειν εἴκοσι καὶ ἑπτὰ ἔτη. Ὅτι μέντοι ὁ χρησμὸς οὗτος, οὗ καὶ ὁ ἀγαθὸς Πλούταρχος μέμνηται ἐν τῷ βίῳ τοῦ Νικίου πολὺ ἀκρίτως ὡς ἤδη δῆθεν λεγόμενος κατὰ τὴν συνομολόγησιν τῆς Νικιείου εἰρήνης, ἐστὶ πλάσμα ἢ τοῦ νοθευτοῦ ἢ ἄλλου τινὸς μετὰ τὸ πέρας τοῦ ὅλου πολέμου πλασθέν, καὶ ὅτι ἐτέθη ἐν τῷ στόματι τοῦ Θουκυδίδου πρὸς ὑποστήριξιν τοῦ σκοποῦ τοῦ νοθευτοῦ, περιττόν ἐστι καὶ εἰπεῖν. Πρῶτον μὲν γὰρ τοιαῦται ἀκριβεῖς προφητεῖαι οὔτε ποτὲ ἐγένοντο οὔτε δυνατόν ἐστι γενέσθαι, ὁ δὲ Θουκυδίδης οὐδόλως ἐπίστευεν εἰς χρησμούς, ὡς φαίνεται καὶ ἐξ ἄλλων μὲν μερῶν γνησίων τῆς ἱστορίας αὐτοῦ, μάλιστα δὲ ἐκ τοῦ ἐν τῷ τέλει τοῦ Ε' βιβλίου εὑρισκομένου πολιτικοῦ διαλόγου τῶν Ἀθηναίων καὶ Μηλίων, ἐν ᾧ (κεφ. 103) πρὸς τοῖς ἄλλοις ποιεῖ τοὺς πρέσβεις τῶν Ἀθηναίων οἰκτίρονταςτοὺς εἰς μαντικὴν καὶ χρησμοὺς καὶ ἄλλα τοιαῦτα πιστεύοντας, ἃ ἕνεκα τῶν ψευδῶν ἐλπίδων, ἃς διδόασι τοῖς ἀνθρώποις ἀπολλύασί τε αὐτοὺς καὶ ποιοῦσι παραμελεῖν τῆς ἑαυτῶν σωτηρίας, ἧς δυνατὸν πολλάκις τυχεῖν χρωμένοις ἐγκαίρως ἀνθρωπίνοις πόροις. Ἀλλὰ πλὴν τούτου ὁ γνήσιος Θουκυδίδης οὐδὲν ἐδεῖτο τοῦ ἐμβαλεῖν μετά τὸ πέρας τοῦ πολέμου τὰ ῥηθέντα κεφάλαια, τότε γὰρ ἐγράφησαν αὐτά, πρὸς τὸ ἀποδεῖξαι μὲν τὸ πρῶτον μέρος τοῦ πολέμου μεῖζον γεγενημένον τοῦ Τρωϊκοῦ, ὃ οὐκ ἔστι καὶ ἀληθές, κατὰ γὰρ τὰ γνήσια μέρη τοῦ Θουκυδίδου ὁ Πελοποννησιακὸς πόλεμος ἄρχεται οὐκ ἀπὸ τῆς προδοτικῆς τῶν Πλαταιῶν κατα-

λήψεως ὑπὸ τῶν Πλαταιῶν καταλήψεως ὑπὸ τῶν Θηβαίων, ἀλλ᾽ἀπὸ τῆς εἰσβολῆς τῶν Πελοποννησίων εἰς τὴν Ἀττικήν, εἰπεῖν δὲ ὅτι ὁ πόλεμος ὅλος διήρκεσεν εἴκοσιν ἑπτὰ ἔτη καὶ ὅτι τὰ μεσολαβήσαντα ἐν αὐτῷ ὀκτὼ ἔτη εἰρήνης οὐ δέον θεωρῆσαι εἰρήνην ἀλλὰ πόλεμον, καὶ προσέτι ὅτι αὐτὸς ἐβίω καθ᾽ὅλην τὴν διάρκειαν τοῦ πολέμου ἔχων τάς τε φρένας σώας καὶ ἡλικίαν δυναμένην καλῶς νοεῖν τε καὶ πυνθάνεσθαι τὰ συμβαίνοντα ἐν αὐτῷ· εἰ γὰρ ἔζησε μέχρις οὗ περάνειε τὴν συγγραφὴν τοῦ ὅλου πολέμου, ὥσπερ διενοεῖτο καὶ ἤλπιζε ποιήσειν, εἰ μὴ δολοφονοῖτο, ὁ ἀναγνώστης εἶχεν ἂν τὴν ἀπόδειξιν ἀπὸ τῆς συγγραφῆς αὐτῆς ὁπόσον τε χρόνον διήρκεσεν ὁ πόλεμος καὶ ὅτι αὐτὸς ἐβίω καθ᾽ ὅλον τὸν πόλεμον καὶ εἶχε τό τε σῶμα καὶ τὸν νοῦν ὑγιῶς ἔχοντα καὶ ἀντελαμβάνετο ὀρθῶς τῶν πολεμικῶν πραγμάτων. Οὐδεμία ἄρα χρεία ἦν τῷ Θουκυδίδῃ διακόψαντι κατὰ τὸ εἰκοστὸν πρῶτον ἔτος τῶν γεγονότων τοῦ πολέμου τὸ νῆμα τῆς ἀναγραφῆς αὐτῶν παρενεῖραι ἐν τῷ πέμπτῳ βιβλίῳ τὰ ῥηθέντα κεφάλαια· ὁ νοθευτής γε μὴν αὐτῶν τε ἐδεῖτο καὶ οὐδαμοῦ ἄλλοθι εὗρε τόπον ἐπιτηδειότερον εἰπεῖν ἃ ἐν αὐτοῖς εἶπεν· οὔτε γὰρ ἐν τῇ ἀρχῇ ἦν τοιοῦτος, οὔτε ἐν τῷ τέλει τῆς καταληφθείσης ἀτελοῦς συγγραφῆς τοῦ Θουκυδίδου διὰ τῆς δολοφονίας αὐτοῦ· ὅστις γε καὶ ἄλλως χρησάμενος ὡς ἀπὸ προσώπου τοῦ Θουκυδίδου τῷ «ἐπεβίων» ἀντὶ τοῦ ἁπλοῦ «ἐβίων» προδίδωσιν ἑαυτὸν διανοούμενον, ὅτε ταύτας τὰς προσθήκας ἔγραφεν, ὅτι ὁ Θουκυδίδης οὐκ ἦν ἔτι ἐν τοῖς ζῶσιν, ἀλλὰ ἀπὸ πολλοῦ ἐν τῇ χώρᾳ τῶν νεκρῶν.

Πλὴν δὲ τῶν λόγων τούτων τὰ ῥηθέντα κεφάλαια φαίνονται παρείσακτα καὶ ἐκ τοῦ ὕφους αὐτῶν μὴ φέροντος τὸν Θουκυδίδειον χαρακτῆρα καὶ τῆς λέξεως «ἔξω» κειμένης ἐπὶ τῆς σημασίας τοῦ «ἐκτός», ἐφ᾽ ἧς χρῆται αὐτῇ ὁ νοθευτής, ὡς μὴ Ἀττικὸς ἀλλ᾽ ἔξω τῆς Ἀττικῆς γεγονώς τε καὶ ἀνατραφείς, καὶ ἐν τῷ «Προοιμίῳ» αὐτοῦ κεφ. 9, 5 καὶ 10, 4. Ἐκ τῶν λεχθέντων οὖν ἤδη συνάγεται ἀφθόνως ὅτι ἀρχομένου τοῦ πολέμου ὁ Θουκυδίδης, ὡς καὶ πάντες οἱ Ἕλληνες τῶν χρόνων ἐκείνων, μεθ᾽ ὧν καὶ οἱ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι, ἤλπιζον ὅτι ὁ πόλεμος διαρκέσοι τὸ πλεῖστον ἔτη τρία ἕως τεσσάρων, ἕως οὗ δηλονότι τὸ ἕτερον τῶν ἀντιπάλων μέρος καταβληθείη καὶ αἰτήσαιτο παρὰ τοῦ ἄλλου τὴν εἰρήνην, καὶ ἑπομένως πλὴν τῆς πρώτης περιόδου, ἣν παρέθεμεν ἀνωτέρω, τὸ

λοιπὸν μέρος τοῦ «Προοιμίου» ἅπαν οὐχ οἷόν τ' εἶναι τῆς χειρὸς τοῦ Θουκυδίδου· ποιεῖ γὰρ τὸν ἱστορικὸν προϊδόντα ἀπ' ἀρχῆς τοῦ πολέμου τὸ ἐξ ὅλως ἀπροόπτων αἰτίων μεγάλως ἐκταθὲν μῆκος αὐτοῦ.

Ὥσπερ δὲ περὶ διαρκείας τοῦ πολέμου, οὕτω καὶ περὶ τῆς ἐκβάσεως αὐτοῦ, εἰ δῆλα δὴ αὕτη μέλλοι ἀποβήσεσθαι ὑπὲρ τῶν Ἀθηναίων ἢ τῶν Πελοποννησίων, οὐκ ἠδύνατό τις ἐν τῇ ἀρχῇ τοῦ πολέμου ἑστὼς οὔτε προειδέναι οὔτε προειπεῖν σταθερῶς, ἅτε δὴ καὶ ταύτης ἐξηρτημένης ἀπὸ πολλῶν ἀπροόπτων πραγμάτων· κατά γε ὅμως τοὺς ἀνθρωπίνους συλλογισμοὺς ἔμελλεν ἀποβήσεσθαι ἐπ' ὠφελείᾳ τῶν Ἀθηναίων ἕνεκα τῆς ὑπεροχῆς αὐτῶν ἔν τε ταῖς ναυτικαῖς δυνάμεσι καὶ τοῖς ἀφθόνοις χρηματικοῖς πόροις, καὶ οὕτως ἡ δύναμις αὐτῶν ἔτι μείζων ἂν ἐγένετο. Καὶ τοῦτο τὸ ἀποτέλεσμα ὄντως ἂν συνέβη, εἰ ἡ κυβέρνησις τῆς Ἀθηναϊκῆς πολιτείας ἦν κατὰ τὴν διεξαγωγὴν τοῦ πολέμου ἐν χερσὶν ἱκαναῖς, οἷαι ἦσαν αἱ τοῦ Περικλέους· εἰ γὰρ τοιαῦται χεῖρες ὑπῆρχον ἐπὶ τοῦ πηδαλίου τοῦ τῶν Ἀθηνῶν κράτους, οὐκ ἂν διεπράχθησαν καὶ ἄλλα μὲν σφάλματα, πρὸ πάντων δὲ τὸ μέγιστον τῆς εἰς Σικελίαν ἀσυνέτου ἐκστρατείας, οὐδ' ἂν ἐμηχανορράφουν εὐχερῶς οἱ ἀριστοκρατικοὶ τῶν Ἀθηναίων κατὰ τῆς ἑαυτῶν πατρίδος χάριν τῶν ἰδίων συμφερόντων. Ὅτι δὲ τοιαύτη ἔμελλε γενήσεσθαι ἡ ἔκβασις τοῦ Πελοποννησιακοῦ πολέμου, ἦν γνώμη κυρίως τοῦ μεγάλου Περικλέους, ὡς φαίνεται ἐκ τῶν λόγων, οὓς τίθησιν ὁ Θουκυδίδης ἐν τῷ στόματι αὐτοῦ Α', 140-144, καὶ οὓς ἐπιβεβαιοῖ καὶ αὐτὸς ὁ νοθευτὴς ἐν τῷ 65 κεφ. τοῦ Β' βιβλίου τοῦ Θουκυδίδου. Καίπερ δ' ὀρθοτάτης οὔσης τῆς προγνώσεως τοῦ Περικλέους, ἅτε δὴ στηριζομένης ἐπὶ ἀκριβοῦς σταθμήσεως τῶν δυνάμεων, ἃς ἑκατέρα τῶν ἀντιπάλων πόλεων διετίθει καὶ ἔμελλε διαθήσειν, ὑποθώμεθα ἐπὶ στιγμὴν ὅτι οὐκ ἦν ὀρθή, οὐδαμῶς πάλιν ἠδύνατό τις ἐν τῇ ἀρχῇ τοῦ πολέμου ἱστάμενος προσδοκᾶν πτῶσιν τῶν Ἀθηνῶν, οἵαν ἐν τῷ δευτέρῳ μέρει τοῦ πολέμου ἔπαθον· ἀλλ' ὃ μάλιστα ἐθεώρησεν ἂν ἐκ τῶν ἐνδεχομένων, ἦν ὁ περιορισμὸς τῆς δυνάμεως αὐτῶν. Τίνος δ' εἴδους μάχας ἐπί τε τῆς ξηρᾶς καὶ τῆς θαλάσσης ἠδύνατό τις περιμένειν, δι' ὧν ἔμελλε κριθήσεσθαι ἡ πάλη αὕτη; Λαμβανομένου πρὸ ὀφθαλμῶν τοῦτο μὲν ὅτι οἱ Πελοποννήσιοι ἠδύναντο παρατάξαι ἐπὶ ξηρᾶς περὶ τὰς ἑβδομήκοντα χιλιάδας καλῶς ὡπλισμένους τε καὶ ἠσκημένους στρατιώτας, οἱ δ' Ἀθηναῖοι περὶ τὰς εἴκοσι πέντε μόνον, καὶ διὰ

τοῦτο οὗτοι οὐδέποτε ἔμελλον τολμήσειν συνάψαι μάχας ἐπὶ ξηρᾶς σπουδαίας πρὸς τοὺς ἀντιπάλους Πελοποννησίους, εἰς οὐδενὸς κεφαλὴν ἦν δυνατὸν εἰσελθεῖν τὴν ἰδέαν ὅτι κατὰ τὸν πόλεμον τοῦτον μέλλοιεν γενήσεσθαι μάχαι πεζῶν, οἷαι ὑπῆρξαν ἐκεῖναι αἱ ἔνδοξοι καὶ λαμπρόταται τοῦ Μαραθῶνος καὶ τῶν Πλαταιῶν καὶ τοῦ Εὐρυμέδοντος ποταμοῦ· τοῦτο δέ, ἐπειδὴ οἱ Ἀθηναῖοι ἦσαν διπλασίως, εἰ μὴ πλεῖον, ἰσχυρότεροι κατὰ θάλασσαν τῶν Πελοποννησίων, ὅτι μέλλοιέν ποτε συναφθήσεσθαι μάχαι νεῶν, οἵα ἡ τῆς Σαλαμῖνος. Ὁ πόλεμος ἄρα οὗτος ἔμελλε λήψεσθαι πέρας διὰ μικρῶν πεζομαχιῶν καὶ ναυμαχιῶν, διότι, ὥσπερ ἤδη εἰρήκαμεν, οἱ μὲν Ἀθηναῖοι οὐκ εἶχον στρατὸν τῆς ξηρᾶς δυνάμενον ἀντιπαραταχθῆναι πρὸς τὸν ὅλον τῶν Πελοποννησίων, οἱ δὲ Πελοποννήσιοι ναυτικὸν δυνάμενον συνάψαι ναυμαχίαν πρὸς τὴν ὅλην τῶν Ἀθηναίων ναυτικὴν δύναμιν. Αἱ μικραὶ δὲ αὗται πεζομαχίαι καὶ ναυμαχίαι παρατεινόμεναι ἐπὶ δύο ἢ τρία ἔτη ἔμελλον κατὰ πᾶσαν πιθανότητα ἐξαντλήσειν καὶ καταπονήσειν πρότερον τὸν ἕτερον τῶν ἀντιπάλων, ὥστε αἰτῆσαι παρὰ τοῦ ἄλλου τὴν εἰρήνην, καὶ οὕτω πέρας ἂν ἐγένετο τῷ πολέμῳ, ὥσπερ καὶ ἐγένετο ὄντως ἐν τῷ πρώτῳ μέρει τοῦ πολέμου καίπερ παραταθέντι πλέον τῆς προβλέψεως καὶ προσδοκίας πάντων ἐπ' ἀρκετὸν ἕνεκα τῆς ἐπιδημίας καὶ μάλιστα τῆς ἐλλείψεως τοῦ Περικλέους. Τὰς δὲ κατὰ τὸν Σικελικὸν καὶ Δεκελεικὸν πόλεμον συμβάσας ὀλίγῳ σπουδαιοτέρας μάχας ἢ κατὰ τὸν Ἀρχιδάμειον, οὐδὲ κατ' ὄναρ τις ἐν τῇ ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου ἠδύνατο προϊδεῖν.

Τούτων οὖν οὕτως ἐχόντων, ἵνα καὶ λογικῶς νῦν ἐξετάσωμεν τὸ συζητούμενον χωρίον, ἠδύνατό ποτε ὁ Θουκυδίδης ἐννοῆσαι καὶ εἰπεῖν ὅτι ὁ ἀρχόμενος πόλεμος μέλλοι γενήσεσθαι μείζων καὶ ἀξιολογώτατος πάντων τῶν προγεγενημένων τοῖς Ἕλλησι πρός τε Ἕλληνας καὶ βαρβάρους καὶ δὴ καὶ τῶν ἐνδοξοτάτων καὶ λαμπροτάτων Τρωϊκοῦ καὶ Περσικῶν; Οὐδαμῶς δῆτα. Πῶς γὰρ ἂν εἶπε πρᾶγμα, ὃ καὶ σκέψασθαι μόνον οὔτ' αὐτὸς οὔτ' ἄλλος τις ἠδύνατο; Καὶ οὐ μόνον ἐν τῇ ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου οὐκ ἠδύνατο εἰπεῖν λογικὸς ἀνὴρ ὅτι ὁ πόλεμος οὗτος ἔσοιτο ἀξιολογώτερος ἐκείνων τῶν πολέμων, ἀλλ' οὐδὲ ἐν τῷ τέλει αὐτοῦ ὅτι ἐγένετο τοιοῦτος. Οὐδὲν γὰρ τὸ κοινὸν οὐδὲν τὸ παραβλητὸν ἔχει ὁ Πελοποννησιακὸς πόλεμος πρὸς ἐκείνους τοὺς πολέμους· διότι ἐν μὲν τῷ Τρωϊκῷ, κατά γε τὴν παράδοσιν, ἦν

οὐδὲ ὁ νοθευτὴς ἐτόλμησεν ἀπορρῖψαι, ἡ Ἑλλὰς ξύμπασα ἐξεστράτευσε μετὰ χιλίων διακοσίων νεῶν ἐχουσῶν ὑπὲρ τὰς ἑκατὸν χιλιάδας μαχητὰς κατὰ μιᾶς πόλεως βαρβαρικῆς, τῆς Τροίας, ἐν δὲ τοῖς Περσικοῖς ἅπασα ἡ Ἀσία καὶ μέρος τῆς Ἀφρικῆς καὶ Εὐρώπης ὡρμήθησαν μετὰ ὑπερμεγέθους δυνάμεως πεζῶν μὲν τοὐλάχιστον ἄνω τοῦ ἑκατομμυρίου, νεῶν δὲ χιλίων τριακοσίων περίπου κατὰ τῆς μικρᾶς Ἑλλάδος καὶ ταύτης οὐ συνηνωμένης ἁπάσης, πολλαὶ γὰρ αὐτῆς πόλεις αἱ μὲν ἕνεκα φόβου μεγάλου, αἱ δὲ ἕνεκα τῶν συμφερόντων τῶν ἀριστοκρατικῶν μερίδων, ἤγειραν μετὰ τοῦ Πέρσου ὅπλα ἀνόσια κατὰ τῆς ἑαυτῶν πατρίδος βοηθοῦσαι τοῖς Πέρσαις· ἐν ᾧ ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἔχομεν πόλεμον Ἑλληνικὸν συναφθέντα μεταξὺ δύο Ἑλληνίδων πόλεων μετὰ τῶν συμμάχων αὐτῶν ὄντων καὶ τούτων Ἑλλήνων. Εἰ δὲ αἱ δύο αὗται πόλεις, Σπάρτη καὶ Ἀθῆναι, διατιθέασι νῦν ἐν τῷ πολέμῳ τούτῳ ὀλίγον τι πλείους στρατιωτικὰς δυνάμεις ἢ ὅσας διέθεσαν τότε κατὰ τοὺς Περσικοὺς πολέμους, οὐδετέρα μέντοι αὐτῶν ἐν οὐδεμιᾷ τῶν γενομένων μαχῶν καθ' ὅλην τὴν διάρκειαν αὐτοῦ παρέταξε κεχωρισμένως τόσας στρατιωτικὰς δυνάμεις οὔτε κατὰ θάλασσαν οὔτε κατὰ ξηράν, ὅσας συνηνωμένως παρέταξαν ἀμφότεραι κατὰ τοῦ Ξέρξου· ὅσας δ' οὗτος παρέταξεν, οὐ γινώσκομεν ἀκριβῶς, ἀλλὰ δῆτα οὐκ ἦσαν ἥττονες τοῦ ἑκατομμυρίου, ὥσπερ πρὸ μικροῦ ἔφαμεν. Οὐ μὴν οὐδὲ μάχαι συνέβησαν καθ'ἅπαντα τὸν Πελοποννησιακὸν πολεμον τοσοῦτον ἔνδοξοι καὶ τοσοῦτον λαμπραί, ὅσον αἱ τῶν Περσικῶν πολέμων, ἐν αἷς ἡ μὲν τῶν Περσῶν δύναμις ἐθραύσθη ἐς ἀεί, ἡ δὲ Ἑλλας ἀπέφυγε τὸν τῆς δουλείας ζυγὸν καὶ τὴν ἐκβαρβάρωσιν καὶ τὰ τούτοις ἀκολουθοῦντα κακά. Γινώσκει δ' ὁ Θουκυδιδης, εἴπερ τις ἄλλος, κρίνειν τε καὶ συγκρίνειν ὀρθῶς τὰ τὰ γεγονότα καὶ κατ' ἀξίαν, ὡς ποιεῖ ἐν τῷ Δ' βιβλίῳ (κεφ. 36) τῆς ἱστορίας αὐτοῦ, ὅπου ἀναγράφων τὴν τελικὴν τελείαν ἧτταν τῶν ἐπὶ τῆς νήσου Σφακτηρίας ὄντων Σπαρτιατῶν λέγει ὧδε· «καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν ὑπεχώρουν κ. τ. ἑ.» Ὡς πρὸς τὰ ἠθικὰ δὲ καὶ ὑλικὰ

ἀποτελέσματα, ἃ ἔσχον οἱ Περσικοὶ πόλεμοι ὑπὲρ τῶν Ἑλλήνων καὶ ἰδίᾳ τῶν Ἀθηναίων, οὐδεμίαν παραβολὴν καὶ σύγκρισιν ἦν δυνατὸν γενέσθαι τούτων τῶν πολέμων πρὸς τὸν Πελοποννησιακόν· ἐκεῖνοι μὲν γὰρ οἱ πόλεμοι ἐδόξασαν καὶ ἅμα ἀνέπτυξαν θαυμασίως κατὰ πάσας τὰς ὄψεις τὰς Ἀθήνας καὶ μετ' αὐτῶν τὴν Ἑλλάδα, ὁ δὲ Πελοποννησιακὸς πόλεμος μετὰ τοῦ ἐπισχεῖν ταύτην τὴν πρόοδον ἐξήντλησεν αὐτὰς ἠθικῶς τε καὶ ὑλικῶς καὶ ἔωσε σφοδρότατα πρὸς τὴν παρακμήν, ἐξ ἧς οὐκ ἠδυνήθησαν ἔτι ἐξελθεῖν, εἰ καὶ ὅλον τὸ μέγεθος τοῦ κακοῦ τούτου ἀποτελέσματος οὐκ ἐφάνη ἀμέσως, ἀλλ'ἐν τοῖς μετέπειτα χρόνοις. Διὸ ὀρθῶς οἱ Ἕλληνες καὶ ἰδίᾳ οἱ Ἀθηναῖοι ἐπιφανέστατον τῶν πολέμων ἐθεώρησαν ἀεὶ τὸν Περσικὸν πόλεμον, οὗ τοὺς μαχητὰς οἱ μὲν ποιηταὶ αὐτῶν τραγικοί τε καὶ κωμικοὶ ἐξύμνουν ἐν τοῖς θεάτροις ὡς ἥρωας, οἱ δὲ διδάσκαλοι προέβαλλον ἐν τοῖς σχολείοις τοῖς μαθηταῖς ὡς τὰ ἰδεώδη πρότυπα τῆς φιλοπατρίας καὶ ἀνδρείας, οἱ δὲ ῥήτορες ἐν ταῖς πανηγύρεσι καὶ ἄλλαις συναθροίσεσι τοῦ λαοῦ ἐξεθείαζον, ὅπως ἐξεγείροιεν καὶ ἀνυψοῖεν τὸ ἐθνικὸν τῶν Ἑλλήνων φρόνημα, ὡς μαρτυροῦσι καὶ ἄλλοι μὲν ποιηταὶ καὶ ῥήτορες καὶ ὁ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ αὐτοῦ κεφ. Θ' λέγων «Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονε», καὶ κεφ. κ' «Μεγίστου γὰρ ἐκείνου (δηλ.τοῦ Περσικοῦ πολέμου) συστάντος». Καὶ ὅμως τὸν ἐπιφανέστατον καὶ μέγιστον τοῖς πράγμασι τοῦτον πόλεμον διέρχεται ὁ νοθευτὴς σὺν μεγίστῃ ταχύτητι, ταχυδακτυλουργικῶς ὡς εἰπεῖν, μόλις ἀφιερῶν ἐν τῷ «Προοιμίῳ» αὐτοῦ κεφ. 23 δύο ἢ τρεῖς λέξεις, καίπερ ἀναγνωρίζων αὐτὸν ὡς μέγιστον ἔργον,ἀλλὰ μόνον τῶν πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου πεπραγμένων, δικαιολογῶν τὴν γνώμην ἑαυτοῦ ταύτην ὅτι ὁ Περσικὸς πόλεμος ἔσχε τὴν κρίσιν αὐτοῦ διὰ δύο πεζομαχιῶν. Πράττει δὲ τοῦτο ἐπίτηδες δήπου παρερχόμενος οὕτω τάχιστα τὸν σπουδαιότατον καὶ ἀξιολογώτατον τῶν πολέμων, ἵνα δείξῃ αὐτὸν ὑποδεέστερον τοῦ Πελοποννησιακοῦ, οὐ γὰρ ἡγούμεθα αὐτὸν γινέσθαι τόσον ἀμαθῆ, ὥστε ἀγνοεῖν ὅτι, εἰ ὁ Περσικὸς πόλεμος διήρκεσεν ἐλάσσονα χρόνον τοῦ Τρωϊκοῦ καὶ τοῦ Πελοποννησιακοῦ, διὰ τοῦτο οὐκ ἦν ἧσσον, ἀλλὰ μᾶλλον ἀξιόλογος αὐτῶν. Ἐν ὀλίγῳ γὰρ χρόνῳ οἱ ἐν ἐκείνῳ τῷ πολέμῳ πολεμήσαντες κατεπολέμησαν τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν, καὶ οὐ μόνον τὰς ἑαυτῶν πατρίδας ἔσωσαν, ἀλλὰ καὶ τὴν

Ἑλλάδα ξύμπασαν ἠλευθέρωσαν καὶ μετ' αὐτῆς καὶ τὴν Εὐρώπην, ἵνα δὴ ἔχοιεν ἐν τοῖς μέλλουσι χρόνοις τοὺς ἐν αὐτῇ οἰκοῦντας εὔνους τε καὶ μνήμονας τῆς εὐεργεσίας ὑπὲρ τῶν ἀπογόνων ἑαυτῶν· ὅ γε δή που ἔδρασάν τε οὗτοι ἀεὶ ἐν τοῖς παρῳχημένοις αἰῶσι πολυειδῶς καὶ πολυτρόπως καὶ ἐν ταῖς ἡμέραις ἡμῶν δρῶσιν ἐῶντες τοὺς ἐν Βουλγαρίᾳ καὶ Μακεδονίᾳ Ἕλληνας σφάζεσθαί τε θηριωδῶς καὶ ἀφαιρεῖσθαι ληστρικῶς τὴν οὐσίαν τὴν διὰ πολλῶν μόχθων κτηθεῖσαν καὶ ἐκδιώκεσθαι ἀπηνῶς ἐκ τῶν προαιωνίων ἑστιῶν αὐτῶν ὑπὸ τῶν ἐκ τοῦ βορρᾶ ἐπηλύδων βαρβάρων. Εἰ δ' ὀλιγώτερα χρήματά τε καὶ στρατιωτικὰς δυνάμεις διετίθεσαν οἱ Ἕλληνες κατὰ τὸν Τρωϊκὸν καὶ τοὺς Περσικοὺς πολέμους, τοῦτο τὸ ἄλλο καὶ μέγα ἐπιχείρημα τοῦ νοθευτοῦ περὶ τῆς μείζονος σπουδαιότητος τοῦ Πελοποννησιακοῦ πολέμου, τοσούτῳ λαμπρότεροι καὶ ἀξιολογώτεροί εἰσιν ἐκεῖνοι οἱ πόλεμοι τοῦ Πελοποννησιακοῦ διὰ τὰς λαμπρὰς πράξεις τὰς κατορθωθείσας κατ' αὐτοὺς ἐκ μικροτέρων πόρων τε καὶ δυνάμεων.

Φαίνεται δὲ προσέτι ὅτι ὁ Θουκυδίδης διὰ τῶν λέξεων «ἀξιολογώτατον τῶν προγεγενημένων» νοεῖ τοὺς προγεγενημένους μεταξὺ τῶν Πελοποννησίων καὶ Ἀθηναίων πολέμους καὶ ἐξ ὧν ἐπιφέρει, ἵνα δικαιολογήσῃ τὴν προσδοκίαν αὐτοῦ ταύτην, λέγων ὅτι προεῖδε τοῦτο τεκμαιρόμενος ὅτι ἀκμάζοντές ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον»· ἐν γὰρ ταῖς εἰρημέναις λέξεσί φησιν ὅτι οἱ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἐβάδισαν εἰς τοῦτον τὸν πόλεμον ἀκμαίως παρεσκευασμένοι ἔχοντες καὶ μέλλοντες ἔχειν καὶ πάντας τοὺς λοιποὺς τῶν Ἑλλήνων συμμάχους, καὶ διὰ τοῦτο ὁ νῦν πόλεμος ἔσται «ἀξιολογώτερος τῶν προγεγενημέων». Εἰς τοὺς «προγεγενημένους πολέμους» ἄρα οὐκ ἐβάδισαν οὔτε οὕτως παρεσκευασμένοι οὔτε ἔχοντες τοὺς λοιποὺς τῶν Ἑλλήνων συμμάχους, ὥσπερ δὴ ἐγένετο ὄντως ἐν τοῖς προγενομένοις πολέμοις τῶν Ἀθηναίων καὶ Πελοποννησίων πρὸς ἀλλήλους. Ἐὰν δ' ὅμως θελήσωμεν νοῆσαι ἐν ταῖς λέξεσι τοῦ Θουκυδίδου «προγεγενημένους πολέμους» πάντας τοὺς προγεγενημένους πολέμους Ἑλληνικούς τε καὶ βαρβαρικούς, τότε βιαζόμεθα ὑπὸ τοῦ κειμένου δέξασθαι ὅτι οἱ Πελοποννήσιοι καὶ οἱ Ἀθηναῖοι συνῆψαν πάντας ἐκείνους τοὺς πολέμους πρὸς ἀλλήλους· ὃ παραλογώτατον, οἵ γε οὐ μόνον οὐ συνῆψαν αὐτούς, ἀλλ' οὐδὲ παρέστησαν ἐν τοῖς πλείστοις αὐτῶν. Εἰ δὲ τέλος ὁ Θουκυ-

δίδης ἠθέλησε παραβαλεῖν τὸν Πελοποννησιακὸν πόλεμον πρὸς πάντας τοὺς προγεγενημένους βαρβαρικούς τε καὶ Ἑλληνικούς, ἔδει τοὐλάχιστον εἰπεῖν αὐτὸν ὅτι νῦν οἱ δύο οὗτοι λαοὶ τῆς Ἑλλάδος μετὰ τῶν συμμάχων ἑαυτῶν μέλλοιεν διαθήσειν μείζονας δυνάμεις ἢ ὅσας διέθεσαν πρότερον ἐν τοῖς προγεγενημένοις πολέμοις βάρβαροί τε καὶ Ἕλληνες ὁμοῦ, καὶ ἕνεκα τούτου μέλλοι καὶ ἡ Ἑλλὰς κινδυνεύσειν πλεῖον ἢ ἐν ἐκείνοις, καὶ ὅτι συναφθήσοιντο μάχαι μείζονες καὶ ἐνδοξότεραι τῶν τοῦ Μαραθῶνος, τῆς Σαλαμῖνος καὶ τῶν Πλαταιῶν. Ἀλλὰ ταῦτά γε οὔτε προέβλεπεν οὔτε ἠδύνατο προϊδεῖν, ὡς σαφέστατα κατεδείχθη ἐν τοῖς ἀνωτέρω λεχθεῖσιν.

Ἐνταῦθα εὔκαιρον κρίνομεν ὁμολογῆσαι ὅτι ἐν τῇ μελέτῃ ἡμῶν τῇ διὰ τῆς «Ν. Ἡμέρας» δημοσιευθείσῃ παραχθέντες ἐκ τῶν παρερμηνειῶν τῶν ἐκδοτῶν τοῦ Θουκυδίδου ἐθεωρήσαμεν τὸ «προγεγενημένων» ὡς παρείσακτον· εἰ γὰρ ὄντως ἐσήμαινε κατὰ τὴν ἡμαρτημένην ἑρμηνείαν αὐτῶν πάντας τοὺς προγεγενημένους πολέμους ἑλληνικούς τε καὶ βαρβαρικούς, ἀναγκαίως τότε ἔδει εἶναι τῆς χειρὸς τοῦ νοθευτοῦ, τὸ δὲ «ἀξιολογώτατον» λελέχθαι ἀπολύτως· ἀλλὰ γνησιώτατόν ἐστιν, ὅταν γε ὀρθῶς ἑρμηνευθῇ, ὥσπερ εἴδομεν. Ἀλλὰ μὴν καὶ τὸ μῆκος τοῦ Πελοποννησιακοῦ πολέμου καὶ τὰ γενόμενα κατ' αὐτὸν κακά, ἃ ὁ νοθευτὴς ἀπαριθμεῖ ἐν τῷ τέλει τοῦ «Προοιμίου» (κεφ. 23) προστιθεὶς αὐτοῖς καὶ οὐ γενόμενα, δηλ. τὰς πυκνὰς τοῦ ἡλίου ἐκλείψεις καὶ αὐχμοὺς καὶ λιμοὺς μετὰ ῥητορικῆς τῶν μεταγενεστέρων χρόνων ὑπερβολῆς γλώσσης, οὐκ ἦν δυνατὸν τῷ Θουκυδίδῃ, ὥσπερ πολλάκις ἤδη εἴπομεν καὶ ἀπεδείξαμεν, ἐν τῇ ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου ἱσταμένῳ προϊδεῖν, οὐδ' ἄρα ἐλπίσαι αὐτὸν ἔσεσθαι ἕνεκά τε τούτων καὶ τοῦ μεγάλου μήκους ἀξιολογώτερον καὶ μείζω πάντων τῶν προγεγενημένων πολέμων. Τὴν πραγματικὴν δὲ σπουδαιότητα, ἣν ἔχει ἡμῖν ὁ Πελοποννησιακὸς πόλεμος, ὡς ἐπενεγκὼν τῷ Ἑλληνικῷ ἔθνει τὴν πρὸς τὴν παρακμὴν φοράν, οὔτε διεῖδεν ὁ νοθευτής, οὔτε ἠδύνατο διϊδεῖν· τοῦτο γὰρ τὸ ἀποτέλεσμα ἐφάνη ἐν τοῖς μετὰ ταῦτα αἰῶσι.

Τὸ Θουκιδίδειον οὖν κείμενον ἐξεταζόμενον καὶ γραμματικῶς καὶ ἱστορικῶς καὶ λογικῶς ἀποδείκνυσι σαφέστατα ὅτι ὁ Θουκυδίδης λέγων ὅτι ὁ ἀρχόμενος πόλεμος ἔμελλεν ἔσεσθαι «μέγας τε καὶ ἀξιολογώτατος τῶν προγεγενημένων» ἐνόει «προγεγενημένους

πολέμους» τοὺς πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου γενομένους μεταξὺ τῶν Πελοποννησίων καὶ Ἀθηναίων, πρὸς οὓς μόνους γε δὴ ἦν εὔλογος ἡ παραβολὴ καὶ σύγκρισις· τὸ παρεισαχθὲν δὲ μέγα τεμάχιον τοῦ «Προοιμίου» ὑπὸ τοῦ νοθευτοῦ, ἐν ᾧ παραβάλλεται λίαν παραλόγως ὁ Πελοποννησιακὸς πόλεμος πρὸς πάντας τοὺς προγεγενημένους πολέμους ἑλληνικούς τε καὶ βαρβαρικούς, φαίνεται καταδήλως ὅτι οὐκ ἔστιν ἕνεκα τούτου τῆς χειρὸς τοῦ Θουκυδίδου, ἐπειδή γε ἀντιφάσκει πρὸς ὅ,τι λέγει τε καὶ νοεῖ ὁ ἱστορικὸς οὗτος ἐν τῇ γνησίᾳ περιόδῳ, ἣν ἔθηκεν ἐν τῇ ἀρχῇ τῆς ἱστορίας αὐτοῦ ὡς προοίμιον ἱκανὸν αὐτῆς, ὥσπερ γέ ἐστιν.

Ὅσοι δ' ἂν τῶν περὶ τὸν Θουκυδίδην ἀσχολουμένων φιλολόγων θελήσωσιν ὑποστηρίξαι τὴν ἐναντίαν τῆς ἡμετέρας ἑρμηνείαν τὴν μέχρι τοῦ νῦν ὀρθὴν θεωρουμένην, ὅτι δηλαδὴ διὰ τῆς λέξεως «προγεγενημένων» ὁ Θουκυδίδης νοεῖ πάντας τοὺς πρότερον τοῦ Πελοποννησιακοῦ πολέμου γενομένους βαρβαρικούς τε καὶ Ἑλληνικοὺς πολέμους, οὐδὲν ἄλλο ποιήσουσιν ἢ διατελέσουσι παραβιάζοντές τε τὰς γνησίας λέξεις τοῦ ἱστορικοῦ γραμματικῶς καὶ ἱστορικῶς καὶ λογικῶς καὶ παραλογιζόμενοι μεγάλως· οὐδένα δ' ὅμως πείσουσί ποτε ἔχοντά γέ τινα εἴδησιν τῆς ἀρχαίας Ἑλληνικῆς γλώσσης καὶ θέλοντα χρῆσιν ποιεῖσθαι τοῦ ἑαυτοῦ λογικοῦ, οὐδὲ ἐκφοβήσουσιν ἐκτοξεύοντες ἐν ἀπορίᾳ ἐπιχειρημάτων λογικῶν ὕβρεις καὶ εἰρωνείας καὶ καταφρονήσεις ἐθνικάς· ταῦτα γὰρ ἀδίκως καὶ παραλόγως ἐκτοξευόμενα ἐπιστρέφουσι κατὰ τῶν ἐκτοξευόντων καὶ καθιστῶσιν αὐτοὺς καταγελάστους καὶ δεικνύασιν οἴησιν πολλὴν ἐν ἑαυτοῖς ἐγκλείοντας.

Εἰ καὶ μόνος δὲ ὁ πρῶτος ἀποδεικτικὸς τῆς νοθείας τοῦ «Προοιμίου» τοῦ νοθευτοῦ λόγος, ὁ τριπλῆν τὴν ἀπόδειξιν ἐσχηκώς, ὃν ἄρτι διεξήλθομεν, ἐστὶν ἀρκούντως ἰσχυρός, ὥστε ἀπορρῖψαί τινα αὐτὸ ἄνευ δισταγμοῦ, χάριν ὅμως μείζονος ἀποδείξεως προβησόμεθα καὶ εἰς τοὺς ἄλλους λόγους, δι' οὓς αὐτὸ ἀποδείκνυται παρέμβλητον ὑπὸ ξένης χειρός, καὶ δὴ εἰσερχόμεθα εἰς τὸν δεύτερον ἀποδεικτικὸν λόγον τὸν ἐκ τοῦ ὕφους πορίζόμενον. Τὸ γὰρ ὕφος τοῦ παρεισάκτου τεμαχίου τοῦ «Προοιμίου» ἐξεταζόμενον εὑρίσκεται οὐχ ὁμοιάζον τῷ ὕφει τῶν γνησίων μερῶν τῆς ἱστορίας τοῦ Θουκυδίδου· ἐπειδὴ τούτων μέν ἐστι ῥέον τε καὶ σαφὲς καὶ ὁμαλόν, καί, ὅπου ἐστὶν ἀνάγκη, βαθυνόως πεφρασμέ-

νον καὶ ἔχον τήν τε σύνταξιν καὶ τὴν ῥητορικὴν τέχνην φυσικὴν καὶ ἀνεκζήτητον, οἷον ἦν ἐν χρήσει ἐν Ἀττικῇ κατὰ τὸν 5ον πρὸ Χριστοῦ αἰῶνα, πρίν γε δὴ τοὺς σοφιστὰς διαφθεῖραι αὐτό, τὸ δὲ τοῦ «Προοιμίου» πρὸς τῇ τραχείᾳ ἐκφράσει καὶ πλῆρές ἐστι περιόδων ἀπεράντων καὶ περιπεπλεγμένων διὰ πολλῶν μετοχῶν ἀπολύτων καὶ ἕνεκα τούτων δυσπαρακολουθήτων καὶ ἔστιν ὅπου δυσνοήτων, περιέχει τε λέξεις ἰωνικάς, ἃς ἠρύσατο ὁ νοθευτής, ὅτε τὸ «Προοίμιον» συνέταττεν, ἐκ τῆς ἀναγνώσεως τοῦ Ἡροδότου καὶ ἄλλων ἰωνιστὶ γραψάντων συγγραφέων. Τοιαῦται δέ εἰσι τὸ «ἐνεόχμωσε» (κεφ. Προοιμίου 12,2), ἀνθ' οὗ ὁ γνήσιος Θουκυδίδης χρῆται τῷ «νεωτερίζω», καὶ τὸ «ὁμαιχμία» (κεφ. 18,3), ἀνθ' οὗ ἐν τοῖς γνησίοις τόποις τοῦ Θουκυδίδου ὑπάρχει τὸ «ξυμμαχία». Καὶ τὸ μὲν «ἐνεόχμωσε» ἀπαντᾷ ἅπαξ μόνον ἐν τῷ σημειωθέντι τόπῳ τοῦ «Προοιμίου», ἐν ᾧ τὸ «νεωτερίζω» ἀπαντᾷ εἴκοσι τρεῖς φοράς, τὸ δὲ «ὁμαιχμία», ὡς καὶ τὸ ἐν Θουκυδ. Γ', 58, 4 παρείσακτον «ὁμαίχμοις» ἐπίσης ἅπαξ, εν ᾧ ἐν τοῖς γνησίοις τόποις τὸ μὲν «ξυμμαχία» ἑκατὸν ἓξ φοράς, τὸ δὲ «ξύμμαχος» περὶ τὰς πεντακοσίας». Χρῆται δὲ προσέτι ὁ νοθευτὴς ἐν τῷ «Προοιμίῳ» καὶ ποιητικαῖς λέξεσιν, ἀνθ' ὧν ὁ γνήσιος Θουκυδίδης ἔχει ἄλλας ἰσοδυνάμους πεζάς, ὡς τὸ «ἔπλῳζον» (κεφ. 13,5), ὃ ἅπαξ μόνον ἐν τῷ τόπῳ τούτῳ φέρεται, ἐν ᾧ τὸ ἰσοδύναμον πεζὸν καὶ ἀττικὸν «πλέω» ὑπὲρ τὰς 200 φοράς. Πρὸς δὲ ἐν τῷ «Προοιμίῳ» ἀπαντῶσι λέξεις οὐδαμοῦ παρ' ἄλλοις συγγραφεῦσιν ἀπαντῶσαι, οἷαί εἰσι τὸ «σιδηροφορεῖσθαι» (Α', 5, 3 καὶ 6,1), τὸ «ἀμνηστούμενα» (Α', 20,3) καὶ τὸ ἀνωτέρω μνημονευθὲν «ἔξω» (Α', 9,5 καὶ 10,4) μετ' ἀσυνήθους παρ' Ἀττικοῖς σημασίας κείμενον. Πάσας ταύτας τὰς ἀνωμαλίας καὶ τοὺς ξενισμοὺς ὡς πρὸς τὴν Ἀττικὴν γλῶσσαν οὐ δυνατὸν εἶναι τυχαίους οὐδὲ προέρχεσθαι ἐκ τῆς χειρὸς τοῦ Θουκυδίδου· εἰ γὰρ οὗτος ἐχρήσατο τούτοις, ἐχρήσατο ἂν καὶ ἐν τοῖς γνησίοις μέρεσι τῆς ἱστορίας αὐτοῦ, ἅ γε δὴ πολλῷ πλειονά εἰσι τῶν νόθων· ἴσμεν δὲ τὸν νοθευτὴν κατὰ τὰ εἰρημένα ἡμῖν ἐν τῇ περὶ τῆς νοθεύσεως τοῦ Θουκυδίδου μελέτῃ ἀνατραφέντα τε ἔξω τῆς Ἀττικῆς καὶ οὐ κεκτημένον τελέως τὴν ἐν αὐτῇ λαλουμένην τε καὶ γραφομένην διάλεκτον. Οἱ εὑρίσκοντες δὲ ὁμοιότητά τινα ἐν τῷ ὕφει τοῦ «Προοιμίου» πρὸς τὸ τῶν γνησίων μερῶν τοῦ Θουκυδίδου ἐνθυμηθήτωσαν ὅτι παντὸς συγγραφέως τὸ ὕφος δυνατόν ἐστι μιμηθῆναι ὑπ'

ἄλλου, ἐὰν μὴ τελέως, τοὐλάχιστον μέχρι σημείου πολὺ προσεγγίζοντος τῷ γνησίῳ, ὅταν μάλιστα ἡ μίμησις γίγνηται ὑπὸ συγχρόνου ἢ ζῶντος ὀλίγα ἔτη μετὰ ταῦτα. Καὶ ὅμως ὁ νοθευτὴς πολὺ ἀπέχει τοῦ ἐπιτετυχηκέναι ἐν τῇ μιμήσει· αἱ διαφοραὶ γὰρ τοῦ ὕφους αὐτοῦ πολλαί εἰσιν, ἅσπερ συντόμως ἀνωτέρω ἐξέθεμεν.

Τρίτον δ' ἀποδείκνυται τὸ «Προοίμιον» νόθον ἐκ τοῦ ἠθικοῦ χαρακτῆρος τοῦ ἀποδιδομένου ἐν αὐτῷ τῷ Θουκυδίδῃ, ὅστις γε διαφέρει πολὺ τοῦ ἠθικοῦ χαρακτῆρος τοῦ ἐμφαινομένου ἐν τοῖς γνησίοις μέρεσι τοῦ ἱστορικοῦ· ἐν μὲν γὰρ τῷ «Προοιμίῳ» φαίνεται ὁ Θουκυδίδης ὢν φιλόκαυχός τις καὶ φίλαυτος ἐν μεγάλῳ βαθμῷ· ποιεῖται γὰρ ὑπὸ τοῦ νοθευτοῦ πειρώμενος ἀποδεῖξαι ἐν αὐτῷ τὴν ἱστορίαν αὐτοῦ οὖσάν τε τὴν ἀξιολογωτάτην τῶν ἱστοριῶν καὶ ἔχουσαν τὴν πλείστην ἀξίαν, καὶ πρὸς δὲ συγγεγραμμένην ἀκριβεστέρως πασῶν τῶν συγγραφεισῶν πρὸ αὐτῆς, ὧν τοὺς συγγράψαντας λέγει δέξασθαι ἀβασανίστως πᾶν ὅ,τι ἀκούοιεν, καὶ προσέτι συντεθεῖσαν αὐτὴν πρὸς τὸ εἶναι ἐσαεὶ κτῆμα ὠφέλιμον τοῖς ἀναγινώσκουσι (κεφ. 20), καὶ οὐχ ὥς τινα συγγραφὴν τῶν πρὸ αὐτοῦ συγγραψάντων συγγραφεῖσαν πρὸς ἀκρόασιν μόνον καὶ τέρψιν ἐφήμερον· καὶ φθονερὸς δέ· βουλόμενος γὰρ ἀμαυρῶσαι τὴν ἀγαθὴν φήμην τοῦ Ἡροδότου, ἧς ἀπέλαυεν ὡς χαρίεις τε καὶ τερπνὸς ἱστορικός, ἵνα δὴ σὺν τῇ ἀμαυρώσει αὐτοῦ ἐλαττώσειε τὴν ἀξίαν τῶν Περσικῶν πολέμων, κατηγορεῖ αὐτοῦ, εἰ καὶ μὴ ὀνομαστὶ σεμνότητός γε ἕνεκα, ὡς ἀβασανίστως καὶ ἀνακριβῶς συγγράψαντος ὅσα ἤκουσε, περὶ οὗ φέρει καὶ δύο ἀποδείξεις τὴν μὲν περὶ τῆς ψήφου τῶν βασιλέων τῆς Σπάρτης, τὴν δὲ περὶ τοῦ Πιτανάτου λόχου. Ἐν τούτοις ὅμως, εἰ καὶ πρόκειται περὶ πραγμάτων σμικροτάτης σημασίας, ὁ ἀβασανίστως συγγράψας οὐκ ἔστι δήπου ὁ Ἡρόδοτος, ἀλλ' αὐτὸς ὁ γράψας τὸ «Προοίμιον», ὅστις γε πρὸς ἄλλαις πολλαῖς ἐν ἄλλοις τόποις γραφείσαις ἀνακριβείαις ἔγραψεν ἔν τε τῷ «Προοιμίῳ» καὶ ἐν τῷ ἕκτῳ βιβλίῳ τοῦ Θουκυδίδου κεφ. 54-59 καὶ τὰ περὶ τοῦ φόνου τοῦ Πεισιστρατίδου Ἱππάρχου διαστρέφων τὴν ἀλήθειαν τῶν γεγονότων ἔκ τε ἀμαθείας γε καὶ πνεύματος φίλου τῶν ἀριστοκρατικῶν, οἵ γε ἀπ' ἀρχῆς ἠθέλησαν ἀμαυρῶσαι τὴν φιλόπατριν πρᾶξιν τῶν Τυραννοκτόνων δι' αἰσχρῶν συκοφαντιῶν. Οἱ μὲν γὰρ βασιλεῖς τῆς Σπάρτης, ἅτε δὴ βασιλεῖς, πιθανώτερόν ἐστιν ὅτι εἶχον ἕκαστος ὡς γέρας δύο ψήφους καὶ οὐ μίαν, τοῦθ' ὅπερ καὶ ὁ Λουκιανὸς ἐπιβεβαιοῖ ἐν Ἁρμον. κεφ.

3, εἰ δὲ ὁ Ξενοφῶν, ἢ ὁστισδήποτέ ἐστιν ὁ τὴν Πολιτείαν τῶν Λακεδαιμονίων συγγράψας, παραλείπει μνείαν ποιήσασθαι τούτου τοῦ γέρατος. αὐτὸς καὶ ἄλλας τῶν βασιλέων τῆς Σπάρτης τιμὰς παρέλιπεν ἀναγράψαι. Ὁ δὲ Πιτανάτης λόχος ἴσως, ὅτε ἔγραφεν ὁ νοθευτὴς τὸ «Προοίμιον», ἦν κατηργημένος ἢ ἄλλως ὠνομασμένος, ἀλλὰ μᾶλλον πιστεύομεν ὅτι ὁ νοθευτὴς κακῶς ἐπέπυστο τοῦτο. Ὅτι γε μέντοι ὑπῆρξε λόχος Πιτανάτης ἐν Σπάρτῃ κληθεὶς οὕτως ἀπὸ τῆς Πιτάνης, ἑνὸς τῶν δήμων αὐτῆς, ἀποδείκνυσι καὶ ἡ τιμητικὴ ἐπὶ τῶν Ῥωμαϊκῶν χρόνων ἀνανέωσις τοῦ ἐν λόγῳ Πιτανάτου λόχου (Ἡρωδιαν. Δ', η', 3). Καὶ ἄλλως, εἰ ταῦτα ἦσαν ὄντως ἡμαρτημένως ἀναγεγραμμένα ὑπὸ τοῦ Ἡροδότου, οὐκ ἐδικαιοῦτο ὁ νοθευτὴς καὶ μάλιστα αὐτός, ὃς δὴ πολλά γε ἀνακριβῆ ἔγραψε καὶ ὑπέβαλε τῷ Θουκυδίδῃ, ἐπειδὴ πάντες οἱ ἱστορικοὶ περιπίπτουσιν εἰς σφάλματα καὶ δι' ἄλλους λόγους καὶ διότι τὸ ἁμαρτανειν ἀνθρώπινον. καθάψασθαι τῆς ἀξιοπιστίας μεγάλου ἱστορικοῦ, οἷος ἦν ὄντως ὁ Ἡρόδοτος, ὃς δὴ καὶ ἐπιμοχθοτέρας καὶ δαπανηροτέρας τῶν τοῦ Θουκυδίδου περιηγήσεις ἀνέλαβεν ἐκ τοῦ μόνου πόθου τοῦ μὴ ἀφανισθῆναι ὑπὸ τῆς λήθης καὶ τῶν χρόνων τὰς λαμπρὰς πράξεις τῆς νίκης, ἣν ἤρατο ἡ μικρὰ Ἑλλὰς ἐκ τῆς πάλης, ἣν συνῆψε μετὰ τῆς γιγαντιαίας Ἀσίας. Ἐποίησε δὲ τοῦτο λαμπρῶς· σὺν τῇ ἀναγραφῇ γὰρ τῶν ἡρωϊκῶν ἐκείνων ἀγώνων ἠθέλησεν ἅμα εὐρῦναι καὶ τὰς ἱστορικὰς καὶ γεωγραφικὰς γνώσεις τῶν συγχρόνων ἑαυτῷ ὁμοεθνῶν, τῶν Ἑλλήνων. Ἀλλ' ἐπειδή γε ὁ νοθευτὴς προέθετο ἀποδεῖξαι τὸν Πελοποννησιακὸν πόλεμον «ἀξιολογώτατον πάντων τῶν πολέμων Ἑλληνικῶν τε καὶ βαρβαρικῶν», ἦν αὐτῷ ἀνάγκη καθάψασθαι τῆς ἀξιοπιστίας τοῦ Ἡροδότου καὶ τοῦ Ὁμήρου, καὶ μειῶσαι οὕτω τὴν αἴγλην τὴν περιβάλλουσαν τὸν Τρωϊκὸν καὶ τοὺς Περσικοὺς πολέμους, τοὺς λαμπροτάτους γενομένους τῶν Ἑλληνικῶν ἀγώνων, ὧν τὸν μὲν ᾖσεν ὁ θεῖος Ὅμηρος διὰ τῶν μεγαλοφθόγγων ἐπῶν αὐτοῦ, τοὺς δὲ ὕμνησε μετὰ πολλῆς τέρψεως καὶ ἡδύτητος ὁ τερπνότατος τῶν ἱστορικῶν Ἡρόδοτος. Ἀλλ' ἡ πείρασις αὕτη τοῦ νοθευτοῦ ὑπῆρξε ματαία· οὔτε γὰρ τοὺς ἑαυτοῦ συγχρόνους ἔπεισεν, οὔτε τοὺς μετὰ ταῦτα Ἕλληνας, ὥσπερ ἤδη εἴδομεν. Ὁ δὲ γνήσιος Θουκυδίδης τοσοῦτον ἀπέχει τοῦ αὐτεπαίνου καὶ τοῦ τύφου τῆς φιλαυτίας, ὥστε ἐν μὲν τοῖς ἑπτὰ στίχοις τοῖς ἀποτελοῦσι τὴν πρώτην περίοδον τοῦ «Προοιμίου»

τὴν καὶ μόνην γνησίαν οὖσαν αὐτοῦ, παρίστησιν ἑαυτὸν ὡς ἄγνωστόν τινα Ἀθηναῖον, τοῦτο γὰρ δύναται τὸ «Θουκυδίδης Ἀθηναῖος» ἀνάρθρως ἐξενενηγμένον· ἐν δὲ τῇ ἀναγραφῇ τῆς ἁλώσεως τῆς Ἀμφιπόλεως βιβλ. Δ', 104, ὅπου ἦν εὔκαιρον καὶ εὔλογον ὑπερασπίσαι ἑαυτὸν ἀπὸ τῆς ἀδίκου κατηγορίας, ὅτι προὔδωκε τὴν ἑαυτοῦ πατρίδα μὴ σπεύσας ἐγκαίρως, ἔτυχε γὰρ στρατηγῶν τότε περὶ τὴν Θάσον σὺν ναυσί τισιν, εἰς βοήθειαν τῆς ῥηθείσης πόλεως, οὐ μόνον ἀπέσχεν αὐτοῦ, ἀλλ' οὐδὲ μνείας, μεγαλοφρόνως φερόμενος, ἠξίωσεν αὐτήν. Ἐν ἀμφοτέροις δὲ τοῖς τόποις τούτοις, ὥσπερ καὶ ἐν Δ', 106, ὅπου ποιεῖται μνείαν ἑαυτοῦ, ποιεῖ τοῦτο ἐν τρίτῳ προσώπῳ ὡς περὶ ξένου τινὸς τοῦ λόγου ὄντος· οὐδαμοῦ δὲ τῆς ἱστορίας αὐτοῦ εἰσάγει ἑαυτὸν κρίνοντά τι ἢ λέγοντα ἐξ ἑαυτοῦ, ἀλλὰ πανταχοῦ ἀναγράφει τὰ πράγματα ἀντικειμενικῶς καὶ ποιεῖ αὐτὰ φθεγγόμενά τε καὶ κρίνοντα περὶ ἑαυτῶν. Πάντα δὲ τὰ μέρη, ἐν οἷς φαίνεται ὁ Θουκυδίδης ἐκφέρων πρωτοπροσώπως κρίσιν τινὰ ἢ λέγων τι, παρείσακτά εἰσιν, ὡς ὑποδηλοῦνται ἐν τῇ περὶ νοθεύσεως τοῦ Θουκυδίδου μελέτῃ ἡμῶν, πλὴν ἴσως τοῦ ἐν Α', 23, 5 «προὔγραψα»· ἀλλὰ καὶ τοῦτο οὐχ ὅλως ἀπίθανόν ἐστι γεγράφθαι τὸ πρῶτον ἐν τρίτῳ προσώπῳ «προὔγραψε» καὶ ἔπειτα μεταβληθῆναι ὑπὸ τοῦ νοθευτοῦ εἰς πρῶτον πρόσωπον· ἐν τρίτῳ γὰρ προσώπῳ ἕνεκα τοῦ παρεμβληθέντος μεγάλου τεμαχίου τοῦ «Προοιμίου» τὸ ὑποκείμενον αὐτοῦ οὐκ ἐνοεῖτο εὐχερῶς ἐκ τῶν προηγουμένων.

Τέταρτος δὲ καὶ αὐτὸς σπουδαῖος λόγος τῆς νοθείας τοῦ «Προοιμίου» ἐστὶν ὅτι, ἐπειδὴ ὁ μὲν Θουκυδίδης ἐδολοφονήθη κατὰ τὴν εἰς Ἀθήνας κάθοδον αὐτοῦ, πρὶν δυνηθῆναι πατῆσαι τὸ ἔδαφος αὐτῶν, τῷ 404 π. Χ., ἐκ τῆς ἐξορίας ἐπανερχόμενος, τὸ δὲ «Προοίμιον» συνταχθέν, ὡς φαίνεται ἐκ τῶν φράσεων αὐτοῦ, μετὰ τὸ τέλος τοῦ πολέμου μετὰ τῶν ἄλλων παρεισάκτων χωρίων, ὧν δύο μὲν δεικνύασι διαμονήν τινα τοῦ Θουκυδίδου ἐν Ἀθήναις μετὰ τὸ πέρας τοῦ πολέμου, ἓν δέ, τὸ Β', 100, 2, ὅτι οὗτος ἔζη μετὰ τὸ 399 ἔτος π. Χ., χρονικῶς ἀδύνατόν ἐστι γεγράφθαι ὑπὸ τῆς χειρὸς τοῦ Θουκυδίδου. Ὅτι δ' εὐθὺς μετὰ τὴν κάθοδον τοῦ Θρασυβούλου ἐπέστρεφεν εἰς Ἀθήνας ὁ Θουκυδίδης, μαρτυρεῖται ὑπὸ τοῦ νοθευτοῦ λέγοντος ἐν τῷ Ε' βιβλίῳ τοῦ ἱστορικοῦ κεφ. 26 ἐκ προσώπου τοῦ Θουκυδίδου ὅτι οὗτος ἔμεινεν ἐξόριστος ἐξ Ἀθηνῶν μετὰ τὴν εἰς Ἀμφίπολιν στρατηγίαν

αὐτοῦ εἴκοσιν ἔτη, ἡ στρατηγία δ' αὕτη τοῦ Θουκυδίδου ἐγένετο τῷ ὀγδόῳ ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου κατὰ τὸν χειμῶνα τοῦ 424 ἔτους π. Χ. Πιθανὸν δ' ἐστὶν ὅτι τὴν εἴδησιν ταύτην ἔμαθεν ὁ νοθευτὴς εἴτε ἐκ τῆς οἰκογενείας τοῦ Θουκυδίδου, εἰ μή τι μέλος ἦν αὐτῆς, εἴτε ἐκ τοῦ ψηφίσματος τοῦ Οἰνοβίου, δι' οὗ ὁ ἱστορικὸς ἀνεκλήθη εἰς Ἀθήνας. Καὶ ἄλλως δὲ ὁ χρόνος οὗτος φαίνεται ἐπιτηδειότερος πρὸς κάθοδον τοῦ Θουκυδίδου· κατελθόντος γὰρ τοῦ Θρασυβούλου εἰς Ἀθήνας ἀποκατέστη ἡ δημοκρατία καὶ ὁ βίος ἐν αὐταῖς ἐγένετο εἰρηνικός τε καὶ ἀσφαλής. Ὅτι δὲ ὁ Θουκυδίδης ἐδολοφονήθη κατὰ τὴν κάθοδον αὐτοῦ εἰς Ἀθήνας ῥητῶς μαρτυρεῖται ὑπὸ Παυσανίου τοῦ Περιηγητοῦ λέγοντος ἐν βιβλ. Α', 13, 11 «Οἰνοβίῳ δὲ ἔργον ἐστὶν ἐς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν· Ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην, καί οἱ δολοφονηθέντι, ὡς κατῄει, μνῆμά ἐστιν οὐ πόρρω πυλῶν Μελιτίδων»· ἣν εἴδησιν ὁ Παυσανίας πιθανὸν ὅτι ἐδανείσατο παρὰ Πολέμωνος τοῦ Περιηγητοῦ τοῦ γράψαντος περὶ τῶν ἐν Ἀκροπόλει τῶν Ἀθηνῶν ἀναθημάτων, ἐν οἷς ἔκειτο καὶ ὁ ἀνδριὰς τοῦ Οἰνοβίου ὁ ἐγερθεὶς ἴσως εἰς αὐτὸν ἐξ εὐγνωμοσύνης ὑπὸ μέλους τινὸς τῆς οἰκογενείας τοῦ Θουκυδίδου ἀντὶ τῆς χρηστῆς αὐτοῦ πράξεως, ἅτε κατορθώσαντος διὰ ψηφίσματος ἀπολυθῆναί τε τὸν ἱστορικὸν τῆς ἀδίκου κατηγορίας τῆς προδοσίας τῆς ἑαυτοῦ πατρίδος καὶ ἀνακληθῆναι εἰς αὐτὴν ἐπισήμως ἠθωωμένον. Ἐπειδὴ δὲ δύο τέκνα τοῦ Θουκυδίδου μνημονεύονται, εἷς μὲν υἱὸς Τιμόθεος καλούμενος, μία δὲ θυγάτηρ, ἧς ὄνομα οὐ λέγεται, ἐξ ὧν ὁ Τιμόθεος ἀνεφέρετο ὑπὸ τοῦ Πολέμωνος ἐν τῇ ἀναγραφῇ τοῦ ἀνδριάντος τοῦ Οἰνοβίου, οὐκ ἀπίθανον ὅτι οὗτος ἀνήγειρε τὸν ἀνδριάντα τοῦ Οἰνοβίου· ἴσως δὲ καὶ οὗτός ἐστιν, ὑποθεῖτό τις ἄν, ᾧ τινι ὁ χρόνος, ὃν ἡμεῖς ὡρίσαμεν τῆς ἐκδόσεως τοῦ ἔργου τοῦ Θουκυδίδου, μὴ ἀρέσκει, ὁ πρῶτος ἐκδοὺς τὸ ὑπὸ τοῦ πατρὸς αὐτοῦ ἀτελὲς ἀφεθὲν ἔργον ἕνεκα τῆς δολοφονίας, ἐπεὶ παρενέβαλεν εἰς αὐτό, ὅσα γε ἐθεώρησεν ἀναγκαῖα πρὸς συμπλήρωσίν τε καὶ καλλωπισμὸν αὐτοῦ μέρη. Καὶ οὕτω μέν, ἀληθές ἐστιν, νοεῖται ὁ λόγος, δι' ὃν ἐν τῷ «Προοιμίῳ» τοσαύτη κατεβλήθη σπουδὴ πρὸς τὸ παρασταθῆναι τὸν Πελοποννησιακὸν πόλεμον ὡς τὸν ἀξιολογώτατον πάντων τῶν πολέμων, καὶ διότι ὑπάρχουσι ξενισμοὶ καὶ ἀνωμαλίαι ἐν τῇ γλώσσῃ τῶν παρεισάκτων χωρίων· τῷ γὰρ υἱῷ τοῦ Θουκυδίδου ἅτε δὴ ἀνα-

τραφέντι πόρρω τῶν Ἀθηνῶν κατὰ τὴν φυγὴν τοῦ πατρὸς αὐτοῦ ἐν πολλαῖς ἄλλαις Ἑλληνικαῖς πόλεσι διαφόρους ἐχούσαις τοπικὰς διαλείπτους, οὐχ οἷόν τ' ἦν γενέσθαι ἐντελῶς καὶ ἀμιγῶς κατόχῳ τῆς Ἀττικῆς γλώσσης· ἀλλ' ἡμεῖς γε μᾶλλον κλίνομεν ὁρίσαι ἕνεκα χωρίων τινῶν παρεισάκτων καὶ λόγων ἱστορικῶν, οὓς δὴ ἐξέθεμεν συντόμως ἐν τῇ μελέτῃ ἡμῶν, χρόνον τῆς πρώτης ἐκδόσεως τοῦ Θουκυδίδου νεώτερον τῶν χρόνων τοῦ υἱοῦ αὐτοῦ Τιμοθέου, καὶ δέξασθαι ὡς πρῶτον ἐκδότην, εἴπερ γε δεῖ εἶναί τινα τῶν συγγενῶν τοῦτον, υἱωνόν τινα τοῦ ἱστορικοῦ.

Ἀλλ' ὅστις δήποτε ἦν οὗτος εἴτε συγγενὴς αὐτοῦ, εἴτε ἄλλος τις ξένος τῆς οἰκογενείας ὁ ἐπιτραπεὶς τοῦτο, πόρρω ἀπέχει τῆς τε διανοίας καὶ τῆς πολιτικῆς μορφώσεως καὶ πείρας καὶ τῆς λεκτικῆς τέχνης τοῦ Θουκυδίδου. Τοσαύτη δὲ ἐστὶν ἡ διαφορὰ μεταξὺ τοῦ ἱστορικοῦ καὶ αὐτοῦ, ὥστε ἐν τῇ ἁπλῇ ἀναγνώσει, ὁσάκις ἂν παρουσιάζωνται τὰ παρείσακτα χωρία, ὁ ἀναγνώστης αἰσθάνεται οὐ δυσχερῶς ὅτι ὁ γράφων ταῦτα οὐκ ἔστιν ὁ αὐτὸς καὶ ὁ γράψας τὰ γνήσια μέρη ἀνήρ. Δυστυχῶς δ'ὅμως περὶ τούτων οὐκ ἔχομεν παρὰ τῶν ἀρχαίων εἴδησίν τινα διδάσκουσαν ἡμᾶς ἀκριβῶς· τοὐναντίον δὲ ἀναφέρεται ἐν τῷ βίῳ τοῦ Θουκυδίδου τῷ ὑπὸ τοῦ Μαρκελλίνου συντετεταγμένῳ, ὅτι τινὲς τῶν Ἀλεξανδρίνων φιλολόγων ἀπεδίδοσαν τὴν συγγραφὴν τοῦ ὀγδόου βιβλίου τοῦ Θουκυδίδου τῇ θυγατρὶ αὐτοῦ. Φαίνεται ὅμως ὅτι καὶ ἡ ὕπαρξις αὐτῆς, ἐπειδήπερ οὐδὲ τὸ ὄνομα αὐτῆς λέγεται, ἐφηυρέθη, ἵνα ἀποδοθείη αὐτῇ τὸ ῥηθὲν βιβλίον, ὅπερ, ἐπειδὴ ἐστιν ἀτονώτερόν πως πεφρασμένον, ἐθεωρήθη ὑπό τινων σχολαστικῶν φιλολόγων, οἵτινές γε οὔτε τότε ἔλειπον οὔτε νῦν, ὡς ἔργον γυναικείας φύσεως. Τοῦτο συνάγεται ἐκ τῶν λόγων τοῦ χωρίου τοῦ Μαρκελλίνου, ἐν ᾧ μνεία τε γίνεται θυγατρὸς τοῦ Θουκυδίδου καὶ ἀποδίδοται αὐτῇ τὸ ὄγδοον βιβλίον, ὃ ἔχει ὧδε «Λέγουσι δέ τινες τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι καὶ μὴ εἶναι τοῦ Θουκυδίδου, ἀλλ' οἱ μέν φασιν εἶναι τῆς θυγατρὸς αὐτοῦ, οἱ δὲ Ξενοφῶντος· πρὸς οὓς λέγομεν ὅτι τῆς μὲν θυγατρὸς ὡς οὐκ ἔστι δῆλον· οὐ γὰρ γυναικείας φύσεως τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι· ἔπειτα, εἰ τοιαύτη τις ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν, οὐδ' ἂν τὴν ὀγδόην ἔγραψε μόνην, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἄν, τὴν οἰκείαν ἐκφαίνουσα φύσιν». Οὗτος δὲ μοὶ φαίνεται ὢν ὁ λόγος μᾶλλον, δι' ὃν οὐκ ἀπέδωκαν τὸ

ὄγδοον βιβλίον τοῦ Θουκυδίδου τῷ υἱῷ αὐτοῦ Τιμοθέῳ· ἠθέλησαν γὰρ δηλονότι χαρακτηρίσαι αὐτὸ ὡς ἔργον γυναικείας καὶ οὐκ ἀνδρείας φύσεως, ὅταν γε παραβάλληται πρὸς τὸ λοιπὸν ἔργον αὐτοῦ· καὶ οὐχ ὥς τινες εἰκάζουσιν ἐκ τοῦ παρατεθέντος χωρίου τοῦ Μαρκελλίνου, ὅτι ὁ υἱὸς τοῦ Θουκυδίδου οὐκ ἐπέζησεν αὐτῷ. Ὅτι δὲ ἡ εἴδησις ἡ πολύτιμος τοῦ Παυσανίου περὶ τῆς δολοφονίας τοῦ Θουκυδίδου, ὅτι αὕτη ἐγένετο κατὰ τὴν κάθοδον αὐτοῦ, πρὶν ἀξιωθῆναι αὐτὸν θεῖναι τὸν πόδα ἐπὶ τῆς προσφιλοῦς πατρίδος γῆς, ἀκριβής ἐστι, φαίνεται ἔκ τε τοῦ συνδεδέσθαι αὐτὴν μετὰ τῆς ἐρεύνης τοῦ Πολέμωνος περὶ τῆς αἰτίας τῆς ἀνεγέρσεως τοῦ ἀνδριάντος τοῦ Οἰνοβίου, ἐπὶ τοῦ βάθρου οὗ ἴσως ἐγίνετο καί τις μνεία περὶ τῆς δολοφονίας τοῦ Θουκυδίδου, καὶ ἐκ τοῦ εἶναι τὸ ἐν Ἀθήναις μνῆμα αὐτοῦ κενοτάφιον, κενὸν δηλον ὅτι τοῦ σώματος αὐτοῦ, ὡς ἀναφέρεται ἐν τῷ ὑπὸ τοῦ Μαρκελλίνου συγγεγραμμένῳ βίῳ αὐτοῦ. Ὁ μὲν γὰρ Πολέμων ἐγένετο ἀκριβὴς καὶ ἐπὶ ἐγγράφων λίθων στηριζόμενος ἐρευνητὴς τῆς ἱστορικῆς ἀληθείας, τὸ δὲ κενοτάφιον μετὰ ἰκρίου, ὅ οὐ γινώσκομεν ὅπως ἐτίθετο ἐπὶ τοῦ τάφου, ἐδήλου κατ' ἀρχὰς μὲν τὸν ἐκ ναυαγίας θάνατον, ἔπειτα δὲ πιθανῶς πάντα θάνατον γενόμενον ἐν θαλάσσῃ μετ' ἀπωλείας ἐν αὐτῷ τοῦ σώματος τοῦ τεθνεῶτος. Ἀμφίβολον δέ ἐστιν, εἰ τὸ ἐπιτάφιον τοῦτο σύμβολον ἦν γνώρισμα ἀττικὸν παντὸς κενοταφίου, καὶ ὅλως ἀνάληθες ὅτι ἦν καὶ αὐτῶν ἔτι τῶν ἐν ἐξορίᾳ ἀποθνησκόντων, ὥσπερ ἀναφέρεται παρὰ Μαρκελλίνῳ καὶ ἡ λίαν αὕτη ἡμαρτημένη γνώμη φιλολόγων τινῶν Ἀλεξανδρίνων, πρὸς οὕς, ὡς φαίνεται παρὰ Μαρκελλίνῳ, ἀντεπεξῆλθεν ὁ Δίδυμος, ὅς ὅμως, εἰ οἱ λόγοι αὐτοῦ ἀναγράφονται πιστῶς ὑπὸ τοῦ Μαρκελλίνου, ὁρμώμενος ἐκ τοῦ ὅτι ἦν ἀπηγορευμένον τὸ ἐγείρειν τοῖς ἐν ἐξορίᾳ ἀποθνήσκουσι μνήματα ἐν Ἀθήναις, συμπεραίνει ἐκ τοῦ ὑπάρχοντος ἐν αὐταῖς μνήματος τοῦ Θουκυδίδου ὅτι οὗτος κατῆλθεν εἰς Ἀθήνας καὶ αὐτοῦ ἐδολοφονήθη. Φαίνεται δ' οὕτως ἀγνοῶν ὅτι τὸ μνῆμα τοῦ Θουκυδίδου ἦν κενοτάφιον, ὅ γε πᾶς τις ἠδύνατο ἀνακληθεὶς ἐκ τῆς ἐξορίας καὶ μὴ προφθάσας ἕνεκα θανάτου κατελθεῖν εἰς τὴν ἑαυτοῦ πατρίδα ἔχειν ἐν αὐτῇ· τοῦθ' ὅπερ συνέβη καὶ τῷ Θουκυδίδῃ.

Ποῦ δὲ ὁ ἱστορικὸς ἐδολοφονήθη, οὐ γινώσκομεν· οὐδεμίαν γὰρ περὶ τούτου ἔχομεν παρὰ τῶν ἀρχαίων εἴδησιν ἀκριβῆ, διότι οἱ μὲν αὐτῶν ἐτίθεσαν τὴν δολοφονίαν ἐν Θράκῃ, ἐν οἷς καὶ ὁ Πλούταρχος

ἐν τῷ βίῳ Κίμωνος, ὁπόθεν φασὶ τὰ ὀστᾶ αὐτοῦ κομισθῆναι κατόπιν εἰς Ἀθήνας, οἱ δὲ ἐν αὐταῖς ταῖς Ἀθήναις, ἄλλοι δ' ἐν Ἰταλίᾳ. Ὅταν δ' ὅμως λάβῃ τις ὑπ' ὄψιν τοῦτο μὲν ὅτι, εἰ ἐγένετο ἡ δολοφονία ἐν Ἀθήναις, τὸ γεγονὸς ἐγνώσθη ἂν μετ' ἀκριβείας ὑπὸ τῆς ἱστορίας καὶ οὐκ ἂν ἀφῆκε χώραν εἰς διαφόρους ὑποθέσεις περὶ τοῦ εἴδους τε τοῦ θανάτου τοῦ ἱστορικοῦ καὶ τοῦ τόπου τῆς δολοφονίας αὐτοῦ, ἦν γὰρ ὁ Θουκυδίδης ἐκ τῶν πρώτων Ἀθηναίων πολιτῶν διακρινόμενος ἐπὶ γένει τε καὶ πλούτῳ, δι' ἅπερ γε καὶ στρατηγὸς ἐξελέγη ὑπὸ τῶν Ἀθηναίων· τοῦτο δὲ ὅτι ἐπὶ τοῦ κενοταφίου ἦν ἰκρίον, δύναται ὑποθέσθαι ὅτι ἐδολοφονήθη ἐν τῷ πλοίῳ, ἐφ' οὗ κατήει εἰς Ἀθήνας. Ὁ Θουκυδίδης γε οὖν πλουσιώτατος ὢν κατήρχετο εἰς Ἀθήνας ἔχων καὶ χρυσίον μεθ' ἑαυτοῦ οὐκ ὀλίγον, ὅπερ ἀναμφιλόγως ἐκίνησε τὰς κακούργους ψυχὰς τῶν ναυτῶν δολοφονῆσαί τε αὐτὸν καὶ ῥῖψαι εἰς τὴν θάλασσαν, ὃ δὴ μικροῦ δεῖν ἔπαθε πολλοῖς ἔτεσι πρότερον ὁ Λέσβιος ποιητὴς Ἀρίων, εἰ μή γε αἰσθόμενος τὴν κακὴν βουλὴν τῶν ναυτῶν ἔρριψεν αὐτὸς ἑαυτὸν ἐγκαίρως εἰς τὴν θάλασσαν καὶ κολυμβῶν ἐσῴζετο· ἐπειδή, ὥς γε φαίνεται ἐξ αὐτοῦ τοῦ πράγματος, ἦν ἄριστος κολυμβητής, ἡ δὲ ξηρά, ἀφ' οὗ μέρους ἔπεσεν εἰς τὴν θάλασσαν, οὐκ ἀπεῖχε πολύ. Ἴσως δὲ καὶ ναῦς τις ἄλλη διερχομένη ἐκεῖθεν ἀνείλκυσεν αὐτὸν καὶ ἔσωσεν· ἀλλ' οἱ ἀρχαῖοι, ὡς γνωστόν, ἄλλως διέπλασαν τὸ πάθημα τοῦτο τοῦ Ἀρίονος ἐμπλέξαντες θαυματουργίᾳ τελεσθείσῃ ὑπὸ δελφῖνος. Ὁ ἀκριβὴς μὲν οὖν χρόνος τοῦ θανάτου τοῦ Θουκυδίδου ἐστὶν ὁ ἐκ τῆς πολυτιμοτάτης εἰδήσεως τοῦ Παυσανίου συναγόμενος συνδυαζομένης γε δὴ μετὰ τῆς ἐν τῷ 26 κεφαλαίῳ τοῦ Ε' βιβλίου παρεχομένης ὑπὸ τοῦ νοθευτοῦ ὅτι ἡ φυγὴ τοῦ Θουκυδίδου διήρκεσεν εἴκοσιν ἔτη μετὰ τὴν εἰς Ἀμφίπολιν στρατηγίαν αὐτοῦ· τὸ εἰκοστὸν δὲ ἔτος μετὰ ταύτην τὴν στρατηγίαν ἐστὶ τὸ 404—403 π. Χ., ὃ ἐπειδὰν παραδεξώμεθα ὡς ὀρθόν, τοῦθ' ὅπερ ἐστὶν ὄντως, εὐθὺς τότε ἔχομεν σύμφωνον πρὸς αὐτὸ τὸ κεκαθαρμένον ἐκ παρεισαγμάτων κείμενον τοῦ Θουκυδίδου, ἐπειδὴ ἀπαλλάσσεται διὰ τῆς παραδοχῆς ταύτης χωρίων οὐδαμῶς ἀξίων τοῦ ἀληθοῦς Θουκυδίδου καὶ μετ' αὐτῶν καὶ τοῦ «Προοιμίου».

Ἀλλ' ὁ ἐκ τῶν κρινάντων τὴν μελέτην ἡμῶν κ. Ἐρνέστος Καλίγκας (Ernst Kalinka), ὁ τὴν κρίσιν ἔχων, ὥς γε καυχᾶται, ἀντικειμενικὴν καὶ οὐχὶ ὑποκειμενικήν, ἐφ' ᾧ ἄλλων κατηγορεῖ, τὴν παρου-

σίαν ἐν τῇ ἱστορίᾳ τοῦ Θουκυδίδου τούτων τῶν χωρίων βούλεται ἑρμηνεῦσαι ὡς προερχομένην ἐκ σημειώσεων αὐτοῦ τοῦ Θουκυδίδου γραφεισῶν μὲν πρὸς ἰδίαν χρῆσιν, ἐμβληθεισῶν δὲ μετὰ τὸν θάνατον αὐτοῦ ὑπὸ τοῦ ἐκδότου εἰς τὸ σῶμα τῆς ἱστορίας αὐτοῦ. Ἡ ἐξήγησις αὕτη γε μόλις ἂν ἦν παραδεκτή, εἰ τὰ χωρία ταῦτα ἔφερον μὲν τὸν γνήσιον χαρακτῆρα τόν τε ψυχικὸν καὶ τὸν λεκτικὸν τοῦ Θουκυδίδου, μὴ ἦσαν δὲ γεγραμμένα, ὡς ἀποδείκνυνται πολλὰ αὐτῶν, μετὰ τὸν θάνατον αὐτοῦ, γενόμενον, ὥσπερ ἀπεδείχθη ἀνωτέρω, τῷ εἰκοστῷ ἔτει μετὰ τὴν εἰς Ἀμφίπολιν στρατηγίαν αὐτοῦ. Καὶ ἄλλως δὲ παράδοξόν ἐστι τὸν Θουκυδίδην, εἰ ὄντως ἔζη μετὰ τὸ πέρας τοῦ πολέμου ἑπτὰ ἢ ὀκτὼ ἔτη, ὥσπερ συνάγεται ἔκ τινων παρεισάκτων χωρίων, ἃ δὴ συνέχεαν καὶ ἐτάραξαν τὴν βιογραφίαν αὐτοῦ παρασχόντα ἡμαρτημένας εἰκασίας, παῦσαι τὴν συγγραφὴν τῶν γεγονότων τοῦ πολέμου τῷ εἰκοστῷ πρώτῳ ἔτει αὐτοῦ ἐπὶ τῷ μόνῳ σκοπῷ τοῦ ἀποδεῖξαι τὸν Πελοποννησιακὸν πόλεμον ἀξιολογώτατον ὄντα πάντων τῶν προγεγενημένων πολέμων ἑλληνικῶν τε καὶ βαρβαρικῶν κατά τε τὸ μῆκος καὶ τὰ κατ' αὐτὸν γενόμενα κακά, καὶ οὕτως καυχήσασθαι ὡς συγγεγραφότα τὸν ἀξιολογώτατον, ὥσπερ προεῖδε, τῶν πολέμων. Τὸ «Προοίμιον» γάρ, ὡς ῥητῶς φαίνεται ἐν αὐτῷ, ἐγράφη, καθ' ἅπερ εἰρήκαμεν, μετὰ τὸ πέρας τοῦ πολέμου· ἐν ἄλλαις λέξεσιν ἔδει τὸν Θουκυδίδην, εἰ αὐτὸς ὁ γράψας τὸ «Προοίμιον», γράψαι αὐτό, εἴ γε ἦν ἀνάγκη, μετὰ τὴν συγγραφὴν τῶν πραγμάτων ὅλου τοῦ πολέμου καὶ μὴ διακόψαι τὸ νῆμα τῆς ἐξιστορήσεως φθάσας εἰς τὸ 21ον ἔτος τοῦ πολέμου ἕνεκα τοῦ συγγράψαι αὐτό· πλήν γε εἰ προεῖδεν ὅτι οὐ δυνήσοιτο ἱκέσθαι εἰς τὸ τέλος αὐτοῦ μέλλων ἀποθανεῖσθαι πρότερον εἴτε διὰ φυσικοῦ θανάτου εἴτε διὰ βιαίου. Ἀλλ' εἰ μὲν προεῖδε τὸν ἑαυτοῦ θάνατον ὅτι ἔσοιτο πρὶν δυνηθῆναι περᾶναι τὴν συγγραφὴν τοῦ ὅλου πολέμου, ἔδει αὐτὸν εἰπεῖν αὐτό, καὶ οὐ λέγειν συγγεγραφέναι αὐτὸν ὅλον οὐ συγγεγραφότα. Εἰ δ' ἀπέθανεν οὐ προϊδὼν αὐτόν, ὃ καὶ βεβαιότατον, οὐχ εὑρίσκει τις τὸν λόγον τῆς παρεμβολῆς τοῦ «Προοιμίου», οὐδὲ τοῦ 26 κεφ. τοῦ Ε΄ βιβλίου καὶ τῶν ἄλλων παρεισάκτων χωρίων μετὰ τὸ πέρας τοῦ πολέμου μὴ οὔσης τετελειωμένης τῆς ἐξιστορήσεως τῶν γεγονότων τοῦ ὅλου πολέμου. Δύναται μέν τις ἴσως εὑρεῖν ἀντειπεῖν τι τοῖς ἐνθυμήμασιν ἡμῶν τούτοις, ἀλλ' ἡμεῖς γε λέγομεν περὶ τῶν κανονικῶς συμβαινόντων τοῖς ἀνθρώποις. Καὶ ἄλλως δὲ ἡγούμεθα τὸ

«Προοίμιον», καὶ εἰ ἔτι περιεῖχεν ὀρθὴν τὴν σύγκρισιν, περιττόν, ἐπειδὴ ἐκ τῶν γεγονότων αὐτῶν ἔμελλέ κρίνειν ὁ ἀναγνώστης, εἰ ὁ Πελοποννησιακὸς πόλεμος ἦν «ἀξιολογώτατος πάντων» ἢ οὔ τῶν προγεγενημένων πολέμων ἑλληνικῶν τε καὶ βαρβαρικῶν. Εἰ δ' αὐτὸς ὁ Θουκυδίδης ἠθέλησε πραγματεύσασθαι περὶ τοῦ ζητήματος τούτου ἐν ἐκτάσει, ὥσπερ γίνεται ἐν τῷ «Προοιμίῳ», καλλίων τόπος ἦν ὁ μετὰ τὸ πέρας τῆς ἀναγραφῆς τῶν γεγονότων ὅλου τοῦ πολέμου, καὶ οὐχὶ ὁ ἐν τῇ ἀρχῇ αὐτῆς, ἐν ᾗ ὁ ἀναγνώστης οὐκ ἔστιν ἐν θέσει κρῖναι περὶ αὐτοῦ ὀρθῶς, ἅτε δὴ οὔπω γινώσκων αὐτόν. Οὐκ ἐνέλειπε δὲ τῷ Θουκυδίδῃ οὔτε νοῦς οὔτε κρίσις ὀρθή, ὥστε τιθέναι ἕκαστον πρᾶγμα ἐν τῇ ἁρμοδίᾳ θέσει, ὡς ἀποδεικνύασι πάντα τὰ γνήσια τῆς ἱστορίας αὐτοῦ μέρη.

Οὐκ ἔστι δὲ τὸ «Προοιμιον» τὸ μόνον χωρίον, ὃ παρανοήσας ὁ νοθευτὴς συνεκόλλησεν ἴδια ἑαυτοῦ συνθέματα, ἀλλ' ὑπάρχουσι καὶ ἄλλα οὐκ ὀλίγα, ἃ ὑπεδείξαμεν ἐν τῇ δημοσιευθείσῃ περὶ τῆς νοθεύσεως τοῦ Θουκυδίδου μελέτης ἡμῶν, καὶ ἐξ ὧν νῦν ἐξετάσομεν διὰ βραχέων τὸ κυριώτατον, ὃ εὑρίσκεται ἐν τῇ ἀρχῇ τοῦ ἕκτου βιβλίου καὶ ἔχει ὧδε· «Τοῦ δὲ αὐτοῦ χειμῶνος (416 π. Χ.) Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, εἰ δύναιντο, ἄπειροι ὄντες οἱ πολλοὶ τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους». Ἐνταῦθα, ὥσπερ ὁρᾷ ὁ ἀναγνώστης, ὁ Θουκυδίδης φησὶν ὅτι οἱ Ἀθηναῖοι τὸν χειμῶνα τοῦ δεκάτου ἕκτου ἔτους τοῦ πολέμου ἐψηφίσαντο ἐκστρατεῦσαι ἐκ νέου εἰς Σικελίαν μετὰ μειζόνων δυνάμεων τῶν πρότερον μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐκστρατευσασῶν καὶ ὑποτάξαι αὐτήν, εἰ δυνηθεῖεν, ἀγνοοῦντες οἱ πλείους τό τε μέγεθος τῆς νήσου καὶ τὸ πλῆθος τῶν ἐν αὐτῇ οἰκούντων Ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι ἀνελάμβανον πόλεμον οὐ πολλῷ μικρότερον τοῦ πρὸς τοὺς Πελοποννησίους. Ὁ νοθευτὴς ὅμως τοῦ Θουκυδίδου παρανοήσας ὅ,τι λέγει ὁ Θουκυδίδης, ἐνόμισε γὰρ τὸν ἱστορικὸν λέγων ὅτι οἱ πλείους τῶν Ἀθηναίων οὐκ ἐγίνωσκον τὸ πλῆθος τῶν οἰκούντων τὴν Σικελίαν ἐθνῶν Ἑλλήνων καὶ βαρβάρων, ἔλαβεν εἰς χεῖρας Ἀντίοχον τὸν Συρακούσιον καὶ ἀνθολογήσας, οὐχ ὥσπερ γέ τις

μέλισσα μελιτουργός, ἀλλὰ ξηρῶς καὶ ἀχαρίτως καὶ πολλάκις μετ' αὐτῶν τῶν λέξεων τοῦ ἱστορικοῦ τούτου παρὰ τὴν χρῆσιν τοῦ γνησίου Θουκυδίδου, κατεσκεύασεν ἓξ κεφάλαια, ἐν οἷς διηγεῖται ἡμῖν, τί νομίζετε; Τὰ περὶ τοῦ οἰκισμοῦ τῆς Σικελίας ἀπὸ τῶν μυθικῶν χρόνων μέχρι τῶν ἱστορικῶν, δῆλον ὅτι πόσα καὶ ποῖα ἔθνη κατῴκησαν τὴν Σικελίαν, ἐν οἷς συγκαταλέγει καὶ τοὺς Κύκλωπας, καὶ τοὺς καταβροχθίσαντας τοὺς ἑταίρους τοῦ ταλασίφρονος Ὀδυσσέως Λαιστρυγόνας!!! Περὶ τοῦ ἀριθμοῦ ὅμως τῶν κατοίκων τῆς Σικελίας καὶ πρὸ πάντων τῶν στρατιωτικῶν αὐτῶν δυνάμεων οὐδὲ «γρῦ» λέγει· καίτοι τοῦτό γε ἦν τὸ χρήσιμον εἰπεῖν αὐτόν, ἵνα δὴ μάθοι ὁ ἀναγνώστης τὸ ὑπὸ τῶν πολλῶν Ἀθηναίων ἀγνοούμενον. Ἀλλὰ μήπως τοῦτο ὁ γνήσιος Θουκυδίδης παρέλιπεν εἰπεῖν; Οὐ δῆτα· ὅταν γὰρ λέγῃ ὅτι οἱ Ἀθηναῖοι ἀνῃροῦντο διὰ τῆς εἰς Σικελίαν ἐκστρατείας πόλεμον οὐχ ὑποδεέστερον τοῦ πρὸς τοὺς Πελοποννησίους, δηλοῖ ὅτι αἱ στρατιωτικαὶ τῆς νήσου δυνάμεις, αἷς ἔμελλον συναντήσειν ἐκεῖ, μικρὸν ἀπεῖχον τῶν δυνάμεων τῶν Πελοποννησίων. Τοῦτο δ' ἦν τὸ χρήσιμον γινώσκειν τῷ ἀναγνώστῃ καὶ οὐ τὸ πῶς καὶ ὑπὸ τίνων ἐθνῶν κατῳκίσθη ἀρχαιόθεν ἡ Σικελία καὶ κατοικεῖται νῦν· δυνατὸν γὰρ πολλὰ μὲν ἔθνη καὶ μικρὰ καὶ μεγάλα κατοικεῖν χώραν τινά, ἀλλὰ διὰ τὸ μὴ ἔχειν στρατιωτικὰς δυνάμεις ἀξίας λόγου εἶναι εὐάλωτα ὑπὸ μικροῦ μὲν ἔθνους ἀλλὰ στρατιωτικῶς καλῶς συντεταγμένου. Οὐ βουλόμεθα μέντοι εἰπεῖν ὅτι οὐκ ἂν ἦσαν αὐτὰ χρήσιμα ὥς τις παρέκβασις παρεμπίπτουσα ἀναγραφόμενα, ἀλλ' ἔδει πρῶτον λεχθῆναι ὅ,τι μέλλοι ἀναπτύξειν καὶ ἑρμηνεῦσαι τὴν Θουκυδίδειον φράσιν, πρὸς διαφώτισιν ἥσπερ ὑποτίθεται ὅτι ἐγράφησαν. Ὅτι δὲ παρανοεῖ ὁ νοθευτὴς τὰς λέξεις τοῦ Θουκυδίδου, δῆλον καὶ ἐκ τῆς ἀρχῆς τοῦ ἕκτου κεφαλαίου, ἐν ᾧ ἀνακεφαλαιῶν τὰ ὑπ' αὐτοῦ γραφέντα λέγει· «Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν κατῴκει καὶ τοσήνδε οὖσαν αὐτὴν Ἀθηναῖοι στρατεύειν ὥρμησαν».

Ἀποδείκνυται δὲ παρείσακτον πᾶν τοῦτο τὸ μέρος (Βιβλ. Ϛ', 1,1-6,2) τὸ ἀρχόμενον δῆλα δὴ ἀπὸ τῶν λέξεων «Σικελίαν γὰρ» (κεφ. 1,1) καὶ λῆγον εἰς τὰς λέξεις «τοῖς προγεγενημένοις ξυμμάχοις» (κεφ. 6,2) πλὴν τοῦ ἀσυναρμόστου αὐτοῦ, ὃ ἤδη ἐδείξαμεν ἀνωτέρω, πρὸς ὅ,τι λέγει ὁ Θουκυδίδης καὶ τοῦ περιττοῦ αὐτοῦ πρὸς κρείττονα κατάληψιν τῶν λεγομένων αὐτόθι περὶ τῆς τολμηρᾶς τῶν

Ἀθηναίων βουλῆς τοῦ ἐκστρατεῦσαι εἰς Σικελίαν πρὸς κατάκτησιν αὐτῆς καὶ ἐκ τοῦ ὕφους προσέτι αὐτοῦ διαφόρου πρὸς τὸ γνήσιον τοῦ Θουκυδίδου ὄντος καὶ ἔχοντος λέξεις ἐν χρήσει οὔσας ἐν ἄλλῃ ἑλληνικῇ διαλέκτῳ ἢ τῇ ἀττικῇ, οἷον τὸ «ἐγγύτατα» ἀντὶ τοῦ «μάλιστα» κείμενον καὶ τὸ «τοῦ ἐχομένου ἔτους» ἀντὶ τοῦ «τοῦ ἐπιγενομένου ἔτους», ᾧ δὴ ῥήματι μόνῳ χρῆται ὁ Θουκυδίδης ἐπὶ χρονικῆς ἀκολουθίας τῶν ὡρῶν, ὧν, ὡς γνωστόν, τὸ θέρος καὶ ὁ χειμὼν ἀποτελοῦσι παρ' αὐτῷ τὸ ἔτος καὶ τὴν διαίρεσιν αὐτοῦ· καθάπερ γὰρ εἴπομεν, ὁ νοθευτὴς ἔξω τῆς Ἀττικῆς ἀνατραφεὶς οὐκ ἦν ἐντελῶς κάτοχος τῆς Ἀττικῆς χρήσεως τῶν λέξεων καί, ὅτε γράφων ἔχοι ἐνώπιον ἑαυτοῦ μὴ ἀττικόν τινα συγγραφέα, παρελάμβανε παρ' αὐτοῦ τὰς λέξεις, ὡς εἶχον παρ' αὐτῷ, μὴ μεταβάλλων δηλονότι αὐτὰς εἰς ἀττικάς. Παρέλαβε δ' αὐτὸς ταῦτα τὰ κεφάλαια τὰ τὸν οἰκισμὸν τῆς Σικελίας διηγούμενα, ὥσπερ ἀπέδειξαν πρὸ πολλοῦ ἄνδρες τινὲς σοφοί, ἐκ τῆς Σικελιώτιδος συγγραφῆς τοῦ Ἀντιόχου, ὃς ἦν, καθὰ πρὸ μικροῦ ἐγράψαμεν Συρακούσιος καὶ συνέγραψε τὴν ἱστορίαν αὐτοῦ ἐν ἰωνικῇ διαλέκτῳ. Τί δὲ πλεῖον χρήζει ἔχειν χωρίον τι, ἵνα ᾖ παρέμβλητον, ἢ ὅσον τοῦτο, ὃ καὶ ὕφος ἔχει ξένον τοῦ Θουκυδίδου καὶ περιεχόμενον ἀνεφάρμοστον πρὸς τὸ γνήσιον τοῦ ἱστορικοῦ τούτου, πρὸς ὃ ἐκολλήθη, ἵνα ἀναπτύξειέ τε καὶ ἑρμηνεύσειε; Τούτων οὖν οὕτως ἐχόντων πῶς οἷόν τ' ἐστὶ τὸν Θουκυδίδην γεγραφέναι τε τὸ «Προοίμιον» καὶ βούλεσθαι ἀποδεῖξαι ἐν αὐτῷ ὅτι ὁ Πελοποννησιακὸς πόλεμος γέγονεν ἀξιολογώτατος πάντων τῶν προγεγενημένων πολέμων ἑλληνικῶν τε καὶ βαρβαρικῶν διὰ πραγματων, ἃ συνέβησαν κατὰ τὴν διάρκειαν αὐτοῦ, καὶ ἃ δὴ οὐκ ἠδύνατό τις, ὅσον σοφὸς εἴη, γινώσκειν πρὸ τοῦ τέλους αὐτοῦ; πάντα γὰρ ταῦτα ἦσαν ἀπρόοπτα. τό τε μῆκος τοῦ πολέμου, ὅ τε λοιμὸς καὶ ἡ ἐν Σικελίᾳ παντελὴς τοῦ Ἀθηναϊκοῦ στρατοῦ ἐξολόθρευσις καὶ αἱ ἁλώσεις τῶν πόλεων καὶ αἱ ἐκλείψεις τινὲς τοῦ ἡλίου κατ' ἐκείνους γε τοὺς χρόνους καὶ οἱ σεισμοὶ καὶ αἱ φυγαὶ πολλῶν καὶ αἱ ἐρημώσεις πόλεών τινων καὶ οἱ οὐδέποτε γενόμενοι αὐχμοὶ καὶ οἱ ἀπ' αὐτῶν τεχθέντες λιμοί. Ὁ σεμνότατός γε μὴν Θουκυδίδης καὶ κριτικώτατος οὐκ ἦν τόσον μωρός, ὥστ' ἐθελῆσαι ἐν τῷ τέλει τοῦ πολέμου εἰπεῖν ὅτι προεῖδε πάντα ταῦτα ἐν τῇ ἀρχῇ τοῦ πολέμου, ἵνα γένοιτο καταγέλαστος. Πῶς δὲ ἠδύνατο διανοηθῆναι καὶ εἰπεῖν ἐν ἀρχῇ τοῦ πολέμου ἱστάμενος ὅτι ὁ Πελοποννησιακὸς οὗτος

πόλεμος μέλλοι ἔσεσθαι ἀξιολογώτατος πάντων τῶν πολέμων καὶ δὴ καὶ τῶν Περσικῶν, ἐν οἷς ἡ Ἑλλάς, εἰ νικηθείη, διέτρεχε τὸν κίνδυνον τοῦ ἀπολέσαι ἅπασαν τὴν ἑαυτῆς ἐλευθερίαν, ἥν γε διὰ νικῶν λαμπροτάτων καὶ ἀνελπίστων ἐν μεγίσταις μάχαις καὶ ἄγαν δυσαναλόγοις ἔσωσε καὶ δόξαν ἄφθιτον ἐκτήσατο, καὶ ἐξ ὧν περ αἱ Ἀθῆναι καὶ θαυμαστὴν ἐπίδοσιν ἔλαβον ἔν τε ταῖς τέχναις καὶ ἐπιστήμαις καὶ τῇ ποιήσει καὶ φιλοσοφίᾳ καὶ θαυμάζονται μέχρι τοῦ νῦν καὶ θαυμασθήσονται ἐς ἀεὶ διὰ πάντων τῶν αἰώνων; Ἀλλ' ὁ Θουκυδίδης γε ὁ γνήσιος εἶχεν, ὥσπερ πάντες οἱ Ἀθηναῖοι πολιτικοί τε καὶ ῥήτορες καὶ ποιηταὶ καὶ σοφοὶ καὶ ἄσοφοι τῶν τότε χρόνων καὶ τῶν μετέπειτα τὴν πρέπουσαν περὶ τῶν Περσικῶν πολέμων γνώμην, ὅτι δηλονότι ἦσαν ὁ ἐπιφανέστατος καὶ ἀξιολογώτατος τῶν πολέμων, ἐξ ὅσων περ οἱ Ἀθηναῖοι ἐπολέμησαν. Διὰ γὰρ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἔσωσαν, ὥσπερ πάντοτε ὑπὸ τῶν Ἑλλήνων ὡμολογεῖτο, πᾶσαν τὴν Ἑλλάδα καὶ μετ' αὐτῆς τὴν Εὐρώπην ἀπὸ τοῦ βαρβαρικοῦ ζυγοῦ· ἣν πρᾶξιν ἐθεώρουν δικαίως ὡς τίτλον τιμῆς καὶ χαρίτων ὀφειλομένων σφίσιν ὑπὸ τῶν ἄλλων Ἑλλήνων, καὶ ἀεὶ ἐν παντὶ καιρῷ προυβάλλοντο μεθ' ὑπερηφανίας, ὥσπερ πρὸ μικροῦ εἴπομεν. Ὅτι δὲ τοιαύτην γνώμην περὶ τῶν Περσικῶν πολέμων εἶχεν ὁ ἱστορικός, φαίνεται ἐκ τῶν λόγων, οὓς τίθησιν ἔν τε τῷ στόματι τοῦ μεγάλου Περικλέους περὶ αὐτῶν (Θουκυδ. Α΄, 144) καὶ τῷ τῶν πρέσβεων τῶν Ἀθηνῶν (Θουκυδ. Α΄, 73). Καὶ κατόπιν δὲ τοῦ Πελοποννησιακοῦ πολέμου οὐκ ἐπαύσαντο οἱ Ἀθηναῖοι θεωροῦντες τοὺς Περσικοὺς πολέμους ὡς τὸν ἐπιφανέστατον τῶν πολέμων, ὡς φαίνεται ἐκ πολλῶν χωρίων τοῦ Ἰσοκράτους, ὧν δύο παρέθεμεν ἀνωτέρω, καὶ τῶν ἐπιταφίων τῶν φερόντων τὰ ὀνόματα τοῦ Λυσίου καὶ τοῦ Πλάτωνος καὶ τοῦ Δημοσθένους. Τῷ νοθευτῇ δ' ὅμως οὐ συνέφερεν ἐπαινέσαι τοὺς ῥηθέντας πολέμους, ἐπεί γε τὸν Πελοποννησιακὸν ἔθηκεν ὑπεράνω πάντων τῶν πολέμων, δι' ὃ δὴ ἐν τῷ ἐπιταφίῳ λόγῳ, ὃν χαλκεύσας ἀπέδωκε τῷ μεγάλῳ Περικλεῖ (Θουκυδ. Β΄, 35-46), παρατρέχων αὐτοὺς παρὰ τὸ καθολικὸν ἔθος τῶν ῥητόρων στρέφει ἐπιτηδείως τὸν λόγον καὶ τὰ ἐγκώμια εἰς τὰς Ἀθήνας καὶ τοὺς συγχρόνους Ἀθηναίους· ἀλλὰ τῶν ἄγαν ἀναμφιβόλων ἐστὶν ὅτι λόγος ἐπιτάφιος εἰ ὄντως ἀπηγγέλλετο τοιοῦτος τῷ δευτέρῳ ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου ὑπὸ τοῦ Περικλέους, ἐν ᾧ σιωπῶνται τὰ ἀνδραγαθήματα τοῦ

Μαραθῶνος καὶ τῆς Σαλαμῖνος, οὐκ ἂν ἠκούσθη εὐαρέστως ὑπὸ τῶν Ἀθηναιων οὐδ' ἄνευ θορύβου καὶ διαμαρτυρίας ἐπὶ τῇ παραλείψει ταύτῃ.

Ἐκ πάντων οὖν τῶν λεχθέντων συνάγεται σαφῶς ὅτι ὁ Θουκυδίδης οὔτε ἐσκέψατο οὔτε ἠδύνατό ποτε σκέψασθαι καὶ εἰπεῖν ὅτι ὁ Πελοπον. πόλεμος μέλλοι ἔσεσθαι ἀξιολογώτατος πάντων τῶν προγεγενημένων καὶ δὴ καὶ τῶν Μηδικῶν· ἐγίνωσκε γὰρ καλῶς, εἴπερ τις καὶ ἄλλος, ὅτι ὁ πόλεμος οὗτος κριθήσοιτο διὰ μικρῶν μαχῶν ἐν ὀλίγοις ἔτεσι, καὶ οὐδέποτε ἦν δυνατὸν λαβεῖν αὐτὸν τὰς διαστάσεις καὶ τὴν σπουδαιότητα τῶν ἐνδόξων ἐκείνων καὶ μεγίστων πολέμων, καὶ ἔτι ὀλιγώτερον εἶπεν ἂν τοῦτο, ἵνα προσάψειεν ἑαυτῷ τιμήν τε καὶ κλέος ὥς γε συγγράψας τὸν ἐπιφανέστατον καὶ ἀξιολογώτατον τῶν πολέμων, ὅ γε μόνον ἀλαζών τις καὶ κενόφρων ἀνὴρ ἐποίησεν ἄν, ἀλλ' οὔτοι ὁ σεμνότατος καὶ σπουδαιότατος Θουκυδίδης, οἷος δὴ φαίνεται ὢν ἐκ τῶν γνησίων μερῶν τῆς ἱστορίας αὐτοῦ. Ὥστε οὐδ' ὁτιοῦν ἀμφιβάλλων τις πείθεται ὅτι τὸ μέρος τοῦ «Προοιμίου» ἀπὸ τῶν λέξεων «Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησι» (Θουκυδ. Α', 1,2) ἕως τῶν «Ταῦτα γὰρ πάντα μετὰ τούτου τοῦ πολέμου ἅμα ξυνεπέθετο» παρεμβέβληται ὑπὸ τοῦ νοθευτοῦ τοῦ καὶ πρώτου ἐκδότου τοῦ Θουκυδίδου καὶ ἀρχικῶς ἡ ἱστορικὴ συγγραφὴ τούτου εἶχε σεμνοπρεπῶς ὧδε: «Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου, ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον (κεφ. 23,4). Ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδάς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν· διότι δ' ἔλυσαν τὰς αἰτίας προύγραψε πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη (κεφ. 24). Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δὲ αὐτὴν Ταυλάντιοι κ.τ.ἑ.». Ἐπισημειωτέον ἐνταῦθα ὅτι καὶ αὗται αἱ λέξεις τοῦ Θουκυδίδου «Ἤρξαντο δὲ αὐτοῦ λύσαντες τὰς τριακοντούτεις σπονδὰς» δεικνύασι πρὸς ταῖς λεχθείσαις ἄλλαις πολλαῖς ἀποδείξεσιν ὅτι ὁ Θουκυδίδης ἀναφέρεται εἰς τοὺς

πρότερον γενομένους Πελοποννησιακοὺς πολέμους καὶ αὐτοὺς ἔχει ἐν νῷ, ὧν τὸν νῦν Πελοποννησιακὸν πόλεμον, τὸν καὶ γνωστότερον ὄντα ἐκείνων, τοῦτο γὰρ σημαίνει ἡ σύναρθρος αὐτοῦ λέξις «τὸν πόλεμον», θεωρεῖ τρόπον τινὰ ὡς συνέχειαν διακοπεῖσαν ὑπὸ τῶν τριακονταετῶν σπονδῶν, αἳ ἐγένοντο τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις μετὰ τὴν ἅλωσιν τῆς Εὐβοίας.

Πρὸ γὰρ τῶν ῥηθεισῶν σπονδῶν ὑπῆρχεν ἐμπόλεμος κατάστασις μεταξὺ τῶν Πελοποννησίων καὶ Ἀθηναίων, οἱ δὲ πόλεμοι οἱ γενόμενοι κατ' αὐτὴν ἦσάν γε δὴ ὡς πρὸς τὸν νῦν Πελοποννησιακὸν «προγεγενημένοι»· ἐπειδὴ δὲ ἐν ταῖς προηγουμέναις λέξεσι τῆς φράσεως «ἀξιολογώτατον τῶν προγεγενημένων» τῆς Θουκυδιδείου περιόδου ὁ λόγος ἐστὶ περὶ τοῦ γνωστοῦ πολέμου τῶν Πελοποννησίων καὶ Ἀθηθηναίων, ἀνάγκη πᾶσα, ὥσπερ εἴρηται ἐν τοῖς ἔμπροσθεν, ἐν πάσῃ γλώσσῃ «τοὺς προγεγενημένους πολέμους» εἶναι τοὺς πρότερον ἐκείνους μικροὺς πολέμους τοὺς γενομένους μεταξὺ τῶν Πελοποννησίων καὶ Ἀθηναίων. Ἐπειδὴ δὲ αὐτοὶ ὑπῆρξαν μικροί τε καὶ μικροῦ λόγου ἄξιοι, ὁ νῦν ἀρχόμενος πόλεμος παραβαλλόμενος πρὸς αὐτοὺς ἔμελλεν ἔσεσθαι «μέγας τε καὶ ἀξιολογώτατος τῶν προγεγενημένων». Ἐτεκμαίρετο δὲ τοῦτο ὁ Θουκυδίδης, ὡς αὐτὸς λέγει, «ὅτι (οἱ Πελοποννήσιοι καὶ Ἀθηναῖοι) ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον» πράγματα, ἃ οὐκ εἶχον, ὅτε ἐβάδιζον εἰς τοὺς «προγεγενημένους πολέμους» ἐπ' ἀλλήλους. Οὔτε γὰρ ἀκμάζοντες ἐβάδιζον παρασκευῇ τῇ πάσῃ οὔτε ἔχοντες συμμάχους τοὺς ἄλλους τῶν Ἑλλήνων. Ὀρθότατα ἄρα ἐτεκμαίρετο ὁ Θουκυδίδης περὶ τοῦ νῦν ἀρχομένου πολέμου ὅτι ἔσοιτο «μέγας τε καὶ ἀξιολογώτατος τῶν προγεγενημένων» πολέμων τῶν Πελοποννησίων καὶ Ἀθηναίων πρὸς ἀλλήλους. Τοὺς λόγους δὲ τοῦ ὀβελισμοῦ τῶν ξένων τοῦ Θουκυδίδου φράσεων «τὴν μὲν ἀληθεστάτην (κεφ. 23, 6) πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ — εἰς πόλεμον κατέστησαν» ἰδέτω ὁ ἀναγνώστης ἐν τῇ περὶ νοθεύσεως τοῦ Θουκυδίδου μελέτῃ ἡμῶν.

Νῦν δ' ἐρχόμεθα ἐξετάσοντες τὴν περιβόητον περιγραφὴν τοῦ περιβοήτου «λοιμοῦ» τοῦ ἐπιπεσόντος ἐν Ἀθήναις κατὰ τὴν ἀρχὴν τοῦ δευτέρου ἔτους τοῦ Πελοποννησιακοῦ πολέμου, ὅ ἐ. τοῦ 430 π. Χ. καὶ διαρκέσαντος μέχρι τοῦ χειμῶνος τοῦ ἕκτου αὐτοῦ, ὅ ἐ. τοῦ 426

π. Χ. μετὰ πολλῆς ὑφέσεως τῆς φθορᾶς κατὰ τὸ τρίτον καὶ τέταρτον ἔτος τῆς ἐμφανίσεως αὐτοῦ, ὡς φαίνεται παρὰ Θουκυδίδῃ ἐν βιβλ. Γ', 87, εἰ ἐστὶ γνησία τις τῆς χειρὸς τοῦ Θουκυδίδου περιγραφὴ ἢ τοῦ νοθευτοῦ χάλκευμα. Ὅτι μὲν νόσος τις ἐπιδημικὴ ἐπέσκηψεν ἐν Ἀθήναις τῷ δευτέρῳ ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου (430 π. Χ.) καὶ διήρκεσεν ὅλον ἐκεῖνο τὸ ἔτος καὶ τὸ ἀκόλουθον τρίτον τοῦ πολέμου (429 π. Χ.) καὶ ἐπεὶ ἐξησθένησε πολὺ κατὰ τὸ τέταρτον (428 π. Χ.) καὶ τὸ πέμπτον (427 π. Χ.), ἀνεφάνη αὖθις μετὰ δυνάμεως τὸ ἕκτον (426 π. Χ.) καὶ ἐξηφανίσθη κατὰ τὸ τέλος αὐτοῦ, οὐδεμία ὑπάρχει ἀμφιβολία, καθ' ὅσον καὶ ἐκ τῶν γνησίων χωρίων τοῦ Θουκυδίδου μαρτυρεῖται. Ὁποία τις ὅμως ἦν ἡ ἐπιδημία αὕτη, δυστυχῶς οὐκ ἔχομεν περιγραφήν τινα αὐτῆς γνησίαν, ἵνα κρίνωμεν ὀρθῶς. Ἡ ὑπάρχουσα γὰρ παρὰ Θουκυδίδῃ βιβλ. Β', 47,3—54,6, ὥσπερ ἀποδειχθήσεται ἐν τοῖς ἑπομένοις, σύνθεμά ἐστι τοῦ νοθευτοῦ. Πιθανὸν δ'ὅμως ἐξ ὅσων γράφει περὶ αὐτῆς οὗτος,ὅτι ἦν τυφοειδής τις πυρετὸς ἐξανθηματικός, ὁ τῶν στρατοπέδων καλούμενος, καὶ ἴσως ἀνάμικτος μετὰ τῆς εὐλογίας, νόσου, ἥτις μέχρι τοῦ νῦν ἐμφανίζεται μετὰ τοῦ τυφοειδοῦς πυρετοῦ ἐν Πειραιεῖ τε καὶ Ἀθήναις. Ἀλλ' οὐ φαίνεται γενομένη οἵα περιγράφεται ὑπ'αὐτοῦ,οὐδ'ὅσην ὑποθεῖτό τις ἂν ἐκ τῆς ἀναγνώσεως τῆς περιγραφῆς αὐτοῦ, ὅστις, ὡς καὶ ἐν τῇ μελέτῃ ἡμῶν εἴρηται, γράφων δύο ἢ τρεῖς γενεὰς μετὰ τὴν ἐπιδημίαν καὶ βουλόμενος δεῖξαι τὸν Πελοποννησιακὸν πόλεμον ἀξιολογώτατον πάντων τῶν προγεγενημένων πολέμων Ἑλληνικῶν τε καὶ βαρβαρικῶν, νομίζων δ' ὅτι ἀξιολογώτατος πόλεμος οὐκ ἔστιν ὁ ἐσχηκὼς μεγάλα καλὰ ἢ κακὰ ἐπακολουθήματα ἐπὶ τὰς τύχας ἔθνους τινός, οὐδ'ὁ καθ' ὃν ἐγένοντο τὰ λαμπρότατα κατορθώματα, ἀλλ' ὁ ἔχων μετὰ μεγάλου μήκους ἐπιδεῖξαι τὰ φοβερώτατα κακὰ καὶ δεινότατα γεγονότα (ἰδὲ«Προοιμίου» κεφ.23),παρέστησε τὴν νόσον ἐκείνην ἐπὶ τὸ φοβερώτερον καὶ ἐκάλεσε «λοιμόν»,ἐν ᾧ ὁ Θουκυδίδης ἐν πᾶσι τοῖς γνησίοις χωρίοις, καλεῖ αὐτὴν ἁπλῶς «νόσον». Ἵνα δὲ τοιαύτην παραστήσῃ γεγενημένην,δηλονότι «λοιμόν»,προσέθηκεν ἐν γνώσει γε αὐτοῦ καὶ πολλὰ ψεύδη, ὧν τὰ μέγιστά εἰσιν ἀναμφιβόλως ὅτι πολλοὶ νεκροὶ ἔμενον καθ' ὅλην τὴν διάρκειαν τῆς νόσου ἄταφοι (κεφ.50), τὰ δὲ τετράποδα καὶ ὄρνεα, ὅσα ἐσθίουσι νεκρῶν σώματα, ἢ οὐκ ἐπλησίαζον ἢ γευσάμενα αὐτῶν ἐφθείροντο ὑπὸ τῆς νόσου μολυνόμενα· καὶ ἀπόδειξις τούτου

ἦν ὅτι τῶν μὲν τοιούτων ὀρνίθων σαφὴς ἐξαφάνισις ἐγένετο κατὰ τὰ ἔτη τῆς ἐπιδημίας καὶ οὐχ ἑωρῶντο οὔτε περὶ τὰ νεκρὰ σώματα οὔτε ἀλλαχοῦ, οἱ δὲ κύνες καθίστασαν τὸ πρᾶγμα μᾶλλον αἰσθητόν· ἡ φθορὰ γὰρ αὐτῶν ὡς συζώντων δὴ τοῖς ἀνθρώποις ἦν καταφανής. Καὶ ὅτι οἱ Ἀθηναῖοι κατὰ τὸ διάστημα ἐκεῖνο τοῦ χρόνου τῶν πέντε ἐτῶν τοσοῦτον ἐξηχρειώθησαν, ὥστε πολλοὶ αὐτῶν ἐγκαταλείποντες τοὺς συγγενεῖς ὅλως ἀπεριποιήτους ἀπεμακρύνοντο αὐτῶν, ἵνα μὴ δὴ καὶ αὐτοὶ μολυνθῶσιν ὑπὸ τῆς νόσου. Καὶ ὅτι νεκροὶ πολλοὶ ἔκειντο ἐπ' ἀλλήλων καὶ ὅτι πολλοὶ τῶν ἀσθενῶν ἐκυλίοντο ἡμιθνῆτες περὶ ἁπάσας τὰς κρήνας ἐπιθυμίᾳ τοῦ ὕδατος· εἰ καὶ οὐ γινώσκομεν καλῶς, εἰ ἐν τοῖς χρόνοις ἐκείνοις ἦσαν ἐν Ἀθήναις πλὴν τῆς Ἐννεακρούνου καὶ ἄλλαι πολλαὶ κρῆναι. Ἐπὶ γὰρ Παυσανίου τοῦ περιηγητοῦ μία μόνη κρήνη ὑπῆρχεν ἐν Ἀθήναις, ἡ Ἐννεάκρουνος, φρέατα δὲ καθ' ὅλην τὴν πόλιν (Παυσαν. Ἀττικ. Α΄, 14, 1), οὗ αἱ λέξεις περὶ τούτου ἔχουσιν ὧδε· «Ἐς τὸ Ἀθήνησιν ᾠδεῖον, ἄλλα τε καὶ Διόνυσος κεῖται θέας ἄξιος· πλησίον δέ ἐστι κρήνη, καλοῦσι δὲ αὐτὴν Ἐννεάκρουνον οὕτω κοσμηθεῖσαν ὑπὸ Πεισιστράτου· φρέατα μὲν καὶ διὰ πάσης τῆς πόλεώς ἐστι, πηγὴ δὲ αὕτη μόνη». Ἀλλ' εἰ μὲν περὶ ἁπάσας τὰς κρήνας ἐκυλίοντο ἀσθενεῖς ἡμιθνῆτες καὶ ἀπέθνῃσκον ἐκεῖ τε καὶ ἐν ταῖς ὁδοῖς, τότε οὐ λέγει ὁ νοθευτὴς καὶ πῶς ὑδρεύοντο οἱ Ἀθηναῖοι, οἵ γε δὴ ἀφθόνου ὕδατος ἀεὶ εἶχον ἔνδειαν καὶ τοσοῦτον ἐφοβοῦντο, ὥς γε αὐτὸς λέγει, μὴ προσκολλήσαιντο τὴν νόσον. Καὶ ὅτι πολλοὶ τῶν πρὸς ταφὴν ἀναγκαίων σπάνει διὰ τὸ πολλοὺς τῶν συγγενῶν καὶ οἰκείων ἤδη θάψαι ἐτίθεσαν τοὺς νεκροὺς ἑαυτῶν ἐπὶ πυρῶν ξένων καὶ ἄλλοι ἐπὶ ἄλλων νεκρῶν καιομένων ἤδη, ὡσεὶ μηδεὶς τῶν συγγενῶν τούτων ἢ τῶν δούλων παρίστατο κατὰ τὴν καῦσιν. Καὶ ὅτι οἱ Ἀθηναῖοι ἕνεκα τοῦ ἀπὸ τῆς νόσου ἐπικρεμαμένου αὐτοῖς θανάτου τὸ ἡδὺ πανταχοῦ ἐπιζητοῦντες ἐτράπησαν εἰς ἀσωτίαν πολλὴν ἀναφανδὸν πολλὰς αἰσχρὰς καὶ ἀξιοποίνους πράξεις πράττοντες· ἔπραττον δ' αὐτὰς τοσούτῳ ῥᾷον, ὅσῳ γε, ὡς συνάγεται ἐκ τῶν λόγων αὐτοῦ, τὰ δικαστήρια ἐπέπαυντο κατ' ἐκείνην τὴν χρονικὴν περίοδον λειτουργοῦντα ἕνεκα τῆς δεινότητος τῆς νόσου, καὶ οὐκ ἤλπιζέ τις ζήσας μέχρι τοῦ γενέσθαι τὴν περὶ αὐτοῦ δίκην δώσειν τὴν πρέπουσαν τιμωρίαν. Καὶ ὅτι οὐδεὶς ἦν πρόθυμος προπονεῖν ὑπὲρ τοῦ δόξαντος καλοῦ, καὶ ὅτι πολλὴ κατέλαβε τοὺς Ἀθηναίους ἀσέβεια.

Ἀλλ' ἐξετάσωμεν νῦν τὴν περιγραφὴν λεπτομερέστερον ἐνδιατρίβοντες ἐπὶ τῶν μάλιστα ἀξίων παρατηρήσεως τόπων τοῦ κειμένου αὐτῆς. Ἀρχόμεθα δὲ ἀπὸ τῶν πρώτων λόγων τοῦ νοθευτοῦ ἐχόντων ὧδε· (Θουκυδ. Β', 47,3) «λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις, οὐ μέντοι τοσοῦτός γε λοιμὸς οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι». Ἀπὸ τῆς ἀρχῆς τῆς περιγραφῆς αὐτοῦ ὁ νοθευτὴς δηλοῦται ὅτι σκοπὸν ὑπεστήσατο ποιήσασθαι περιγραφήν τινα «λοιμοῦ» ὑπερβάλλοντος πάντας τοὺς πρότερον μνημονευομένους τοιούτους, μάλιστα δὲ τὸν κατὰ τὸν Τρωϊκὸν πόλεμον ἔξω τῶν τειχῶν τοῦ Ἰλίου συμβάντα ἐν τῷ ἑλληνικῷ στρατοπέδῳ· μὴ βουλόμενος δ' ὅμως προσάψαι αὐτῷ σπουδαιότητα, ὅσην ἀπεδίδοσαν αὐτῷ ὁ Ὅμηρός τε καὶ ἡ παράδοσις, οὐκ ὀνομάζει αὐτὸν ῥητῶς, ἀλλ' ὑποδηλοῖ λέγων «ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον»· ἄλλος γὰρ τόπος ἐν τοῖς πέριξ τῆς νήσου μέρεσι «λοιμὸν» σχὼν οὐδεὶς ὑπὸ τῆς ἱστορίας διαμνημονεύεται. Οὐ σημαίνει δὲ τὸ «περὶ Λῆμνον» τὸ «ἐν Λήμνῳ»· πλὴν γὰρ τῆς γραμματικῆς σημασίας τῆς φράσεως, ἥτις ἀντιτίθεται τῇ τοιαύτῃ ἑρμηνείᾳ, οὐδεμίαν ἄλλην περὶ τούτου εἴδησιν ἔχομεν, οὔτε ἱστορικοῦ, οὔτε ποιητοῦ, οὔτε σχολιαστοῦ. Εἰ γὰρ ὄντως ὑπῆρξεν ἐν Λήμνῳ λοιμός τις μέγας, ὁ σχολιαστής γέ τοι τοῦ Θουκυδίδου ἐποιήσατο ἂν μνείαν, καὶ ἄλλως ἐν Λήμνῳ μικρᾷ νήσῳ μόλις δυναμένῃ περιλαβεῖν περὶ τὰς τριάκοντα χιλιάδας κατοίκους, θνησιμότητά τινα ἐξ ἐπιδημίας οὐ δυνατὸν γεγενῆσθαι τοσαύτης σπουδαιότητος, ὥστε παραβληθῆναι πρὸς θνησιμότητα πόλεως ἐχούσης περὶ τὰς πεντακοσίας χιλιάδας, ὅσας γε περιεῖχον τότε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον αἱ Ἀθῆναι.

Μὴ ἐπιλανθανέσθω δὲ ὁ ἀναγνώστης ὅτι ὁ νοθευτὴς διὰ τῶν προσθηκῶν, ἃς ἐποιήσατο ἐν τῇ ἱστορίᾳ τοῦ Θουκυδίδου, σκοπὸν κύριον ἔχει, ὥσπερ ἤδη πολλάκις εἴπομεν, παραστῆσαι τὸν Πελοποννησιακὸν πόλεμον ὑπερβάλλοντα πάντας τοὺς ἄλλους καὶ τοῖς δεινοῖς τοῖς ἐπισυμβᾶσι κατ' αὐτόν. Πρὸς δὲ σημειούσθω ὅτι ὁ νοθευτὴς εἰθισμένος τῇ χρήσει τοῦ τύπου «νόσημα» μᾶλλον ἢ τῇ τοῦ «νόσος», ᾧ μόνῳ χρῆται ὁ Θουκυδίδης ἁπανταχοῦ τῶν ἀνοθεύτων μερῶν τῆς ἱστορίας αὐτοῦ, ἐξήνεγκε τὴν μετοχὴν «λεγόμενον», ἥτις ἐστὶν ἡ πρώτη λέξις τῆς περιγραφῆς αὐτοῦ, πρὸς ἐκεῖνον τὸν τύπον δηλονότι τὸ «νόσημα», ἐν ᾧ ὁ Θουκυδίδης εἶπεν ἂν κανονικῶς «λεγομένη». Οὐ φαίνεται δ'

οὖσα ἡ περὶ ἧς ὁ λόγος μετοχὴ ἐκ τῶν λεγομένων «ἀπολύτων», διότι τότε ἔδει εἰπεῖν τὸν γράψαντα οὐχ ἁπλῶς «ἐγκατασκῆψαι», ἀλλ' ἐγκατασκῆψαι αὐτήν», ἐξενεγκεῖν δηλονότι τὸ ἀπαρέμφατον μετὰ τοῦ ὑποκειμένου αὐτοῦ. Εἶτα ἐν τῷ 48 κεφαλαίῳ παρατηροῦμεν ὅτι παράδοξόν ἐστι πῶς τὸν Θουκυδίδην, εἴ γε ὄντως ἦν αὐτὸς ὁ περιγράψας τὴν νόσον, ἑαυτῷ μὲν φυλάσσειν τὴν περιγραφὴν αὐτῆς, τοῖς ἰατροῖς δὲ καὶ τοῖς λοιποῖς τῶν βροτῶν τὴν ἐξέτασιν καὶ εὕρεσιν τῶν αἰτίων, ὅθεν προῆλθεν. Ὁ Θουκυδίδης γε μὴν οὐκ ἦν παράλογος, ὥστε ἀξιοῦν αὐτὸς μὲν ὁ ἀδαὴς τῆς ἰατρικῆς περιγράψαι τὸν «λοιμόν», τουτέστι τὰ συμπτώματα αὐτοῦ ἐσωτερικά τε καὶ ἐξωτερικά, τοὺς δὲ ἰατροὺς τοὺς ἐπιστήμονας αὐτῆς ἐξετάσαι καὶ ἀναγράψαι μόνον τὰ αἴτια αὐτοῦ. Τοιαύτην γέ τοι ἀξίωσιν οὐκ ἦν δυνατὸν γενέσθαι ὑπ' ἀνθρώπου λογικωτάτου καὶ σωφρονεστάτου, οἷος δὴ ἦν ὁ γνήσιος Θουκυδίδης. Ὁ λόγος δέ, ὃν δίδωσιν ὁ νοθευτής, δι' ὃν ἐπιχειρεῖ περιγράψαι τὰ συμπτώματα τῆς νόσου, ἐλέγχει αὐτὸν ὅτι ἐν τοῖς χρόνοις, καθ' οὓς ἔγραφεν αὐτά, εἶχε πρὸ ὀφθαλμῶν ἰατρούς τε καὶ ἰδιώτας τῆς ἰατρικῆς τέχνης γεγραφότας ἤδη περὶ τῶν αἰτίων τῆς νόσου ἐκείνης, ἀλλ' οὐ καὶ περὶ τῶν συμπτωμάτων αὐτῆς. Τοῦτο δὲ φαίνεται σαφῶς ἐκ τοῦ Διοδώρου τοῦ Σικελιώτου Βιβλ. ΙΒ', 58, ὃς δὴ ἀνέγραψεν αὐτὰς παραλαβὼν πιθανὸν ἐκ τῆς ἱστορίας τοῦ Ἐφόρου· ἐν δὲ τοῖς Ἱπποκρατικοῖς λεγομένοις συγγράμμασιν, ἐξ ὧν, ὡς γνωστόν, ὀλίγιστα μέν εἰσι γνήσια τοῦ Ἱπποκράτους, τὰ πλεῖστα δὲ συγγενῶν καὶ μαθητῶν τῆς σχολῆς αὐτοῦ, εὕρηνται τῆς λοιμώδους καταστάσεως περιγραφαί. Πῶς γὰρ ἂν ἄλλως, εἴ γε ἦν ὁ Θουκυδίδης ὁ γράψας τὴν φερομένην ἐν τῇ ἱστορίᾳ αὐτοῦ περιγραφήν, ἔγνω, ὅτε ἔγραφεν, ἀπὸ προτέρου χρόνου, ὅτι οὐδεὶς τῶν συγχρόνων αὐτῷ ἰατρῶν ἐπεχείρησεν ἢ οὐ μέλλοι ἐπιχειρῆσαι περιγράψαι τὰ συμπτώματα τῆς νόσου ἐκείνης, ὥστε λέγειν ὅτι αὐτὸς ἐπεχείρησε γράψαι αὐτά, ἵνα ἐν τῷ μέλλοντι, εἰ αὖθις ἀναφαίνοιτό ποτε, δύναιντο οἱ ἄνθρωποι γινώσκειν ὁποία τις ἦν ἡ ἐπισκήψασα αὐτοῖς νόσος καὶ φυλάττεσθαι ἀπεχόμενοι τοῦ θεραπεύειν τοὺς ὑπ' αὐτῆς βαλλομένους; ἐπειδὴ κατά γε τὸν νοθευτὴν κατὰ τὰς ἀρχὰς τῆς νόσου ἐκείνης πολλοὶ ἰατροὶ ἀπέθανον ὑπ' αὐτῆς διὰ τὸ μὴ γνόντες τὸν θεῖον αὐτῆς χαρακτῆρα ἐπιχειρεῖν θεραπεύειν τοὺς ἀσθενεῖς καὶ μολύνεσθαι ἐξ αὐτῶν. Ἀλλὰ τὸ μὴ τοὺς συγχρόνους ἰατροὺς περιγράψαι τὰ συμπτώματα τῆς νόσου,

τοῦτό γε προῆλθεν εἴτε διότι ταῦτα ἦσαν παρὰ τὴν ἐναντίαν διαβεβαίωσιν τοῦ νοθευτοῦ γνωστά τε καὶ συνήθη αὐτοῖς, καὶ ὡς τοιαῦτα περιττὰ περιγραφῆναι, εἴτε μᾶλλον διότι οὐκ ἤρξατο ἔτι τότε ἡ ἰατρικὴ ποιεῖσθαι περιγραφὰς τῶν νόσων, ἐπειδή περ αὐτὴ τότε μόλις καθιδρύετο ἐπὶ ἐπιστημονικῶν βάσεων ἀπαλλασσομένη τῆς ὑπερφυσικῆς ἀναμίξεως ὑπὸ τοῦ Ἱπποκράτους, ὅς παρὰ τὰ λεχθέντα τε ἐν τοῖς ὕστερον χρόνοις ὑπὸ τῶν θαυμαστῶν αὐτοῦ καὶ διαδοθέντα οὐ φαίνεται ἐξ ἀληθῶν ἱστορικῶν εἰδήσεων οὔτε ζήσας ποτὲ ἐν Ἀθήναις οὔτε γενόμενος ἐκεῖ κατὰ τὴν ἐπιδημίαν καὶ συμβουλεύσας καταπολεμῆσαι αὐτῇ διὰ μεγάλων πυρῶν, αἵτινες ἄλλως γε οὐδὲν ἐχρησίμευσαν ἄν, πλὴν εἰ πάντα ἔπαυσαν πράγματά τε καὶ ἀνθρώποις. Ἐλέγχεται δὲ προσέτι ὁ νοθευτὴς καὶ κατὰ τοῦτο λέγων ὅτι ἡ νόσος οὐκ ἦν τῶν συνήθων οὐδὲ τῶν γνωστῶν, ὅπερ γε εὐκόλως ἠδύνατο εἰπεῖν περὶ αὐτῆς, ἐπεὶ αὐτὸς παρέστησεν αὐτὴν τοιαύτην· αἱ δὲ ἀποδείξεις αἱ περὶ τούτου φερόμεναι ὑπ' αὐτοῦ εἰσιν, ὡς μετὰ μικρὸν ὀψόμεθα, καθαραὶ ἐφευρέσεις τῆς ἰδίας αὐτοῦ κεφαλῆς. Οὐδόλως δὲ παράδοξον ὅτι καὶ νῦν ἔτι οἱ ἰατροὶ εὑρίσκουσιν αὐτὴν ἀσυνήθη καὶ ἄγνωστον ἐν τῇ ἱστορίᾳ τῆς ἰατρικῆς μετ' οὐδεμιᾶς τῶν γνωστῶν νόσων ταυτιζομένην, ἐπεί γε οὐχ ὑπῆρξεν οἷα ὑπὸ τοῦ νοθευτοῦ περιγράφεται. Εἰς τοῦτο τὸ συμπέρασμα καταλήγει καὶ ὁ πολυμαθὴς ἰατρὸς Γουλιέλμος Ἐρβστεῖνος (Wilhelm Erbstein) ἐν πολυμαθεστάτῃ καὶ ἀκριβεστάτῃ πραγματείᾳ περὶ τοῦ Ἀθηναϊκοῦ λοιμοῦ πραγματευομένῃ, ἐκδοθείσῃ δὲ ἐν Στουτγάρτῃ τῷ 1899 (Die Pest des Thukydides, Stuttgard 1899). Ἀλλά γε ὁ σοφὸς οὗτος Γερμανὸς ἰατρὸς εἶχεν ἂν δίκαιον ὑποστηρίζων καὶ ἀποδεικνὺς ὅτι ἡ ἐν Ἀθήναις γενομένη τότε ἐπιδημία ἦν νόσος τις ἀσυνήθης καὶ οὐδέποτε ἄλλοτε ἀναφανεῖσα, εἰ ἡ παρὰ τῷ Θουκυδίδῃ φερομένη περιγραφὴ ἦν γνησία καὶ αὐθεντική τις· ἀλλὰ δυστυχῶς, ὡς ὄψεται ὁ ἀναγνώστης, οὐδὲν κῦρος ἀξιοπιστίας δύναται αὕτη ἔχειν, ἅτε δὴ πολλὰ ἔτη μετὰ τὴν ἐπιδημίαν ἐκείνη γραφεῖσά τε καὶ συντεθεῖσα ἄνευ ἐρεύνης τῶν κατ' αὐτὴν ἀληθῶς συμβάντων· τοὐναντίον δὲ μετὰ τῆς βεβουλευμένης προθέσεως, ἥτις διαφαίνεται ἐν πάσῃ γραμμῇ αὐτῆς, τοῦ παρασταθῆναι τὴν νόσον ἐκείνην δεινοτάτην τε καὶ φρικώδη καὶ ἀπεσταλμένην ἐπίτηδες ὑπὸ τοῦ Ἀπόλλωνος πρὸς βοήθειαν τῶν Πελοποννησίων, ὃ φαίνεται ἐξ ὧν λέγει ἐν τῷ 50 κεφαλαίῳ τοῦ Β' βιβλίου τοῦ Θουκυδίδου.

Ἀλλ' ὁ Θουκυδίδης, ὥσπερ ἤδη εἴπομεν, οὐκ ἐπίστευεν εἰς ὑπερφυσικὰς ἀναμίξεις ἐν τοῖς ἀνθρωπίνοις πράγμασί τε καὶ παθήμασιν. Ἐν τῷ αὐτῷ 48 κεφ. παρατηροῦμεν προσέτι ὅτι ὁ νοθευτὴς ἔχων, ὡς φαίνεται, ὑποψίαν τινά, μὴ ἡ ὑπ' αὐτοῦ χαλκευθεῖσα περιγραφὴ οὐ πιστευθῇ εὐκόλως, εἰσάγει καὶ τὸν Θουκυδίδην αὐτὸν ὡς νοσήσαντα ὑπὸ τοῦ «λοιμοῦ», ὅ γε οὐ δοκεῖ εἶναι ἀληθές. Ὁ Θουκυδίδης γὰρ ὁ γνήσιος, ὡς καὶ πρότερον εἰρηκότες ἐσμέν, ἐν τοῖς γνησίοις μέρεσι τῆς ἱστορίας αὐτοῦ τὸν λόγον ποιεῖται περὶ ἑαυτοῦ, ὁσάκις γε ἀνάγκη ἐγένετο τούτου, ἐν τρίτῳ καὶ οὐ πρώτῳ προσώπῳ, καθὼς γίνεται ἐν τῇ περιγραφῇ. Ἀλλὰ πλὴν τούτου ὁ ἱστορικὸς οὐ φαίνεται ἐκ τοῦ βίου αὐτοῦ οὔτε ἐπισημανθείς τι τῶν μελῶν ὑπὸ τῆς νόσου, οὔτε βλαβείς τι τὴν διάνοιαν· δύο γὰρ ἔτη μετὰ τὴν παῦσιν αὐτῆς καὶ στρατηγὸς ἐξελέγη καὶ ἠδυνήθη ὑγιέστατα ἔχων τόν τε νοῦν καὶ τὸ σῶμα ἀσχολεῖσθαι τὰ λοιπὰ τῆς ζωῆς αὐτοῦ ἔτη περὶ τὴν συγγραφὴν τῆς ἱστορίας τοῦ Πελοποννησιακοῦ πολέμου, ἣν κατέλιπεν ἡμῖν· ἐν ᾧ κατὰ τὸν νοθευτὴν ἐν τῷ αὐτῷ κεφαλαίῳ φαίνεται ὅτι οὐδεὶς τῶν διαφευγόντων ἐκ τῆς νόσου ἐκείνης διέφευγεν ἄνευ τοῦ ἐπισημαίνεσθαι βλάβαις τισὶ κατὰ τὸ σῶμα ἢ τὸν νοῦν.

Μεταβαίνομεν νῦν εἰς τὸ 49 κεφάλαιον, οὗ ἐν τῇ ἀρχῇ ὁ νοθευτὴς λέγει ὅτι τὸ ἔτος, καθ' ὃ ἐφάνη ἡ ἐπιδημία, ἦν κατὰ τὴν ὁμολογίαν πάντων ἄνοσον εἰς ἄλλας ἀσθενείας, πᾶσαι δὲ αἱ νόσοι κατέληγον εἰς αὐτήν, τουτέστι τὸν «λοιμόν». Ἀναμφιλόγως ἐν ταῖς ἐπιδημίαις τῆς προσοχῆς τῶν ἀνθρώπων ἐπισπωμένης ὑπὸ τῶν πολλῶν προσβολῶν καὶ θανάτων τῶν προξενουμένων ὑπ' αὐτῶν αἱ τῶν ἄλλων νόσων προσβολαί τε καὶ θάνατοι παρέρχονται ἀπαρατήρητοι· ἀλλὰ καὶ ἐνταῦθα ὁ σκοπὸς τοῦ νοθευτοῦ τοῦ παραστῆσαι τὴν νόσον ἐκείνην ἐπὶ τὸ φοβερώτερον διαφαίνεται, καθ' ὅσον μάλιστα κατὰ Διόδωρον τὸν Σικελιώτην, τὸν χειμῶνα τὸν προηγηθέντα τοῦ ἔτους ἐκείνου ἔπεσον πολλαὶ βροχαὶ καθ' ὅλην τὴν γῆν καὶ ἐσχηματίσθησαν ἐξ αὐτῶν πολλὰ ἕλη, ἅτινα παρήγαγον καυματώδη νοσήματα, οἷον δὴ ἦν καὶ ἡ ἐν Ἀθήναις ἐκείνη ἐπιδημία, καὶ ἑπομένως κατὰ τὴν εἴδησιν ταύτην τὸ ἔτος ἐκεῖνο οὐκ ἦν ἄνοσον ἀλλὰ τῶν μάλιστα νοσηρῶν. Ἡ Ἀθηναϊκὴ ὅμως ἐπιδημία φαίνεται μᾶλλον γεννηθεῖσα ἐπιχωρίως ἕνεκα τῆς συσσωρεύσεως ὅλου τοῦ τῆς Ἀττικῆς πληθυσμοῦ ἐν τοῖς τείχεσι τῶν Ἀθηνῶν καὶ μολύνσεως ἕνεκα ταύτης τῶν ποσίμων ὑδάτων, ὃ δὴ καὶ

οἱ Ἀθηναῖοι παρετήρησαν μὲν ἐξ ἀρχῆς, ἀλλ' ἀπέδωκαν, ἐάν γέ τις πιστεύσῃ τοῖς λόγοις τοῦ νοθευτοῦ (κεφ. 48), τῇ δηλητηριάσει τῶν φρεάτων τοῦ Πειραιῶς ὑπὸ τῶν Πελοποννησίων δι' ἐμβολῆς φαρμάκων. Κατωτέρω δὲ ἐν τῷ αὐτῷ κεφαλαίῳ τῷ 49 λόγον ποιούμενος ὁ νοθευτὴς περὶ τῆς θερμοκρασίας τῶν νοσούντων λέγει ὅτι τὸ σῶμα αὐτῶν ἐξωτερικῶς ἄν τις ἥπτετο, οὐκ ἐδείκνυ θερμότητα ἀνωτέραν τῆς φυσικῆς τῷ ἀνθρώπῳ, ὃ φαίνεται ἡμῖν παράδοξον τόσον ὑψηλοῦ πυρετοῦ ὑπάρχοντος τοῖς πάσχουσιν, ὥστε μὴ ἀνέχεσθαι μηδὲν κάλυμμα καὶ πολλοὺς αὐτῶν συνεχομένους ἕνεκα αὐτοῦ ἀπαύστῳ δίψῃ ῥίπτεσθαι εἰς φρέατα πρὸς τὸ κατασβέσαι τὴν δίψαν ἑαυτῶν. Ἀλλὰ τοῦτό γε δή, εἴ τινι τῶν ἀρρώστων ἐν καιρῷ μανίας συνέβη, ὑφ' ἧς ἔστιν ὅτε οἱ ὑπὸ τοῦ τύφου πάσχοντες καταλαμβάνονται, ὁ νοθευτὴς ἐξηγῶν παρέστησεν ὡς πολλοῖς συμβάν. Πρῶτον μὲν γὰρ αἱ οἰκογένειαι τότε μετὰ τῶν δούλων ἦσαν ἐν Ἀθήναις πολυμελεῖς, οἱ δὲ νοσοῦντες οὐκ ἐγένοντο τόσον πολλοί, ὥστε καὶ ἀμελεῖσθαι οὕτως, ἔπειτα δ' ὁ λόγος, ὃν δίδωσι τοῦ ῥίπτειν ἑαυτοὺς εἰς τὰ φρέατα, οὐ φαίνεται ὑγιής, καθότι ὕδατός γε ἀφθόνου πρὸς πόσιν οὐκ ἐστεροῦντο καὶ ἐν ταῖς κλίναις ὄντες. Ἀλλ' ὁ νοθευτὴς ἐν πάσῃ περιστάσει χρῆται τῷ «πολλοί», ὃ καὶ ὀλίγον κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ λόγον ποιούμενος περὶ τῶν ἀρρώστων τῶν ἀποθνῃσκόντων τε καὶ τῶν διαφευγόντων ἐκ τῆς νόσου τρὶς μεταχειρίζεται, ἐξ ὧν ἅπαξ καὶ ἐν ὑπερθετικῷ βαθμῷ· ἐπειδή, ὡς εἴπομεν, σκοπὸν ἔχει πᾶν κακὸν συμβὰν κατὰ τὸν πόλεμον παραστῆσαι ὑπερβολικώτερον, ἵνα δὴ οὗτος φανῇ ἀξιολογώτατος πάντων τῶν πολέμων. Ἐν δὲ τῷ 50 κεφαλαίῳ ποιῶν ὁ νοθευτὴς τούς τε γῦπας καὶ τὰ ἄλλα νεκροφάγα ὄρνεα ἐκλιπόντα μετὰ τὸ γεύσασθαι νεκρῶν σωμάτων τῶν ὑπὸ τῆς νόσου ἐκείνης ἀποθνῃσκόντων, ἐξ ὧν πολλοὶ δῆθεν ἔμενον διαρκῶς κατὰ τὴν νόσον ἄταφοι ἐν Ἀθήναις, ὁ γὰρ ἐνεστὼς «γιγνομένων» τῆς φράσεως τοῦ νοθευτοῦ «πολλῶν ἀτάφων γιγνομένων» ἐπανάληψιν διαρκῆ τοῦ πράγματος σημαίνει, καὶ τοὺς κύνας ἀποθνήσκοντας μετὰ τὴν τοιαύτην ἑστίασιν, δείκνυται λίαν ἀναξιόπιστος. Πῶς γὰρ οἷόν τε φαντασθῆναι γενέσθαι ποτε τοιαῦτα φρικώδη ἀσεβήματα ἐν μέσαις Ἀθήναις, ὧν πάντοτε καὶ ἐν παντὶ καιρῷ καὶ καθ' ὅλον τὸν Πελοποννησιακὸν πόλεμον ἐπῃνεῖτο ἡ πρὸς τοὺς νεκροὺς μεγάλη εὐσέβεια ὑπό τε τῶν ποιητῶν καὶ τῶν ῥητόρων αὐτῶν; Εἰς ἀπόδειξιν δὲ παραθησόμεθα ἐνταῦθα χωρία τινὰ πρόχειρα ἐξ αὐ-

τῶν τε καὶ ἄλλων ἀρχαίων συγγραφέων μαρτυροῦντα σαφῶς ὅτι τοιαύτην τινὰ ἀσέβειαν ἦν ἀδύνατον διαπραχθῆναι ἐν Ἀθήναις, αἵ γε ἐθεώρουν τιμὴν ἑαυτῶν καὶ τρόπον τινὰ τίτλον εὐγενείας τὴν εὐσέβειαν, ἣν κατεδείξαντο ἀεὶ περὶ τὸν ἐνταφιασμὸν οὐ μόνον τῶν ἑαυτῶν νεκρῶν ἀλλὰ καὶ τῶν ἀλλοτρίων καὶ αὐτῶν ἔτι τῶν μεγίστων ἐχθρῶν αὐτῶν, τῶν Περσῶν. Καὶ περὶ μὲν τῆς ταφῆς τούτων ἔχομεν τὴν μαρτυρίαν τοῦ Παυσανίου (Ἀττ. Α', 22,4) ἔχουσαν ὧδε· «Τοὺς δὲ Μήδους Ἀθηναῖοι μὲν θάψαι λέγουσιν, ὡς πάντως ὅσιον ἀνθρώπου νεκρὸν γῇ κρύψαι, τάφον δὲ οὐδένα ἠδυνάμην εὑρεῖν (δηλ. αὐτῶν ἐν Μαραθῶνι)· οὔτε γὰρ χῶμα, οὔτε ἄλλο σημεῖον ἦν ἰδεῖν· ἐς ὄρυγμα δὲ φέροντες σφᾶς, ὡς τύχοιεν, ἐσέβαλον». Περὶ δὲ τῶν Ἀργείων τῶν πεσόντων περὶ τὰ τείχη τῶν Θηβῶν κατὰ τὸν πόλεμον τὸν γνωστὸν ἐν τῇ ἱστορίᾳ ὑπὸ τὸ ὄνομα «Ἑπτὰ ἐπὶ Θήβας» παρατίθεμεν ἐκ πολλῶν τόδε τὸ χωρίον ἐκ τοῦ ἐπιταφίου λόγου τοῦ φέροντος τὸ ὄνομα τοῦ Δημοσθένους κεφ. η'. «Καὶ πρὸς πᾶσι τούτοις καὶ καλοῖς ἔργοις τὰ τῶν κατοιχομένων νόμιμα οὐ περιεῖδον (οἱ Ἀθηναῖοι) ὑβριζόμενα, ὅτε τοὺς ἐπὶ Θήβας θάπτειν ἐκώλυε Κρέων», περὶ οὗ πράγματος τὰ αὐτὰ λέγονται ἐν ἐκτάσει καὶ ἐν τῷ ἀποδιδομένῳ τῷ Λυσίᾳ ἐπιταφίῳ κεφ. 7-10. Καὶ ἐν ταῖς Ἱκέτεσι δέ τοῦ Εὐριπίδου, αἵ, ὡς γνωστόν, ἔχουσιν ὑπόθεσιν τὴν ταφὴν τῶν αὐτῶν νεκρῶν, πρὸς τοῖς ἄλλοις ὁ Θησεὺς λέγει περὶ τούτου τάδε, στίχ. 524-526), «νεκροὺς δὲ τοὺς θανόντας δικαιῶ θάψαι τῶν Πανελλήνων νόμον σῴζων». Πανελλήνων δὲ νόμος περὶ νεκρῶν ἦν θάπτεσθαι τούτους μετὰ τῆς δυνατῆς καλῆς κηδεύσεως καὶ μὴ ἐᾶσθαι ἀτάφους. Τὸν ἐνταφιασμὸν γὰρ τῶν νεκρῶν ἡγοῦντο πάντες οἱ Ἕλληνες σπουδαιότατον τῶν πραγμάτων, ἐπειδὴ ἐπίστευον ὅτι αἱ τῶν τεθνεώτων ψυχαὶ οὐχ εὕρισκον ἀνάπαυσιν ἐν τῷ Ἅδῃ, εἰ μὴ τὰ σώματα αὐτῶν τυγχάνοιεν ταφῆς. Αὕτη δὲ ἡ πεποίθησις φαίνεται ἐν τοῖς Ὁμηρικοῖς ἔτι ποιημασιν ὑπάρχουσα παρὰ τοῖς Ἕλλησι, διότι ἤδη ἐν τῇ Ὀδυσσείᾳ Λ, 51-83 βλέπομεν τὴν ψυχὴν τοῦ Ἐλπήνορος, τοῦ ἑταίρου ἐν ταῖς πλάναις τοῦ Ὀδυσσέως τοῦ κατὰ τυχαῖον συμβεβηκὸς ἀποθανόντος ἐν τῷ μεγάρῳ τῆς φαρμακευτρίας Κίρκης, λισσομένην γοερῶς τὸν Ὀδυσσέα, ὅτε ἐπιστρέψειεν εἰς αὐτό, ἡ γὰρ λιτὴ ἐγίνετο παρὰ τὴν εἴσοδον τοῦ Ἅδου, ἐνταφιάσαι τὸ σῶμα αὐτοῦ, ἐπειδάν γε κλαύσῃ αὐτόν, διότι καὶ οἱ θρῆνοι περιελαμβάνοντο ἐν τῇ καλῇ καὶ νομίμῳ κηδεύσει τῶν νεκρῶν

τῶν ἀρχαίων Ἑλλήνων. Ἔπειτα δὲ αὐτὸς ὁ Ὀδυσσεὺς ἐν Ὀδυσ. Ε', 299-311 κινδυνεύων ναυαγῆσαι μετὰ τὴν ἀναχώρησιν αὐτοῦ ἀπὸ τῆς νήσου τῆς θεᾶς Καλυψοῦς εὔχεται ὅπως ἦν τεθνεὼς ἐν τῇ Τροίᾳ, ὅπου ἠξιώθη ἂν ἐνταφιασμοῦ καὶ τιμῶν παρὰ τῶν Ἑλλήνων καὶ ἀπέφυγεν οὕτω τὸν ἐλεεινὸν θάνατον τῆς ναυαγίας τὸν ἄκλαυστον καὶ ἄταφον. Εἰ δέ τις τῶν Ἑλλήνων συναντῴη που νεκρῷ σώματι, καθῆκον ἡγεῖτο θρησκευτικόν, εἰ μὴ δύναιτο θάψαι αὐτό, ῥῖψαί γε οὖν χοῦν ἐπ' αὐτοῦ. Μετὰ δὲ τὰς μάχας βλέπομεν τοὺς Ἕλληνας πειρωμένους ἀεὶ θάπτειν τοὺς ἑαυτῶν νεκροὺς καὶ ἀσεβεῖς ἡγουμένους τοὺς μὴ ἐπιτρέποντας τοῦτο αὐτοῖς νικητὰς πολεμίους. Ἐν Ἀθήναις δὲ νόμος τις τοῦ Σόλωνος ἐπέβαλλε καὶ αὐτοῖς τοῖς τῶν ἀναξίων γονέων τέκνοις θάπτειν αὐτούς· οὗτος δὲ ὁ νόμος πιθανὸν ὅτι ἴσχυεν, εἰ μὴ γραπτός, ὡς θρησκευτικὸν γοῦν καθῆκον ἐν πάσαις ταῖς ἑλληνικαῖς πόλεσιν. Ἡ δ' ἀμέλεια τοῦ ἐνταφιάζειν τοὺς οἰκείους νεκροὺς ἐνομίζετο παρὰ πᾶσι τοῖς Ἕλλησιν οὐ μόνον θρησκευτικὴ ἁμαρτία, ἀλλὰ καὶ βαρὺ ἔγκλημα τοῦ ἠθικοῦ χαρακτῆρος τοῦ ἀνθρώπου. Διὸ ὁρῶμεν παρ' αὐτοῖς συγγενεῖς καταφρονοῦντας παντὸς κινδύνου, ὅπως ἂν θάψωσι τοὺς οἰκείους νεκροὺς καὶ αὐτῶν τῶν κηρυττομένων ὑπὸ τῆς πολιτείας προδοτῶν τῆς πατρίδος καὶ καταδικαζομένων εἰς ἀταφίαν. Τούτου δὲ κάλλιστον δὴ παράδειγμα ἔχομεν τὴν Ἀντιγόνην τοῦ Οἰδίποδος, ἣν ὁρῶμεν καταφρονοῦσαν καὶ αὐτοῦ τοῦ θανάτου, ἵνα θάψῃ τὸν νεκρὸν τοῦ αὐτῆς ἀδελφοῦ Πολυνείκους, ὃν ὁ Κρέων διετετάχει μεῖναι ἄταφον ὥς γε προδότου τῆς πατρίδος. Τὸν ἡρωϊσμὸν δὲ τοῦτον τῆς Ἀντιγόνης ὀλίγα ἔτη πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου ὁ Σοφοκλῆς ἐξύμνει ἐν τῷ θεάτρῳ τῶν Ἀθηνῶν καὶ ἔδρεπε δάφνας τῆς τραγικῆς μούσης παρὰ τῶν Ἀθηναίων. Οἱ ἄφοβοι δὲ λόγοι τῆς Ἀντιγόνης, δι' οὓς ἀποκρινομένη τῷ Κρέοντι λέγει ὅτι ἔθαψε τὸν ἑαυτῆς ἀδελφὸν παρὰ τὴν ἀπαγόρευσιν αὐτοῦ δεικνύασιν ὁπόσον βαθὺ ἦν παρὰ τοῖς Ἕλλησι τὸ αἴσθημα τοῦ πρὸς τοὺς νεκροὺς καθήκοντος τοῦ ἐνταφιάζειν αὐτούς, καὶ ὁπόσος μέγας ὁ φόβος τῆς πρὸς τοὺς θεοὺς ἁμαρτίας, ὃν ᾐσθάνοντο παραμελοῦντες αὐτοῦ. Εἰσὶ δ' αὐτοὶ ἄξιοι παρατεθῆναι ἐνταῦθα. Σοφοκλ. Ἀντιγ. 446-470.

ΚΡΕΩΝ Σὺ δ' εἰπέ μοι, μὴ μῆκος, ἀλλὰ συντόμως,
ᾔδησθα κηρυχθέντα μὴ πράσσειν τάδε;

ΑΝΤΙΓ. Ἤδη· τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν·
ΚΡΕΩΝ. Καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
ΑΝΤΙΓ. Οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ' ἐν ἀνθρώποισιν ὥρισε νόμους·
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ', ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
Οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη·
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ' ἐν θεοῖσι τὴν δίκην
δώσειν· θανουμένη γὰρ ἐξῄδη, τί δ' οὔ;
κεἰ μὴ σὺ προυκήρυξας· εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω·
ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
Οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖςδε δ' οὐκ ἀλγύνομαι.
Σὺ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω».

Ὅτι δὲ τὰ πρὸς τοὺς τεθνεῶτας καθήκοντα ἡδράζοντο παρὰ τοῖς Ἕλλησιν ἐπὶ θρησκευτικῶν πεποιθήσεων, μαρτυρεῖ καὶ ὁ ῥήτωρ Λυκοῦργος λέγων ἐν τῷ κατὰ Λεωκράτους λόγῳ αὐτοῦ ἐδ. 94· «Ἡγοῦμαι δ'ἔγωγε ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν πάσας μὲν τὰς πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν πρὸς τοὺς γονέας καὶ τετελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς ἀσέβειαν». Πῶς οὖν οἷόν τε τοὺς Ἀθηναίους τοιαῦτα εὐσεβῆ αἰσθήματα πρὸς τοὺς τεθνεῶτας ἔχοντας καὶ τοιαύτας θρησκευτικὰς πεποιθήσεις περὶ τοῦ ἐνταφιασμοῦ αὐτῶν ἐὰν τοὺς ἑαυτῶν συγγενεῖς καὶ συμπολίτας ἀτάφους ἐν αὐτῷ τῷ περιβόλῳ τῆς ἰδίας αὐτῶν πόλεως, ἐν ᾗ ἐπὶ πλέον ἦσαν δοῦλοι ὑπείκοντες παντὶ νεύματι τῶν κυρίων ἑαυτῶν ὑπὲρ τὰς τετρακοσίας χιλιάδας ἕτοιμοι

ὑπηρετεῖν αὐτοῖς τοῦτο τὸ ἱερὸν τῆς ταφῆς τῶν νεκρῶν καθῆκον; Πῶς δὲ πιστεύσειεν ἄν τις δεδρακέναι αὐτοὺς τὸ ἀνοσιούργημα τοῦτο, οἵ γε δύο μὲν ἔτη μετὰ τὴν ἐξαφάνισιν τῆς νόσου, τῷ 424 π. Χ., ἔν τινι πρὸς Κορινθίους μάχῃ, ἐν ᾗ ἐνίκησαν αὐτούς, προὐτίμησαν παραιτήσασθαι τὴν δόξαν τῆς νίκης ἢ ἐᾶσαι δύο συμπολίτας ἑαυτῶν ἀτάφους (Θουκυδ. Δ. 44-45 καὶ Πλουταρχ. ἐν βίῳ Νικίου 6,10-20), εἴκοσι δ' ἔτη μετ' αὐτήν, τῷ 406 π. Χ., ἐν τῷ αὐτῷ Πελοποννησιακῷ πολέμῳ ἐθανάτωσαν τοὺς στρατηγοὺς αὐτῶν τοὺς νικήσαντας ἐν ταῖς Ἀργινούσαις νήσοις τὴν κατ' αὐτὸν τὸν πόλεμον γενομένην τῶν Ἀθηναίων λαμπροτάτην νίκην ἐπὶ τῇ ἁπλῇ καὶ ἀνεξετάστῳ κατηγορίᾳ ὅτι δυνάμενοι οὐ συνέλεξαν τοὺς ἐν τῇ θαλάσσῃ πεσόντας κατὰ τὴν μάχην ἐκείνην καὶ πνιγέντας Ἀθηναίους καὶ ἕνεκα τούτου μὴ τυχόντας ταφῆς; Πῶς δὲ οἱ ἀδίκως κατηγορηθέντες στρατηγοὶ ἀπολογούμενοι οὐκ ἀνέφερον πρὸς δικαιολογίαν ἑαυτῶν ὅτι οἱ Ἀθηναῖοι ὀλίγοις ἔτεσι πρότερον, οὐχὶ ὡς αὐτοὶ ἕνεκα πολλῆς τρικυμίας, ἀλλ' ἐκ φιλοζωΐας καὶ φόβου μολύνσεως εἴασαν ἀσεβέστατα πολλοὺς τῶν συμπολιτῶν αὐτῶν νεκροὺς ἀτάφους ἐντὸς αὐτῆς τῆς πόλεως αὐτῶν, καὶ ἠνέσχοντο ὁρᾶν αὐτοὺς πρὸ τῶν ὀμμάτων ἐσθιομένους ἀνοσιώτατα καὶ βδελυρώτατα ὑπὸ γυπῶν τε καὶ κυνῶν καὶ τῶν λοιπῶν νεκροφάγων ζῴων τετραπόδων τε καὶ πετεινῶν; Πῶς δ' ἐστὶ δυνατὸν τοὺς μὲν Ἀθηναίους τοὺς τοσαύτην, ὡς εἰρήκαμεν, πρὸς τοὺς τετελευτηκότας εὐσέβειαν καὶ τοιαύτας περὶ τῶν ψυχῶν τῶν ἀτάφων πεποιθήσεις ἔχοντας ἐᾶν νεκροὺς ἀτάφους ἐκ φόβου μὴ μολυνθῶσι, λαοὺς δὲ νῦν ζῶντας, οἵτινες οὐκ ἔχουσι τοιαύτας περὶ ἀτάφων θρησκευτικὰς πεποιθήσεις, ἀλλ' εἰσὶ μόνον δεισιδαίμονες, μὴ φοβεῖσθαι μήτε τὰς ἐπιδημίας, μήτε τὴν μόλυνσιν, ὥστε, ὥσπερ εἴδομεν ἐν Αἰγύπτῳ τοὺς Ἄραβας ποιοῦντας, καὶ συγκλίνεσθαι μετὰ τῶν ἐκ χολέρας καὶ τοῦ βουβωνικοῦ λοιμοῦ πασχόντων καὶ πολλάκις τῶν τεθνεώτων ἐκ τῶν νόσων τούτων; Διὰ ταῦτα πᾶς τις θαρσαλέως δύναται ἔχειν τὴν στερρὰν πεποίθησιν ὅτι ἐν Ἀθήναις οὐδόλως διεπράχθη τοιαύτη τις ἀσέβεια, οἵαν διηγεῖται ὁ νοθευτὴς τοῦ Θουκυδίδου, καὶ ἄταφος νεκρὸς ἐν Ἀθήναις οὐδὲ εἷς ἔμεινε, καὶ οὐ μόνον οὐδεὶς ἀλλ' οὐδὲ μικρόν τι μέλος νεκροῦ, πολλῷ δὲ δὴ ἔλαττον κατεβρώθη ὑπὸ γυπῶν καὶ κυνῶν. Εἰ δ' ὄντως συνέβη τοιοῦτόν τι πρᾶγμα ἐν Ἀθήναις, ἦν ἀδύνατον διελθεῖν αὐτὸ ἐν σιγῇ τοὺς ἐχθροὺς τοῦ Περι-

κλέους κωμικοὺς ποιητὰς καὶ μάλιστα τὸν Ἀριστοφάνη. Ἀλλ' οὔτε αὐτὸς τοιοῦτόν τι ἀσέβημα ἀναφέρει ἐν τῇ ἐξαριθμήσει τῶν κακῶν τῶν προξενηθέντων ὑπὸ τοῦ Πελοποννησιακοῦ πολέμου τοῖς Ἀθηναίοις, οὔτε ἄλλος τις ἀνήνεγκεν οὔτε ποιητής, οὔτε ῥήτωρ, οὔτε ἱστορικός, οὔτε σχολιαστής, οὐδ' ὁ πολυγράφος καὶ πολύδρις βιογράφος Πλούταρχος, ὅς γε εἶχε τὴν εὐκαιρίαν ποιήσασθαι μνείαν περὶ αὐτοῦ ἐν τῷ βίῳ τοῦ Περικλέους, ἀλλ' ὅλως παρέρχεται ἐν σιγῇ μὴ λαμβάνων ὑπ' ὄψιν τὴν παρὰ Θουκυδίδῃ περιγραφήν. Ἡ σιγὴ δ' αὕτη παρὰ πᾶσι τούτοις πῶς δύναται ἐξηγηθῆναι ἄλλως, εἰμὴ ὅτι τοιουτόν τι ἀσέβημα οὐδαμῶς συνέβη ἐν Ἀθήναις;

Πλὴν δὲ τούτου ἡ θνησιμότης κατὰ τὴν ἐπιδημίαν ἐκείνην οὐκ ἐγένετο τόσον πολλή, ὥστε μὴ προφθάνειν τοὺς Ἀθηναίους θάπτειν τοὺς ἑαυτῶν νεκρούς· κατὰ γὰρ Διόδωρον τὸν Σικελιώτην ἐν βιβλ. ιβ', 58, τὸν ἀρυόμενον, ὡς γνωστόν, τὰ γεγονότα τῶν χρόνων ἐκείνων κυρίως ἐκ τῆς ἱστορίας τοῦ Ἐφόρου, καθ' ὅλον τὸ πενταετὲς διάστημα, καθ' ὃ διήρκεσεν ἐν Ἀθήναις ἡ ἐπιδημία (Θουκυδ. Γ', 87), ἀπέθανον ἐν ὅλῳ περὶ τὰς δέκα πέντε χιλιάδας Ἀθηναῖοι, ἐξ ὧν στρατιῶται μὲν ὁπλῖται περὶ τὰς τέσσαρας χιλιάδας καὶ τετρακοσίους, ἐκ δὲ τοῦ ἄλλου ὄχλου ἐλευθέρων τε καὶ δούλων ὑπὲρ τὰς δέκα χιλιάδας, καὶ τόση φαίνεται οὖσα ἡ ἀλήθεια. Καὶ ὁ Θουκυδίδης δὲ συμφωνεῖ τῷ Διοδώρῳ ὡς πρὸς τὸν ἀριθμὸν τῶν θανόντων στρατιωτῶν, ἀλλ' ἀφίησιν ἀκαθόριστον τὸν ἀριθμὸν τῶν ἐκ τοῦ ὄχλου θανόντων λέγων βιβλ. Γ', 87 τάδε· «Τοῦ δὲ ἐπιγενομένου χειμῶνος (427 π. Χ.) ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ παντάπασιν, ἐγένετο δέ τις ὅμως διοκωχή. Παρέμεινε δὲ τὸ ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη, ὥστε Ἀθηναίων γε μὴ εἶναι ὅ,τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν. Τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων καὶ τριακοσίων ἱππέων, τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός». Πιθανὸν ὅμως ὅτι ὁ Θουκυδίδης ἀντὶ τῶν νῦν φερομένων λέξεων «τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμὸς» ἔγραψε «τοῦ δὲ ἄλλου ὄχλου ὑπὲρ τοὺς μυρίους», ἃς μετέβαλεν ὁ νοθευτής, ἵνα γε δείξειεν ὅτι πολλῷ πλείονες τοῦ ἀληθοῦς ἀριθμοῦ ἀπέθανον ἐκ τῆς νόσου καὶ ὅτι αὕτη ἦν ὅσον δεινὴ αὐτὸς περιγράφει αὐτήν. Καὶ γὰρ πῶς οἷόν τ' ἦν τῷ νοθευτῇ ἐᾶσαι ἐν τῷ κειμένῳ τοῦ Θουκυδίδου τὸ «ὑπὲρ

τοὺς μυρίους» ἄθικτον μεθ' ὅσα φοβερὰ καὶ δεινὰ εἰρήκει ἐν τῇ περιγραφῇ περὶ τῆς νήσου; Ὅτι δὲ ὁ ἀριθμὸς τοῦ Διοδώρου ἐστὶν ὁ ἀληθὴς περὶ τῶν θανόντων ἐκ τοῦ ὄχλου καὶ ὅτι ἐν τῷ Θουκυδιδείῳ κειμένῳ ἦν ἀρχικῶς τὸ «ὑπὲρ τοὺς μυρίους», ἀποδειχθήσεται ἐκ τῶν ἑπομένων λόγων τε καὶ σκέψεων. Πρῶτον μὲν γὰρ ἡ πολιτεία τῶν Ἀθηνῶν διεφέρετό τε καὶ ἠδύνατο εὐχερῶς λαμβάνειν γνῶσιν, ὥσπερ τοῦ ἀριθμοῦ τῶν θνησκόντων ἐκ τῶν στρατιωτῶν, οὕτω δὴ καὶ τοῦ ἀριθμοῦ τῶν θνησκόντων ἐκ τοῦ ὄχλου, ἔπειτα δὲ αὐτὴ ἡ παρὰ Διοδώρῳ καθόρισις τοῦ ἀριθμοῦ τῶν ἐκ τοῦ ὄχλου θανόντων δείκνυσιν ὅτι ὁ ῥηθεὶς ἀριθμὸς καθώριστο ὄντως ὑπ' αὐτῆς. Σημειωτέον δ' ἐνταῦθα ὅτι ἡ ὀρθὴ σημασία τῆς παρὰ Θουκυδίδῃ φράσεως «τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμὸς» ἐστὶν ἥδε· «ἐκ δὲ τοῦ ἄλλου πλήθους, δηλ. τῶν μὴ στρατιωτῶν, ἀριθμός, ὃς οὐ δυνατὸν εὑρεθῆναι ἀκριβῶς», ὥσπερ καί τινες τῶν νεωτέρων τοῦ Θουκυδίδου ἐκδοτῶν ἑρμηνεύουσιν (Ἴδε Θουκυδ. βιβλ. Γ', ἐκδοθὲν ὑπὸ A. W. Spatt, Cabridge 1896 σελ. 263), καὶ οὐχ, ὡς οἱ πολλοὶ αὐτῶν μεταφράζουσιν, «ἐκ δὲ τοῦ ἄλλου πλήθους ἀριθμὸς ἀλόγιστος, ὅ ἐ. τόσον μέγας, ὥστε ἡ ἐξαρίθμησις ἦν ἀδύνατος». Οὐδαμῶς δὲ φαίνεται, ὥς τινες αὐθαιρέτως εἰρήκασιν, ὅτι τὸ «ὑπὲρ μυρίους» τοῦ Διοδώρου ἀπέρρευσεν ἐκ τοῦ «ἀνεξεύρετος ἀριθμὸς» τοῦ Θουκυδίδου, διότι ὁ Διόδωρος Ἕλλην τε ὢν καὶ εὖ εἰδὼς τὴν ἑλληνικὴν γλῶσσαν, ἐν ᾗ καλλιεπῶς ἔγραψε τὴν ἱστορίαν αὐτοῦ, ἐγίνωσκε καλῶς ὅτι τὸ «ἀνεξεύρετος ἀριθμὸς» οὐ δύναται σημαίνειν «ὑπὲρ μυρίους». Ὥστε ὁ ὄχλος τῶν κατοικούντων τότε ἐν Ἀθήναις ἔπαθε πολὺ ὀλίγον σχετικῶς πρὸς τὴν ἀπώλειαν τῆς στρατιωτικῆς τῶν Ἀθηνῶν δυνάμεως· ταύτης μὲν γὰρ ἀπώλετο τὸ τέταρτον περίπου ἢ κατ' ἄλλους στηριζομένους ἐπὶ παρεισάκτου χωρίου, τοῦ 13 κεφ. τοῦ Β' βιβλίου τοῦ Θουκυδίδου, τὸ ἕκτον μέρος τῶν Ἀθηναίων στρατιωτῶν, τοῦ δὲ ἄλλου ὄχλου τὸ πεντηκοστὸν περίπου μέρος, ἢ κατ' ἄλλους δεχομένους ὅτι ὁ πληθυσμὸς τῆς Ἀττικῆς ἀνήρχετο περὶ τὰς διακοσίας πεντήκοντα χιλιάδας, τὸ εἰκοστὸν πέμπτον μέρος. Καὶ ὁ Θουκυδίδης γε μὴν λέγων ἐν τῷ ἀνωτέρῳ παρατεθέντι χωρίῳ περὶ τῆς νόσου ὅτι οὐδὲν ἄλλο μᾶλλον ἔβλαψε τὴν δύναμιν τῶν Ἀθηναίων ὅσον αὐτή, οὐκ ἀποβλέπει εἰς τὴν βλάβην τὴν τοῦ ὅλου πληθυσμοῦ ἀλλὰ μόνον εἰς τὴν τῆς στρατιωτικῆς δυνάμεως αὐτῶν· ἀπώλεια γὰρ τοῦ τετάρτου μέρους ἢ τοῦ ἕκτου στρα-

τιωτικῆς τινος δυνάμεως οὐκ ἔστι σμικρά γέ τις ἀπώλεια· καθ' ὅσον τε οἱ Ἀθηναῖοι καθ' ἁπάσας τὰς μάχας τοῦ πρώτου μέρους τοῦ πολέμου οὐκ ἀπώλεσαν οὐδὲ τοὺς ἡμίσεις τῶν ἀπολεσθέντων ὑπ'ἐκείνης τῆς νόσου. Εἰ δὲ σχετικῶς πρὸς τὸν ὄχλον πλεῖον ἔπαθεν ὁ στρατός, τοῦτο δὴ προῆλθεν ἐκ τῆς κακῆς διαίτης, ἐν ᾗ ἐν ἐκστρατείᾳ ὢν ἠναγκάζετο πολλάκις ζῆν· καὶ διὰ τοῦτο περὶ τοὺς ἡμίσεις τῶν ἀποθανόντων ὑπὸ τῆς νόσου στρατιωτῶν φαίνονται ἀποθανόντες ἐν ἐκστρατείαις ὄντες, ὥσπερ οἱ μετὰ τοῦ Ἅγνωνος στρατιῶται ἀπώλεσαν ὑπὲρ τὸ τέταρτον ἑαυτῶν, χιλίους πεντήκοντα ἀπὸ τετρακισχιλίων. Ἡ ἀπώλεια δ'αὕτη πρὸ πάντων ἐγένετο κατὰ τὸ πρῶτον ἔτος τῆς νόσου· κατὰ γὰρ τὰ ἄλλα αὐτῆς ἔτη οὐκ ἀναφέρονται ὑπὸ τοῦ Θουκυδίδου στρατιῶται ἀποθανόντες ἐξ αὐτῆς, οὐ μὲν δὴ διότι τὸ παράπαν οὐκ ἀπέθανον, ἀλλὰ διότι γε ἀθρόοι οὐκ ἀπέθανον. Καὶ ἄλλως ὁ Θουκυδίδης τοὺς ἐν τῷ πρώτῳ ἔτει ἀποθανόντας στρατιώτας ὑπὸ τῆς νόσου παροδικῶς μόνον καὶ παρεμπιπτόντως ἀναφέρει. Ἐὰν οὖν λάβωμεν τοὺς ἡμίσεις τῶν στρατιωτῶν τῶν ἀποθανόντων ἐκ τῆς νόσου ὡς ἀποθανόντας ἐν τῇ πόλει καὶ προσθῶμεν αὐτοὺς τοῖς ὑπὲρ τοὺς μυρίους ἀποθανοῦσιν ἐκ τοῦ πλήθους τοῦ λοιποῦ τῶν Ἀθηναίων, ἕξομεν ἐν ὅλῳ ἐκ τῆς νόσου ἐν Ἀθήναις ἀποθανόντας περὶ τὰς δέκα τρεῖς χιλιάδας, ὅστις ἀριθμὸς διαιρούμενος ὑπὸ τοῦ τριετοῦς διαστήματος, καθ' ὃ ἡ νόσος ἦν σφοδροτέρα, παραλειπομένων τῶν κατὰ τὰ ἄλλα δύο ἔτη βλημάτων τῆς νόσου, παρέχει μέσον θνησιμότητος δώδεκα θανάτους περίπου καθ' ἑκάστην, ἐτησίαν δὲ θνησιμότητα κατὰ χιλίους κατοίκους ἐκ τῶν πεντακοσίων χιλιάδων, ὅσοι τότε δὴ κατῴκουν πιθανῶς ἐν Ἀθήναις, ἐννέα περίπου θανάτους. Προσθῶμεν δὲ τῷ μέσῳ τούτῳ ἐτησίῳ κατὰ χιλίους ὅρῳ, εἰ καὶ ὁ νοθευτὴς λέγει ἐν Θουκυδ. Β', 49 ὅτι πάντες οἱ κατὰ τὴν ἐπιδημίαν θάνατοι ἐγίνοντο ὑπὸ τοῦ «λοιμοῦ», ὅ γε δὴ οὐκ ἄν τις θείη ἐν σπουδαίοις ῥήμασιν ἅτε προερχόμενον ἐκ προλήψεως ἐμπνεομένης ἐκ τῶν κατὰ τὰς ἐπιδημίας συμβαινόντων πολλῶν καὶ ταχέων θανάτων, τέσσαρας ἔτι ἐξ ἄλλων νόσων θανάτους, ἕξομεν τότε δὴ μέσον θνησιμότητος ὅρον τρεισκαίδεκα θανάτους κατὰ χιλίους κατοίκους, θνησιμότητα πολὺ μικρὰν ὡς πρὸς τὸν ὅλον τῶν Ἀθηνῶν πληθυσμόν, ὅσην σήμερον οὐδὲ αἱ μάλιστα ὑγιειναὶ πόλεις τῆς Εὐρώπης Λονδῖνον καὶ Παρίσιοι ἔχουσιν· αὗται γὰρ αἱ πόλεις μέσην ἐτησίαν θνησιμότητα κατὰ χιλίους κατοίκους

ἔχουσι περὶ τοὺς δέκα ἑπτὰ θανάτους. Ὅτι δὲ ὁ ἀριθμὸς τῶν ἐκ τοῦ Ἀθηναϊκοῦ ὄχλου θανόντων οὐχ ὑπερέβη τὸν ὑπὸ τοῦ Διοδώρου ἀναγραφόμενον, φαίνεται ἔκ τε τοῦ ὅτι οἱ Ἀθηναῖοι ὑπεστήριξαν καθ' ὅλην τὴν διάρκειαν τῆς ἐπιδημίας μετὰ μεγάλου σθένους τὸν πόλεμον, ὡσανεὶ μηδόλως ὑπῆρχεν ἐν τοῖς τείχεσι τῶν Ἀθηνῶν ἐπιδημία, καὶ ἐκ τοῦ ὅτι ὀλίγα ἔτη μετ' αὐτὴν ἐν τῷ αὐτῷ πολέμῳ ἀναπληρώσαντες τὰ ἐν τῷ στρατῷ προξενηθέντα ὑπὸ τῆς νόσου κενά, εἴπομεν δ' ἀνωτέρω ὅτι ταῦτα ὡς πρὸς τὸ ποσὸν τοῦ ὅλου στρατοῦ ἦσαν μεγάλα, διότι ἡ νόσος προσέβαλλε μᾶλλον αὐτῷ ἕνεκα τῆς κακῆς διαίτης, ἐν ᾗ ἦν πολλάκις ἠναγκασμένος ἕνεκα τῶν ἐκστρατειῶν ζῆν, ἀνέλαβον τὴν πελωρίαν εἰς Σικελίαν ἐκστρατείαν, ἐν ᾧ εἶχον συγχρόνως ἐπὶ τῶν νώτων ἐν Ἑλλάδι τὸν οὐ μικρότερον αὐτῆς πρὸς τοὺς Πελοποννησίους πόλεμον· ἃ δὴ οὐκ ἂν ἔπραξαν, εἴ γε ὁ πληθυσμὸς τῆς Ἀττικῆς ἐβέβλαπτο ὄντως τόσον ὑπὸ τῆς ἐπιδημίας, ὅσον διὰ τῆς περιγραφῆς αὐτοῦ ὁ νοθευτὴς βούλεται δεῖξαι. Ψεύδη οὖν τοῦ νοθευτοῦ ἀναιδέστατά εἰσιν ὅσα λέγει περὶ ἀτάφων νεκρῶν· δέκα γὰρ νεκροὶ τὴν ἡμέραν καὶ εἴκοσι καὶ τεσσαράκοντα καὶ ἑξήκοντα ἔτι, ἐπειδὴ πιθανῶς τὰς πρώτας ἡμέρας καὶ τοὺς πρώτους μῆνας τῆς νόσου ἡ ὀξύτης αὐτῆς ἦν μείζων, ἐκ πεντακοσίων χιλιάδων κατοίκων ἢ διακοσίων πεντήκοντα, ὥς τινες τῶν συγχρόνων ἡμῖν ἱστορικῶν διατείνονται βεβαιοῦσθαι, οὐκ ἦσαν τοσοῦτοι, ὥστ' ἐπενεγκεῖν τοσαύτην τε καὶ τοιαύτην ταραχὴν καὶ σύγχυσιν ἠθικὴν τοῖς Ἀθηναίοις ἔχουσι τότε, ὡς εἰρήκαμεν ἀνωτέρω, τριακοσίας πεντήκοντα χιλιάδας δούλους ἢ διακοσίας τοὐλάχιστον κατὰ τοὺς δεχομένους ἐλάσσονα τὸν πληθυσμὸν τῆς Ἀττικῆς, προθύμους καὶ ἠναγκασμένους ὡς ἐκ τῆς θέσεως αὐτῶν ἐκπληροῦν σὺν τάχει πᾶσαν ὑπηρεσίαν διατασσομένην ὑπὸ τῶν ἑαυτῶν δεσποτῶν. Ἀλλ' ὅτι ὁ βίος τῶν Ἀθηναίων οὐδαμῶς διεταράχθη κατὰ τὴν ἐπιδημίαν οὔτε πολιτικῶς, οὔτε κοινωνικῶς, οὔτε θρησκευτικῶς, ἔχομεν μαρτυρίας καὶ ἀποδείξεις ὅτι καθ' ὅλον ἐκεῖνο τῆς ἐπιδημίας τὸ χρονικὸν διάστημα αἱ τακτικαὶ τῶν δραμάτων τραγικῶν τε καὶ κωμικῶν θεατρικαὶ παραστάσεις οὐδόλως διεκόπησαν, ἀλλ' ἐξηκολούθησαν ὡς πρότερον, πιθανώτατα δὲ καὶ μεγαλοπρεπεστέρως, γινόμεναι μετὰ τῶν ἄλλων θρησκευτικῶν καὶ πολιτικῶν ἑορτῶν· ὡς γὰρ γνωστόν, τὰ πλείω καὶ καλλίω τῶν δραμάτων ἐδιδάχθησαν κατὰ τὴν διάρκειαν τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ πολ-

λοὶ τῶν διασήμων τραγικῶν τε καὶ κωμικῶν ποιητῶν κατὰ πρῶτον κατῆλθον εἰς τοὺς δραματικοὺς ἀγῶνας κατὰ τὰ ἔτη τῆς ἐπιδημίας, ἐν οἷς καὶ ὁ εὐθυμότατος Ἀριστοφάνης. Δυστυχῶς δ' ὅμως ἐκ τῶν τότε διδαχθέντων δραμάτων οὐδὲν ἄλλο πλῆρες σῴζεται ἢ ὁ Ἱππόλυτος τοῦ Εὐριπίδου, ὅστις ἐδιδάχθη τῷ 429 π. Χ., τῷ δευτέρῳ δηλονότι ἔτει τῆς ἐπιδημίας, καθ' ὃ ἀπέθανεν ἐξ αὐτῆς καὶ ὁ μέγιστος τῶν Ἀθηνῶν καὶ τῆς Ἑλλάδος ἁπάσης πολιτικὸς ἀνήρ, ὁ Περικλῆς. Ἐνίκα δ' ἐν τῷ τραγικῷ τοῦ ἔτους ἐκείνου ἀγῶνι ὁ Εὐριπίδης Ἰοφῶντα τὸν υἱὸν τοῦ Σοφοκλέους ἐλθόντα δεύτερον καὶ τὸν Ἴωνα ἐλθόντα τρίτον. Τὸ δὲ πρῶτον δρᾶμα τοῦ Ἀριστοφάνους, οἱ Δαιταλεῖς, ἐδιδάχθη τῷ 427 π. Χ., δηλονότι τῷ ἔτει, καθ' ὃ ἐπέπεσεν ἐκ δευτέρου σφοδρῶς ἡ ἐπιδημία ἐν Ἀθήναις, ὡς φαίνεται ἐκ τοῦ παρατεθέντος ἀνωτέρω χωρίου τοῦ Θουκυδίδου (Γ', 87). Ἐν δὲ τῷ 51 κεφαλαίῳ παρατηροῦμεν ὅτι ὁ νοθευτὴς λέγει ὅτι οὐδεὶς τῶν προσβαλλομένων ὑπὸ τῆς νόσου ἐσῴζετο, ἐν ᾧ ἐν τῷ 49 κεφ. εἶπεν ὅτι ἐσῴζοντο μὲν πολλοὶ ἀλλὰ μετά τινος βλάβης σωματικῆς, ὃ δή, ὥσπερ ἤδη εἴπομεν, τῷ Θουκυδίδῃ γε, εἰ καὶ ἔπαθε κατὰ τοὺς λόγους αὐτοῦ ὑπὸ τῆς νόσου, οὐ συνέβη.

Καὶ μικρὸν κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ λησμονῶν ὅ τι εἶπε πρὸ ὀλίγου παρίστησιν αὖθις σῳζομένους ἀρρώστους, οἵτινές φησιν, ἐμακαρίζοντο ὑπὸ τῶν ἄλλων ὡς μὴ μέλλοντές ποτε ἔτι ἀποθανεῖν μηδ' ὑπ' ἄλλου νοσήματος. Ὡς βλέπει ὁ ἀναγνώστης, εὑρισκόμεθα ἐν πλήρει συναξαρίῳ, ὅ γε, εἰ μὴ ἐντελῶς ἔπλασεν ὁ νοθευτής, τοὐλάχιστον συνέλεξεν ἐν μέρει ἀπὸ τοῦ στόματος τοῦ ὄχλου πολλὰ ἔτη μετὰ τὴν ἐπιδημίαν. Διόπερ καὶ ὁ Γαληνός, ὁ πολυμαθὴς Ἕλλην ἰατρὸς καὶ φιλόσοφος τοῦ δευτέρου μετὰ Χριστὸν αἰῶνος, μέμφεται τὸν Θουκυδίδην, ἐπειδὴ ἐθεώρει αὐτὸν ὡς τὸν πραγματικὸν συγγραφέα τῆς παρὰ Θουκδίδῃ περιγραφῆς τοῦ «λοιμοῦ», ὅτι ἔγραψε περὶ αὐτοῦ μόνον δημοτικῶς καὶ εἶπε πράγματα ἄνευ ἐπιστημονικῆς σπουδαιότητος (ὅρα Wilhem Erbstein, Die Pest des Thukydides σελ. 16 ἐν τῇ ὑποσημειώσει). Εἰ δὲ ἡ περιγραφὴ τοῦ νοθευτοῦ κέχρωσται χροιᾷ τινι ἐπιστημονικῇ ἔν τε τῷ λεκτικῷ καὶ τῇ ἀναγραφῇ τῶν συμπτωμάτων, τοῦτο δὴ προέρχεται, ἄλλοθεν γὰρ οὐχ οἷόν τε προέρχεσθαι, εἴτε ἐξ ἀναγνώσεων ἰατρικῶν συγγραφῶν περιεχουσῶν περιγραφὰς πυρετωδῶν νόσων, καὶ τοιαῦται συγγραφαὶ πιθανὸν ὅτι ἐγράφησαν τὸν τέταρτον π. Χ. αἰῶνα, ἐν ᾧ κατὰ τὸν

Πελοποννησιακὸν πόλεμον οὐ φαίνονται ἔτι ὑπάρχουσαι τοιαῦται, εἴτε ἐκ προφορικῶν πληροφοριῶν ἰατρῶν. Οὐδ' ὅ λέγει ὁ νοθευτὴς ἐν τῷ αὐτῷ κεφαλαίῳ ὅτι ἡ νόσος ἦν λίαν κολλητική, φαίνεται ἀληθές, οὐδ' ὅτι οἱ συγγενεῖς καὶ φίλοι ἐγκατέλειπον τοὺς πάσχοντας ἐκ τῆς νόσου, μὴ καὶ αὐτοὶ μολυνθεῖέν τε καὶ πάθοιεν· περὶ γὰρ τοῦ ἐναντίου λαμπρὰν ἀπόδειξιν ἔχομεν τὸν Πλούταρχον διηγούμενον ἐν τῷ βίῳ τοῦ Περικλέους ὅτι κατὰ τὴν διάρκειαν τῆς ἀσθενείας τούτου ὑπὸ τῆς ἐπιδημικῆς ἐκείνης νόσου συνήρχοντο παρὰ τὴν κλίνην αὐτοῦ φίλοι, οἴκοθεν δὲ νοεῖται ὅτι οἱ συγγενεῖς οὐδόλως ἐγκατέλειπον αὐτὸν ἔρημον καὶ ἀπεριποίητον, καὶ ἐν τοῖς συνερχομένοις ἦσαν οἱ ἐπισημότατοι τῶν Ἀθηναίων. Οἱ Ἀθηναῖοι ἄρα οὐδαμῶς ἐφοβοῦντο πλησιάζειν τε καὶ περιποιεῖσθαι τοὺς ἑαυτῶν ἀσθενεῖς. Ἐν δὲ τῷ 52 κεφαλαίῳ ὁ νοθευτὴς καὶ ἄλλα ψεύδη χαλκεύει λέγων ὅτι ἕνεκα τῆς στενοχωρίας τῶν οἰκημάτων ἡ φθορὰ τῶν ἀνθρώπων ὑπὸ τῆς νόσου γίγνοιτο μετ' οὐδενὸς κόσμου καὶ ὅτι νεκροὶ ἐπ' ἀλλήλοις κέοιντο καὶ ὅτι ἀσθενεῖς ψυχορραγοῦντες κυλίοιντο ἐν ταῖς ὁδοῖς καὶ ἄλλοι ἡμιθνῆτες περὶ τὰς κρήνας ἐπιθυμίᾳ τοῦ πιεῖν ὕδωρ. Ἔπειτα δ' ὅτι τὰ ἱερά, ἐν οἷς ἐσκήνωντο εἶεν πλήρη νεκρῶν, σφοδρῶς γὰρ πιέζοντος τοῦ κακοῦ οἱ ἄνθρωποι ἀγνοοῖεν ὅ τι ποιήσαιεν, καὶ τράποιντο εἰς ἀμέλειαν τῶν τε ἱερῶν καὶ ὁσίων πραγμάτων, δηλονότι εἰς τὴν βεβήλωσιν τῶν ἱερῶν τόπων καὶ τὴν ἀνόσιον ἀνοχὴν νεκρῶν κυλιομένων ἐν ταῖς ὁδοῖς καὶ ἡμιθνήτων περὶ τὰς κρήνας. Καὶ ὅτι πάντες οἱ νόμοι συνταραχθείησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς, καὶ πολλοὶ ῥίπτοιεν τοὺς ἑαυτῶν νεκροὺς ἐπ' ἄλλων πυρὰς κττ. Ὅτι δὲ πάντα ταῦτα ψεύδη εἰσὶν ἀποδείκνυνται ἐκ τῶν προειρημένων.

Πρῶτον μὲν γάρ, ὥσπερ ἀνωτέρω ἐλέχθη, οἱ καθ' ἑκάστην ἐκ τῆς νόσου νεκροὶ ὀλίγοι ὡς πρὸς τὸν πληθυσμὸν τῶν Ἀθηνῶν ἦσαν· δεύτερον δὲ ἕνεκα τῆς θρησκείας αὐτῶν οἱ Ἕλληνες ἦσαν ἀνίκανοι ποιῆσαι τοιαῦτα ἀσεβήματα· λίαν δ' ἀπίθανον φαίνεται ὅτι οἱ ἐκ τῆς χώρας εἰσελθόντες εἰς τὰς Ἀθήνας ἐσκήνωντο κατὰ τὸν Πελοποννησιακὸν πόλεμον ἐν τοῖς ἱεροῖς τόποις καὶ διαρκῶς, ἐπειδὴ καὶ χῶρος πολὺς ὑπῆρχε μεταξὺ τῶν μακρῶν τειχῶν δυνάμενος χωρῆσαι πολλῷ πλεῖον πλῆθος τοῦ εἰσελθόντος εἰς Ἀθήνας ἐκ τῶν δήμων τῆς Ἀττικῆς, καὶ ἐλογίζετο παρὰ τοῖς ἀρχαίοις Ἕλλησι βέβηλον ἡ ἐν τοῖς ἱεροῖς οἴκησις, τὸ δ' ἐν αὐτοῖς ἀποθνήσκειν ἀνοσιώτατον. Εἰ δέ ποτε

συμβαίνοι καταφυγεῖν τινα εἰς ναὸν ὡς εἰς ἄσυλον τόπον, ἵνα δὴ ἀποφύγοι τὸν θάνατον, ἐπειρῶντο παντὶ τρόπῳ ἐξαγαγεῖν αὐτὸν ἐκεῖθεν δι' ἐνόρκων συνήθως ὑποσχέσεων ὅτι οὐ μέλλοιεν βλάψειν τὴν ζωὴν αὐτοῦ, ἐκ φόβου μὴ ἀποθανόντος ἐν τῷ ναῷ βεβηλωθείη οὗτος· Ὅτε δὲ ὁ καταφυγὼν μὴ πείθοιτο ταῖς ὑποσχέσεσιν, ὥστε ἐξελθεῖν, ἢ μὴ διδοῖντο αὐτῷ τοιαῦται, καὶ πλησιάζοι ἐκπνεῦσαι ἐξ ἀσιτίας, πολλὴν φροντίδα εἶχον ἐκβαλεῖν αὐτὸν ἐκεῖθεν ψυχορραγοῦντα πρὶν ἀποθανεῖν. Περὶ δὲ τῆς κυλινδήσεως ἐν ταῖς ὁδοῖς ψυχορραγούντων καὶ παρὰ τὰς κρήνας ἡμιθνήτων, τὸ πρᾶγμά ἐστι τοσοῦτο βδελυρὸν καὶ ἀνόσιον καὶ διὰ τοῦτο ὅλως ἀπίστευτον ὅτι συνέβη ἐν ταῖς θεοσεβεστάταις Ἀθήναις, ὥσπερ καλεῖ αὐτὰς ὁ Σοφοκλῆς ἐν Οἰδ. ἐπὶ Κολωνῷ στίχ. 260, ἣν κλῆσιν ἐν ἄλλῳ τόπῳ τῆς αὐτῆς τραγῳδίας ἐν στίχ. 1006—1007, δικαιολογεῖ λέγων·

«οὕνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ' ὑπερφέρει».

Ἐν τῷ σεβασμῷ δὲ τῶν θεῶν περιελαμβάνετο καὶ ὁ ἐνταφιασμὸς τῶν νεκρῶν, οὗ ὁ παραμελῶν ἐτιμωρεῖτο κατὰ τὰς θρησκευτικὰς πεποιθήσεις τῶν ἀρχαίων Ἑλλήνων ἐν τῷ ἄλλῳ κόσμῳ ὑπὸ τῶν θεῶν. Αὕτη δὲ ἡ πεποίθησις ὑπηγόρευσε τῇ Ἀντιγόνῃ τὴν ἀνδρείαν ἐκείνην ἀπόκρισιν, ἣν ἐποιήσατο τῷ Κρέοντι, ὅτε ἐπετίμα αὐτῇ ὡς παραβάσῃ τὰς διατάξεις αὐτοῦ τοῦ μὴ ταφῆναι τὸν νεκρὸν τοῦ Πολυνείκους, ἀλλὰ μεῖναι ἄταφον καὶ γενέσθαι βορὰν γυπῶν καὶ κυνῶν καὶ τῶν λοιπῶν νεκροφάγων ζῴων, εἰποῦσα τοὺς λαμπροὺς ἐκείνους λόγους, οὓς ἀνωτέρω παρέθεμεν. Ἡ θεοσέβεια δὲ τῶν Ἀθηναίων ἐξηκολούθησε φημιζομένη μέχρι τοῦ τέλους τῆς ἀρχαίας θρησκείας· διὸ καὶ αὐτὸς ὁ ἀπόστολος Παῦλος, ὅτε ἦν ἐν Ἀθήναις, ἀπεκάλεσεν αὐτοὺς «δεισιδαιμονεστάτους» ὅ ἐ. κατὰ τὴν τότε σημασίαν τῆς λέξεως «εἰς ἄκρον θεοφοβουμένους» (Πράξ. τῶν Ἀποστόλων 17,23).

Πῶς οὖν ἔπειτα δυνηθείη ἄν τις πιστεῦσαι ὅτι τοιαύτη ἀποτρόπαιος καὶ βδελυρὰ κατάστασις ὑπῆρξέ ποτε ἐν Ἀθήναις; Ἀλλ' οὐ μόνον οὐ δύναταί τις πιστεῦσαι τοῦτο, ἀλλ' οὐδὲ τὸ παράπαν ὑποθέσθαι ὅτι ἦν δυνατὸν συμβῆναι τοιοῦτόν τι ἐν πόλει οἰκουμένῃ ὑφ' Ἑλλήνων καὶ μάλιστα τῶν Ἀθηναίων τῶν μάλιστα πεπολιτισμένων καὶ φιλανθρωποτάτων ἐκ πάντων τῶν Ἑλλήνων, οἵτινες πάντες οὐδ' ἐπὶ

τῆς σκηνῆς τοῦ θεάτρου ἠνείχοντο παριστάμενον ὠμόν τι καὶ ἀποτρόπαιον καὶ βδελυκτόν. Τοιαύτην κατάστασιν μόλις δύναταί τις νοῆσαι συμβῆναι ἂν ἐν στρατῷ καὶ ὑπὸ λοιμοῦ ἅμα πάσχοντι καὶ ἠναγκασμένῳ ὑπ' ἐχθροῦ ἰσχυροτέρου καὶ νικητοῦ καταλιπεῖν τόν τε χῶρον ἐν ᾧ ἦν καὶ τοὺς ἐν αὐτῷ πάσχοντας, ἵνα που σωθῇ, ἐὰν ᾖ δυνατόν· ὁποία δή τις συνέβη τῷ στρατῷ τῶν Καρχηδονίων τῷ πολιορκοῦντι τὰς Συρακούσας τῷ 395 π. Χ., ὀλίγα δηλαδὴ ἔτη μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ἣν πιθανὸν γράφων ὁ νοθευτὴς τοῦ Θουκυδίδου εἶχεν ἐν νῷ. Ἡ γὰρ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΔ΄, 71) σύντομος περιγραφὴ τῶν δεινῶν, ἃ συνέβησαν τῷ στρατοπέδῳ ἐκείνῳ, ἔχει ὁμοιότητας οὐκ ὀλίγας τῇ παρὰ Θουκυδίδῃ περιγραφῇ τοῦ «λοιμοῦ». Ὁ Διόδωρος δὲ δὴ ἠρύσατο τὰ περὶ τοῦ λοιμοῦ ἐκείνου τῶν Καρχηδονίων γραφέντα ἐκ τοῦ Φιλίστου, ὅν περ πιθανώτατα καὶ ὁ νοθευτὴς εἶχε πρὸ ὀφθαλμῶν. Ἔχει δὲ ἡ παρὰ Διοδώρῳ περιγραφὴ ὧδε· «Ἤψατο μὲν οὖν ἡ νόσος τῶν Λιβύων, ἐξ ὧν πολλῶν ἀποθνησκόντων, τὸ μὲν πρῶτον ἔθαπτον τοὺς τετελευτηκότας, μετὰ δὲ ταῦτα διὰ τὸ πλῆθος τῶν νεκρῶν καὶ διὰ τὸ τοὺς νοσοκομοῦντας ὑπὸ τῆς νόσου διαρπάζεσθαι, οὐδεὶς ἐτόλμα προσιέναι τοῖς κάμνουσι· παραιρεθείσης οὖν καὶ τῆς θεραπείας ἀβοήθητος ἦν ἡ συμφορα· διὰ γὰρ τὴν τῶν ἀθάπτων δυσωδίαν καὶ τὴν ἀπὸ τῶν ἑλῶν σηπεδόνα, πρῶτον μὲν ἤρχετο τῆς νόσου κατάρρους, μετὰ δὲ ταῦτα ἐγίνετο περὶ τὸν τράχηλον οἰδήματα· ἐκ δὲ τούτου κατ' ὀλίγον ἠκολούθουν πυρετοὶ καὶ περὶ τὴν ῥάχιν νεύρων πόνοι καὶ τῶν σκελῶν βαρύτητες· εἶτ' ἐπεγίνοντο δυσεντερίαι καὶ φλύκταιναι περὶ τὴν ἐπιφάνειαν ὅλην τοῦ σώματος. Τοῖς μὲν οὖν πλείστοις τοιοῦτον ἦν τὸ πάθος· τινὲς δὲ εἰς μανίαν καὶ λήθην τῶν ἁπάντων ἔπιπτον, οἳ περιπορευόμενοι τὴν παρεμβολὴν ἐξεστῶτες τοῦ φρονεῖν ἔτυπτον τοὺς ἀπαντῶντας. Καθόλου δὲ συνέβη καὶ τὴν ἀπὸ τῶν ἰατρῶν βοήθειαν ἄπρακτον εἶναι καὶ διὰ τὸ μέγεθος τοῦ πάθους καὶ τὴν ὀξύτητα τοῦ θανάτου, πεμπταῖοι γὰρ ἢ τὸ πλεῖστον ἑκταῖοι μετήλλαττον δεινὰς ὑπομένοντες τιμωρίας· ὥστε ὑπὸ πάντων μακαρίζεσθαι τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας. Καὶ γὰρ οἱ τοῖς κάμνουσι παρεδρεύοντες ἐνέπιπτον εἰς τὴν νόσον ἅπαντες· ὥστε δεινὴν εἶναι τὴν συμφορὰν τῶν ἀρρωστούντων, μηδενὸς θέλοντος ὑπηρετεῖν τοῖς ἀτυχοῦσιν. Οὐ γὰρ μόνον οἱ μηδὲν προσήκοντες ἀλλήλους ἐγκατέλειπον, ἀλλ' ἀδελφοὶ μὲν

ἀδελφούς, φίλοι δὲ τοὺς συνήθεις ἠναγκάζοντο προΐεσθαι διὰ τὸν ὑπὲρ αὐτῶν φόβον». Ὅσα δὲ λέγει ὁ νοθευτὴς ἐν τῷ 53 κεφαλαίῳ περὶ τῆς ἐξαχρειώσεως τῶν Ἀθηναίων ἀρξαμένης δῆθεν σὺν τῇ νόσῳ καὶ ἕνεκα αὐτῆς, οὐδεμίαν ἱστορικὴν ὑπόστασιν καὶ ἀλήθειαν ἔχουσιν, ἀλλ' ἀπηχήματά εἰσι τῶν ἀσυνέτως πεφλυαρημένων ὑπὸ τῶν ἀριστοκρατικῶν κωμικῶν ποιητῶν καὶ συγγραφέων καὶ φιλοσόφων τῶν δυσμενῶς διακειμένων πρὸς τὸ Ἀθηναϊκὸν δημοκρατικὸν πολίτευμα, ἐφ' ὃ ἠθέλησαν οἱ λεχθέντες ὀλιγαρχικοὶ πάντα τὰ ἐπελθόντα ἕνεκά τε τῆς φυσικῆς φορᾶς τῶν πραγμάτων καὶ τῶν ῥᾳδιουργιῶν τῶν ἀριστοκρατικῶν δεινὰ ταῖς Ἀθήναις ἐπιθεῖναι. Αἱ γὰρ σύγχρονοι πηγαὶ οὐδεμίαν τοιαύτην διαφθορὰν καὶ ἔκλυσιν τῶν ἠθῶν γενομένην ἐμφαίνουσι· καὶ ἄλλως εἰ ἦσαν ἀληθῆ, οὔτε ὁ πόλεμος διεξήχθη ἄν, ὡς διεξήχθη, δηλαδὴ ἀνδρειότατα. τὴν δ' ἀνδρείαν, ὡς γνωστόν, οὐχ οἷόν τε ἐμφωλεύειν ἐν ψυχαῖς ἐκλύτων καὶ διεφθαρμένων τοῖς ἤθεσιν ἀνθρώπων· τοὐναντίον δ' ἐν τῇ ἀρχῇ ἔτι αὐτοῦ εἴτε ἐνέδοσαν ἄν, εἴτε ἡττήθησαν ὁλοσχερῶς· κατέλαβε γὰρ ἂν τὴν πόλιν καὶ ἀναρχία καὶ ἀπείθεια πολλή, πιθανὸν δὲ καὶ στάσις, καθ' ὅσον γε τῶν πολιτῶν οἱ ἀριστοκρατικοὶ οὐδαμῶς ἐπαύσαντο ζητοῦντες εὐκαιρίαν, ὥστε καταρρῖψαι τὴν δημοκρατίαν.

Νῦν μεταβαίνομεν εἰς τὸ τελευταῖον κεφάλαιον τῆς περιγραφῆς τοῦ «λοιμοῦ» τοῦ νοθευτοῦ, τὸ 54, ἐν ᾧ περιέχονται οἱ δύο χρησμοί, ὁ ἀδέσποτος ὁ ὑπὸ τοῦ δήμου ᾀδόμενος, ὥς γε ὁ νοθευτὴς λέγει, καὶ ὁ ἐπίσημος ὁ ὑπὸ τοῦ Ἀπόλλωνος δῆθεν δοθεὶς τοῖς Πελοποννησίοις πρὸ τῆς ἐκρήξεως τοῦ πολέμου, προαγγέλλοντες δ' ἀμφότεροι τὸν «λοιμόν». Κρίνομεν δ' ἀναγκαῖον παραθεῖναι ἐνταῦθα αὐτολεξεὶ ἃ λέγει ὁ νοθευτὴς περὶ τοῦ πρώτου αὐτῶν, ἵνα ὁ ἀναγνώστης κρίνῃ τε κάλλιον εἰ φράσεις τοιαύτας μετὰ τοσαύτης ἀσαφείας εἰρημένας οἷόν τ' εἶναι τῆς χειρὸς τοῦ Θουκυδίδου, καὶ συνῇ ἅμα εὖ ἃ περὶ αὐτῶν ἐροῦμεν. Εἰσὶ δὲ αἱ λέξεις αὐτοῦ αἵδε· «Ἐν δὲ τῷ κακῷ, οἷα εἰκός, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι

«ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ».

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν ἀλλὰ λιμόν, ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκό-

